Ἐὰν ἄρα δύο τρίγωνα ἔχουν δύο πλευρὰς ἀντιστοίχως ἴσας καὶ τὴν ὑπὸ τῶν ἴσων πλευρῶν περιεχομένην γωνίαν ἴσην, θὰ ἔχουν ἴσας καὶ τὰς βάσεις (τὴν τρίτην πλευρὰν) καὶ τὸ ἓν τρίγωνον θὰ εἶναι ἴσον πρὸς τὸ ἄλλο, καὶ αἱ λοιπαὶ γωνίαι τοῦ ἑνὸς τριγώνου θὰ εἶναι ἴσαι πρὸς τὰς λοιπὰς γωνίας τοῦ ἄλλου τριγώνου ἀντιστοίχως, αἱ κείμεναι ἀπέναντι τῶν ἴσων πλευρῶν· ὅπερ ἔδει δεῖξαι.

5.

Τῶν ἰσοσκελῶν τριγώνων αἱ παρὰ τὴν βάσιν γωνίαι εἶναι ἴσαι πρὸς ἀλλήλας, καὶ ἐὰν προεκβληθοῦν αἱ ἴσαι πλευραί, αἱ γωνίαι αἱ ὁποῖαι σχηματίζονται κάτωθεν τῆς βάσεως εἶναι ἴσαι πρὸς ἀλλήλας.

Ἔστω τὸ ἰσοσκελὲς τρίγωνον ΑΒΓ, ἔχον τὴν πλευρὰν ΑΒ ἴσην πρὸς τὴν πλευρὰν ΑΓ, καὶ ἃς ληφθοῦν ἐπὶ τῶν προεκβολῶν τῶν εὐθειῶν ΑΒ, ΑΓ αἱ εὐθεῖαι ΒΔ, ΓΕ· λέγω, ὅτι ἡ μὲν γωνία ΑΒΓ εἶναι ἴση πρὸς τὴν ΑΓΒ ἡ δὲ γωνία ΓΒΔ εἶναι ἴση πρὸς τὴν ΒΓΕ.

Διότι, ἃς ληφθῇ ἐπὶ τῆς ΒΔ τυχὸν σημεῖον τὸ Ζ, καὶ ἃς ἀφαιρεθῇ ἀπὸ τῆς ΑΕ ἡ ὁποία λαμβάνεται μεγαλυτέρα τῆς ΑΖ, ἡ ἴση πρὸς τὴν ΑΖ, ἡ ΑΗ καὶ ἃς ἀχθοῦν αἱ εὐθεῖαι ΖΓ, ΗΒ (θεώρ. 3).

Ἐπειδὴ λοιπὸν ἡ μὲν ΑΖ εἶναι ἴση πρὸς τὴν ΑΗ, ἡ δὲ ΑΒ εἶναι ἴση πρὸς τὴν ΑΓ, αἱ δύο πλευραὶ ΖΑ, ΑΓ εἶναι ἴσαι πρὸς τὰς δύο πλευρὰς ΗΑ, ΑΒ ἀντιστοίχως καὶ περιέχουν αὗται τὴν κοινὴν γωνίαν ΖΑΗ· ἡ βάσις ἄρα ΖΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΗΒ, καὶ τὸ τρίγωνον ΑΖΓ θὰ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΑΗΒ καὶ αἱ λοιπαὶ γωνίαι αἱ κείμεναι ἀπέναντι τῶν ἴσων πλευρῶν θὰ εἶναι ἴσαι, ἡ μὲν γωνία ΑΓΖ ἴση πρὸς τὴν ΑΒΗ ἡ δὲ ΑΖΓ ἴση πρὸς τὴν ΑΗΒ (θεώρ. 4). Καὶ ἐπειδὴ ὅλη ἡ ΑΖ εἶναι ἴση πρὸς ὅλην τὴν ΑΗ καὶ τὰ μέρη τούτων ΑΒ, ΑΓ εἶναι ἴσα, ἕπεται ὅτι τὰ ὑπόλοιπα μέρη ΒΖ, ΓΗ θὰ εἶναι ἴσα μεταξύ των (κ. ἔνν. 3). Ἐδείχθη δὲ ὅτι καὶ ἡ εὐθεῖα ΖΓ εἶναι ἴση πρὸς τὴν ΗΒ· αἱ δύο λοιπὸν πλευραὶ ΒΖ, ΖΓ εἶναι ἴσαι πρὸς τὰς δύο πλευρὰς ΓΗ, ΗΒ, ἀντιστοίχως· καὶ ἡ γωνία ΒΖΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΓΗΒ καὶ ἡ βάσις τῶν τριγώνων ἡ ΒΓ εἶναι κοινή· ἄρα καὶ τὸ τρίγωνον ΒΖΓ θὰ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΓΗΒ, καὶ αἱ λοιπαὶ γωνίαι τῶν τριγώνων αἱ κείμεναι ἀπέναντι τῶν ἴσων πλευρῶν, θὰ εἶναι ἴσαι ἀντιστοίχως· ἄρα ἡ μὲν γωνία ΖΒΓ εἶναι ἴση πρὸς τὴν ΗΓΒ *ὑπὸ ΑΒΗ γωνία ὅλη τῇ ὑπὸ ΑΓΖ γωνίᾳ ἐδείχθη ἴση, ὧν ἡ ὑπὸ ΓΒΗ τῇ ὑπὸ ΒΓΖ ἴση, λοιπὴ ἄρα ἡ ὑπὸ ΑΒΓ λοιπῇ τῇ ὑπὸ ΑΓΒ ἐστιν ἴση· καί εἰσι πρὸς τῇ βάσει τοῦ ΑΒΓ τριγώνου. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΖΒΓ τῇ ὑπὸ ΗΓΒ ἴση· καί εἰσιν ὑπὸ τὴν βάσιν.*

Τῶν ἄρα ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, καὶ προσεκβληθεισῶν τῶν ἴσων εὐθειῶν αἱ ὑπὸ τὴν βάσιν γωνίαι ἴσαι ἀλλήλαις ἔσονται· ὅπερ ἔδει δεῖξαι.

ς'.

Ἐὰν τριγώνου αἱ δύο γωνίαι ἴσαι ἀλλήλαις ὦσιν, καὶ αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι πλευραὶ ἴσαι ἀλλήλαις ἔσονται.



Ἔστω τρίγωνον τὸ ΑΒΓ ἴσην ἔχον τὴν ὑπὸ ΑΒΓ γωνίαν τῇ ὑπὸ ΑΓΒ γωνίᾳ· λέγω, ὅτι καὶ πλευρὰ ἡ ΑΒ πλευρᾷ τῇ ΑΓ ἐστιν ἴση.

εἰ γὰρ ἄνισός ἐστιν ἡ ΑΒ τῇ ΑΓ, ἡ ἑτέρα αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ΑΒ, καὶ ἀφῃρήσθω ἀπὸ τῆς μείζονος τῆς ΑΒ τῇ ἐλάττονι τῇ ΑΓ ἴση ἡ ΔΒ, καὶ ἐπεζεύχθω ἡ ΔΓ.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΒ τῇ ΑΓ κοινὴ δὲ ἡ ΒΓ, δύο δὴ αἱ ΔΒ, ΒΓ δύο ταῖς ΑΓ, ΓΒ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΔΒΓ γωνίᾳ τῇ ὑπὸ ΑΓΒ ἐστιν ἴση· βάσις ἄρα ἡ ΔΓ βάσει τῇ ΑΒ ἴση ἐστίν, καὶ τὸ ΔΒΓ τρίγωνον τῷ ΑΓΒ τριγώνῳ ἴσον ἔσται, τὸ ἔλασσον τῷ μείζονι· ὅπερ ἄτοπον· οὐκ ἄρα ἄνισός ἐστιν ἡ ΑΒ τῇ ΑΓ· ἴση ἄρα.

Ἐὰν ἄρα τριγώνου αἱ δύο γωνίαι ἴσαι ἀλλήλαις ὦσιν, καὶ αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι πλευραὶ ἴσαι ἀλλήλαις ἔσονται· ὅπερ ἔδει δεῖξαι.

ζ'.

Ἐπὶ τῆς αὐτῆς εὐθείας δύο ταῖς αὐταῖς εὐθείαις ἄλλαι δύο εὐθεῖαι ἴσαι ἑκατέρα ἑκατέρᾳ οὐ συσταθήσονται πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ ἐπὶ τὰ αὐτὰ μέρη τὰ αὐτὰ πέρατα ἔχουσαι ταῖς ἐξ ἀρχῆς εὐθείαις.

Εἰ γὰρ δυνατόν, ἐπὶ τῆς αὐτῆς εὐθείας τῆς ΑΒ δύο ταῖς αὐταῖς εὐθείαις ταῖς ΑΓ, ΓΒ ἄλλαι δύο εὐθεῖαι αἱ ΑΔ, ΔΒ ἴσαι ἑκατέρα ἑκατέρᾳ συνεστάτωσαν πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ τῷ τε Γ καὶ Δ ἐπὶ τὰ αὐτὰ μέρη τὰ αὐτὰ πέρατα ἔχουσαι, ὥστε ἴσην εἶναι τὴν μὲν ΓΑ τῇ ΔΑ τὸ αὐτὸ πέρας ἔχουσαν αὐτῇ τὸ Α, τὴν δὲ ΓΒ τῇ ΔΒ τὸ αὐτὸ πέρας ἔχουσαν αὐτῇ τὸ Β, καὶ ἐπεζεύχθω ἡ ΓΔ.



Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΓ τῇ ΑΔ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΑΓΔ τῇ ὑπὸ ΑΔΓ· μείζων ἄρα ἡ ὑπὸ ΑΔΓ τῆς ὑπὸ ΔΓΒ· πολλῷ ἄρα ἡ ὑπὸ ΓΔΒ μείζων ἐστὶ τῆς ἡ δὲ ΒΓΖ πρὸς τὴν ΓΒΗ. Ἐπειδὴ λοιπὸν ἐδείχθη, ὅτι ὅλη ἡ γωνία ΑΒΗ εἶναι ἴση πρὸς ὅλην τὴν γωνίαν ΑΓΖ καὶ τὰ μέρη τῶν γωνιῶν τούτων, ἤτοι αἱ γωνίαι ΓΒΗ καὶ ΒΓΖ εἶναι ἴσαι μεταξύ των, ἕπεται ὅτι καὶ τὰ ὑπόλοιπα μέρη θὰ εἶναι ἴσα, ἤτοι ἡ γωνία ΑΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΑΓΒ· εἶναι δὲ αὗται παρὰ τὴν βάσιν γωνίαι τοῦ τριγώνου ΑΒΓ. Ἐδείχθη δέ, ὅτι καὶ ἡ γωνία ΖΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΗΓΒ· καὶ εἶναι αὗται ὑπὸ τὴν βάσιν.

Ἄρα τῶν ἰσοσκελῶν τριγώνων αἱ παρὰ τὴν βάσιν γωνίαι εἶναι ἴσαι πρὸς ἀλλήλας καὶ ἐὰν προεκβληθοῦν αἱ ἴσαι πλευραί, αἱ ὑπὸ τὴν βάσιν γωνίαι θὰ εἶναι ἴσαι πρὸς ἀλλήλας· ὅπερ ἔδει δεῖξαι.

6.

Ἐὰν αἱ δύο γωνίαι τριγώνου εἶναι ἴσαι πρὸς ἀλλήλας καὶ αἱ ἀπέναντι τῶν ἴσων γωνιῶν πλευραὶ θὰ εἶναι ἴσαι πρὸς ἀλλήλας.

Ἔστω τὸ τρίγωνον ΑΒΓ ἔχον τὴν γωνίαν ΑΒΓ ἴσην πρὸς τὴν γωνίαν ΑΓΒ· λέγω, ὅτι καὶ ἡ πλευρὰ ΑΒ εἶναι ἴση πρὸς τὴν πλευρὰν ΑΓ.

Διότι, ἐὰν ἡ ΑΒ εἶναι ἄνισος πρὸς τὴν ΑΓ, ἡ μία ἐκ τούτων θὰ εἶναι μεγαλυτέρα τῆς ἄλλης. Ἔστω, ὅτι ἡ ΑΒ εἶναι μεγαλυτέρα καὶ ἂς ἀφαιρεθῇ ἀπὸ τῆς μεγαλυτέρας ΑΒ ἡ ΔΒ, ἴση πρὸς τὴν μικροτέραν ΑΓ (θεώρ. 3) καὶ ἂς ἀχθῇ ἡ ΔΓ.

Ἐπειδὴ λοιπὸν ἡ ΔΒ εἶναι ἴση πρὸς τὴν ΑΓ, ἡ δὲ ΒΓ εἶναι κοινή, ὑπάρχουν δύο πλευραὶ αἱ ΔΒ, ΒΓ αἱ ὁποῖαι εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς δύο πλευρὰς ΑΓ, ΓΒ καὶ ἡ γωνία ΔΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΑΓΒ· ἄρα ἡ βάσις ΔΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΑΒ καὶ τὸ τρίγωνον ΔΒΓ θὰ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΑΓΒ (θεώρ. 4), δηλ. τὸ μικρότερον τρίγωνον ἴσον πρὸς τὸ μεγαλύτερον· ὅπερ ἄτοπον· ἄρα δὲν θὰ εἶναι ἡ ΑΒ ἄνισος πρὸς τὴν ΑΓ· ἄρα εἶναι ἴση.

Ἐὰν ἄρα αἱ δύο γωνίαι τριγώνου εἶναι ἴσαι πρὸς ἀλλήλας καὶ αἱ ἀπέναντι τῶν γωνιῶν τούτων πλευραὶ θὰ εἶναι ἴσαι πρὸς ἀλλήλας· ὅπερ ἔδει δεῖξαι.

7.

Ἐπὶ τῆς αὐτῆς εὐθείας, ἐὰν ἐκ σημείου ἐκτὸς αὐτῆς κειμένου ἔχουν ἀχθῇ πρὸς τὰ ἄκρα τῆς εὐθείας δύο εὐθεῖαι, δὲν εἶναι δυνατὸν ν' ἀχθοῦν ἐξ ἄλλου σημείου δύο εὐθεῖαι ἴσαι ἀντιστοίχως πρὸς τὰς ἀχθείσας, αἱ ὁποῖαι νὰ κεῖνται πρὸς τὸ αὐτὸ μέρος τῆς εὐθείας καὶ νὰ ἔχουν τὰ αὐτὰ πέρατα, ὅπως αἱ ἀρχικαὶ εὐθεῖαι.

Διότι ἔστω, ὅτι εἶναι δυνατὸν ἐπὶ τῆς αὐτῆς εὐθείας ΑΒ πρὸς τὴν ὁποίαν ἐκ τοῦ σημείου Γ ἔχουν ἀχθῇ αἱ εὐθεῖαι ΑΓ, ΓΒ, νὰ ἀχθοῦν ἐξ ἄλλου σημείου Δ δύο εὐθεῖαι ἴσαι ἀντιστοίχως πρὸς τὰς ἀχθείσας ἐκ τοῦ σημείου Γ αἱ ΑΔ, ΔΒ, κείμεναι ὅλαι πρὸς τὸ αὐτὸ μέρος τῆς δοθείσης εὐθείας καὶ ἔχουσαι τὰ αὐτὰ πέρατα, ὥστε ἡ ΓΑ νὰ εἶναι ἴση πρὸς τὴν ΔΑ, ἐνῷ αἱ δύο αὗται εὐθεῖαι ἔχουν τὸ αὐτὸ πέρας Α καὶ ἡ ΓΒ νὰ εἶναι ἴση πρὸς τὴν ΔΒ, ἐνῷ αἱ δύο αὗται εὐθεῖαι ἔχουν τὸ αὐτὸ πέρας Β, καὶ ἂς ἀχθῇ ἡ ΓΔ.

ὑπὸ ΔΓΒ. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ΓΒ τῇ ΔΒ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΓΔΒ γωνίᾳ τῇ ὑπὸ ΔΓΒ. ἐδείχθη δὲ αὐτῆς καὶ πολλῷ μείζων· ὅπερ ἐστὶν ἀδύνατον.

Οὐκ ἄρα ἐπὶ τῆς αὐτῆς εὐθείας δύο ταῖς αὐταῖς εὐθείαις ἄλλαι δύο εὐθεῖαι ἴσαι ἑκατέρα ἑκατέρᾳ συσταθήσονται πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ ἐπὶ τὰ αὐτὰ μέρη τὰ αὐτὰ πέρατα ἔχουσαι ταῖς ἐξ ἀρχῆς εὐθείαις· ὅπερ ἔδει δεῖξαι.

η'.

Ἐὰν δύο τρίγωνα τὰς δύο πλευρὰς [ταῖς] δύο πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ, ἔχῃ δὲ καὶ τὴν βάσιν τῇ βάσει ἴσην καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἕξει τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰς δύο πλευρὰς τὰς ΑΒ, ΑΓ ταῖς δύο πλευραῖς ταῖς ΔΕ, ΔΖ ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ΑΒ τῇ ΔΕ τὴν δὲ ΑΓ τῇ ΔΖ· ἐχέτω δὲ καὶ βάσιν τὴν ΒΓ βάσει τῇ ΕΖ ἴσην· λέγω, ὅτι καὶ γωνία ἡ ὑπὸ ΒΑΓ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἐστιν ἴση.



Ἐφαρμοζομένου γὰρ τοῦ ΑΒΓ τριγώνου ἐπὶ τὸ ΔΕΖ τρίγωνον καὶ τιθεμένου τοῦ μὲν Β σημείου ἐπὶ τὸ Ε σημεῖον τῆς δὲ ΒΓ εὐθείας ἐπὶ τὴν ΕΖ ἐφαρμόσει καὶ τὸ Γ σημεῖον ἐπὶ τὸ Ζ διὰ τὸ ἴσην εἶναι τὴν ΒΓ τῇ ΕΖ· ἐφαρμοσάσης δὴ τῆς ΒΓ ἐπὶ τὴν ΕΖ ἐφαρμόσουσι καὶ αἱ ΒΑ, ΓΑ ἐπὶ τὰς ΕΔ, ΔΖ. εἰ γὰρ βάσις μὲν ἡ ΒΓ ἐπὶ βάσιν τὴν ΕΖ ἐφαρμόσει, αἱ δὲ ΒΑ, ΑΓ πλευραὶ ἐπὶ τὰς ΕΔ, ΔΖ οὐκ ἐφαρμόσουσιν ἀλλὰ παραλλάξουσιν ὡς αἱ ΕΗ, ΗΖ, συσταθήσονται ἐπὶ τῆς αὐτῆς εὐθείας δύο ταῖς αὐταῖς εὐθείαις ἄλλαι δύο εὐθεῖαι ἴσαι ἑκατέρα ἑκατέρᾳ πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ ἐπὶ τὰ αὐτὰ μέρη τὰ αὐτὰ πέρατα ἔχουσαι. οὐ συνίστανται δέ· οὐκ ἄρα ἐφαρμοζομένης τῆς ΒΓ βάσεως ἐπὶ τὴν ΕΖ βάσιν οὐκ ἐφαρμόσουσι καὶ αἱ ΒΑ, ΑΓ πλευραὶ ἐπὶ τὰς ΕΔ, ΔΖ. ἐφαρμόσουσιν ἄρα· ὥστε καὶ γωνία ἡ ὑπὸ ΒΑΓ ἐπὶ γωνίαν τὴν ὑπὸ ΕΔΖ ἐφαρμόσει καὶ ἴση αὐτῇ ἔσται.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο πλευρὰς [ταῖς] δύο πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ καὶ τὴν βάσιν τῇ βάσει ἴσην ἔχῃ, καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἕξει τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην· ὅπερ ἔδει δεῖξαι.

θ'.

Τὴν δοθεῖσαν γωνίαν εὐθύγραμμον δίχα τεμεῖν.

Ἔστω ἡ δοθεῖσα γωνία εὐθύγραμμος ἡ ὑπὸ ΒΑΓ. δεῖ δὴ αὐτὴν δίχα τεμεῖν.

Ἐπειδὴ λοιπὸν ἡ ΑΓ εἶναι ἴση πρὸς τὴν ΑΔ, εἶναι καὶ ἡ γωνία ΑΓΔ ἴση πρὸς τὴν ΑΔΓ (θεώρ. 5)· ἄρα ἡ γωνία ΑΔΓ θὰ εἶναι μεγαλυτέρα τῆς γωνίας ΔΓΒ (κ. ἔννοιαι 8)· ἄρα κατὰ μείζονα λόγον ἡ γωνία ΓΔΒ θὰ εἶναι μεγαλυτέρα τῆς γωνίας ΔΓΒ. Πάλιν, ἐπειδὴ ἡ ΓΒ εἶναι ἴση πρὸς τὴν ΔΒ, εἶναι ἴση καὶ ἡ γωνία ΓΔΒ πρὸς τὴν γωνίαν ΔΓΒ (θεώρ. 5). Ἐδείχθη ὅμως, ὅτι αὕτη (ἡ ΓΔΒ) εἶναι πολὺ μεγαλυτέρα αὐτῆς· ὅπερ ἀδύνατον.

Ἄρα, ἐπὶ τῆς αὐτῆς εὐθείας, δὲν εἶναι δυνατόν, ἐὰν ἔχουν ἀχθῆ δύο εὐθεῖαι ἐκ σημείου ἐκτὸς τῆς εὐθείας πρὸς τὰ ἄκρα τῆς εὐθείας, ν' ἀχθοῦν ἐξ ἄλλου σημείου δύο ἄλλαι εὐθεῖαι, ἀντιστοίχως ἴσαι πρὸς τὰς ἀρχικάς, αἱ ὁποῖαι νὰ κεῖνται πρὸς τὸ αὐτὸ μέρος τῆς εὐθείας καὶ νὰ ἔχουν τὰ αὐτὰ πέρατα μὲ τὰς ἀρχικὰς εὐθείας· ὅπερ ἔδει δεῖξαι.

8.

Ἐὰν δύο τρίγωνα ἔχουν δύο πλευρὰς ἴσας ἀντιστοίχως καὶ ἡ βάσις τοῦ ἑνὸς εἶναι ἴση πρὸς τὴν βάσιν τοῦ ἄλλου, καὶ ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ἴσων ἀντιστοίχως πλευρῶν θὰ εἶναι ἴση.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰ ὁποῖα ἔχουν τὰς πλευρὰς ΑΒ, ΑΓ ἀντιστοίχως ἴσας πρὸς τὰς πλευρὰς ΔΕ, ΔΖ τὴν μὲν ΑΒ ἴσην πρὸς τὴν ΔΕ τὴν δὲ ΑΓ ἴσην πρὸς τὴν ΔΖ· ἂς ἔχουν δὲ καὶ τὴν βάσιν ΒΓ ἴσην πρὸς τὴν βάσιν ΕΖ· λέγω, ὅτι καὶ ἡ γωνία ΒΑΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΕΔΖ.

Διότι, ἐὰν ἐφαρμοσθῇ τὸ τρίγωνον ΑΒΓ ἐπὶ τοῦ τριγώνου ΔΕΖ καὶ τεθῇ τὸ μὲν σημεῖον Β ἐπὶ τοῦ σημείου Ε, ἡ δὲ εὐθεῖα ΒΓ ἐπὶ τῆς εὐθείας ΕΖ, τὸ σημεῖον Γ θὰ ἐφαρμόσῃ ἐπὶ τοῦ σημείου Ζ, διότι ἡ ΒΓ εἶναι ἴση πρὸς τὴν ΕΖ· ἀλλ' ἀφοῦ ἡ ΒΓ θὰ ἐφαρμόσῃ ἐπὶ τῆς ΕΖ, θὰ ἐφαρμόσουν ἀντιστοίχως καὶ αἱ εὐθεῖαι ΒΑ, ΓΑ ἐπὶ τὰς ΕΔ, ΔΖ. Διότι, ἐὰν ἡ μὲν βάσις ΒΓ ἐφαρμόσῃ ἐπὶ τῆς βάσεως ΕΖ, αἱ δὲ πλευραὶ ΒΑ, ΑΓ δὲν ἐφαρμόσουν ἐπὶ τὰς πλευρὰς ΕΔ, ΔΖ, ἀλλὰ λάβουν ἄλλας θέσεις, ὡς τὰς ΕΗ, ΗΖ, τότε θὰ ἔχουν ἀχθῆ εἰς τὰ πέρατα τῆς αὐτῆς εὐθείας ἐκ δύο διαφορετικῶν σημείων, κειμένων πρὸς τὸ αὐτὸ μέρος τῆς εὐθείας, δύο εὐθεῖαι ἴσαι πρὸς ἄλλας δύο εὐθείας ἀντιστοίχως. Ἀλλὰ τοῦτο δὲν εἶναι δυνατόν (θεώρ. 7)· ἄρα ἀποκλείεται νὰ μὴ ἐφαρμόσουν αἱ πλευραὶ ΒΑ, ΑΓ, ἐπὶ τὰς ΕΔ, ΔΖ ἀντιστοίχως, ἐὰν ἡ βάσις ΒΓ ἐφαρμόσῃ ἐπὶ τῆς βάσεως ΕΖ. Ἄρα θὰ ἐφαρμόσουν. Ὥστε καὶ ἡ γωνία ΒΑΓ θὰ ἐφαρμόσῃ ἐπὶ τῆς γωνίας ΕΔΖ καὶ θὰ εἶναι ἴση πρὸς αὐτήν.

Ἐὰν ἄρα δύο τρίγωνα ἔχουν δύο πλευρὰς ἴσας ἀντιστοίχως καὶ ἡ βάσις τοῦ ἑνὸς εἶναι ἴση πρὸς τὴν βάσιν τοῦ ἄλλου, καὶ ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ἴσων πλευρῶν θὰ εἶναι ἴση· ὅπερ ἔδει δεῖξαι.

9.

Τὴν δοθεῖσαν εὐθύγραμμον γωνίαν νὰ διχοτομήσωμεν.

Ἔστω ἡ δοθεῖσα εὐθύγραμμος γωνία ἡ ΒΑΓ. Πρέπει νὰ διχοτομήσωμεν αὐτήν.



Εἰλήφθω ἐπὶ τῆς ΑΒ τυχὸν σημεῖον τὸ Δ, καὶ ἀφῃρήσθω ἀπὸ τῆς ΑΓ τῇ ΑΔ ἴση ἡ ΑΕ, καὶ ἐπεζεύχθω ἡ ΔΕ, καὶ συνεστάτω ἐπὶ τῆς ΔΕ τρίγωνον ἰσόπλευρον τὸ ΔΕΖ, καὶ ἐπεζεύχθω ἡ ΑΖ· λέγω, ὅτι ἡ ὑπὸ ΒΑΓ γωνία δίχα τέτμηται ὑπὸ τῆς ΑΖ εὐθείας.

Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΑΕ, κοινὴ δὲ ἡ ΑΖ, δύο δὴ αἱ ΔΑ, ΑΖ, δυσὶ ταῖς ΕΑ, ΑΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. καὶ βάσις ἡ ΔΖ βάσει τῇ ΕΖ ἴση ἐστίν· γωνία ἄρα ἡ ὑπὸ ΔΑΖ γωνίᾳ τῇ ὑπὸ ΕΑΖ ἴση ἐστίν.

Ἡ ἄρα δοθεῖσα γωνία εὐθύγραμμος ἡ ὑπὸ ΒΑΓ δίχα τέτμηται ὑπὸ τῆς ΑΖ εὐθείας· ὅπερ ἔδει ποιῆσαι.

ι'.

Τὴν δοθεῖσαν εὐθεῖαν πεπερασμένην δίχα τεμεῖν.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ ΑΒ· δεῖ δὴ τὴν ΑΒ εὐθεῖαν πεπερασμένην δίχα τεμεῖν.



Συνεστάτω ἐπ' αὐτῆς τρίγωνον ἰσόπλευρον τὸ ΑΒΓ, καὶ τετμήσθω ἡ ὑπὸ ΑΓΒ γωνία δίχα τῇ ΓΔ εὐθείᾳ· λέγω, ὅτι ἡ ΑΒ εὐθεῖα δίχα τέτμηται κατὰ τὸ Δ σημεῖον.

Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΒ, κοινὴ δὲ [ἡ] ΓΔ, δύο δὴ αἱ ΑΓ, ΓΔ δύο ταῖς ΒΓ, ΓΔ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΑΓΔ γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση ἐστίν· βάσις ἄρα ἡ ΑΔ βάσει τῇ ΒΔ ἴση ἐστίν.

Ἡ ἄρα δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ ΑΒ δίχα τέτμηται κατὰ τὸ Δ· ὅπερ ἔδει ποιῆσαι.

ια'.

Τῇ δοθείσῃ εὐθείᾳ ἀπὸ τοῦ πρὸς αὐτῇ δοθέντος σημείου πρὸς ὀρθὰς γωνίας εὐθεῖαν γραμμὴν ἀγαγεῖν.



Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ τὸ δὲ δοθὲν σημεῖον ἐπ' αὐτῆς τὸ Γ· δεῖ δὴ ἀπὸ τοῦ Γ σημείου τῇ ΑΒ εὐθείᾳ πρὸς ὀρθὰς γωνίας εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Εἰλήφθω ἐπὶ τῆς ΑΓ τυχὸν σημεῖον τὸ Δ, καὶ κείσθω τῇ ΓΔ ἴση ἡ ΓΕ, καὶ συνεστάτω ἐπὶ τῆς ΔΕ τρίγωνον ἰσόπλευρον τὸ ΖΔΕ, καὶ ἐπεζεύχθω ἡ ΖΓ· λέγω, ὅτι τῇ δοθείσῃ εὐθείᾳ τῇ ΑΒ ἀπὸ τοῦ πρὸς αὐτῇ δοθέντος σημείου τοῦ Γ πρὸς ὀρθὰς γωνίας εὐθεῖα γραμμὴ ἦκται ἡ ΖΓ.

Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΔΓ τῇ ΓΕ, κοινὴ δὲ ἡ ΓΖ, δύο δὴ αἱ ΔΓ, ΓΖ δυσὶ ταῖς ΕΓ, ΓΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ βάσις ἡ ΔΖ βάσει τῇ ΖΕ ἴση ἐστίν·

Ἂς ληφθῇ ἐπὶ τῆς ΑΒ τυχὸν σημεῖον τὸ Δ, καὶ ἂς ἀφαιρεθῇ ἀπὸ τῆς ΑΓ ἡ ΑΕ ἴση πρὸς τὴν ΑΔ καὶ ἂς ἀχθῇ ἡ ΔΕ, καὶ ἂς κατασκευασθῇ ἐπὶ τῆς ΔΕ τὸ ἰσόπλευρον τρίγωνον ΔΕΖ καὶ ἂς ἀχθῇ ἡ ΑΖ· λέγω, ὅτι ἡ γωνία ΒΓ ἔχει διχοτομηθῇ ὑπὸ τῆς εὐθείας ΑΖ.

Διότι, ἐπειδὴ ἡ ΑΔ εἶναι ἴση πρὸς τὴν ΑΕ, ἡ δὲ ΑΖ εἶναι κοινή, αἱ δύο πλευραὶ ΔΑ, ΑΖ εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς δύο πλευρὰς ΕΑ, ΑΖ. Καὶ ἡ βάσις ΔΖ εἶναι ἴση πρὸς τὴν βάσιν ΕΖ· ἄρα ἡ γωνία ΔΑΖ εἶναι ἴση πρὸς τὴν γωνίαν ΕΑΖ (θεώρ. 8).

Ἡ δοθεῖσα ἄρα εὐθύγραμμος γωνία ΒΑΓ ἔχει διχοτομηθῇ ὑπὸ τῆς εὐθείας ΑΖ· ὅπερ ἔδει ποιῆσαι.

10.

Τὴν δοθεῖσαν πεπερασμένην εὐθεῖαν νὰ διχοτομήσωμεν.

Ἔστω ἡ δοθεῖσα πεπερασμένη εὐθεῖα ἡ ΑΒ· πρέπει τὴν δοθεῖσαν πεπερασμένην εὐθεῖαν ΑΒ νὰ διχοτομήσωμεν.

Ἂς κατασκευασθῇ ἐπ' αὐτῆς ἰσόπλευρον τρίγωνον τὸ ΑΒΓ καὶ ἂς διχοτομηθῇ ἡ γωνία ΑΓΒ ὑπὸ τῆς εὐθείας ΓΔ· λέγω, ὅτι ἡ εὐθεῖα ΑΒ διχοτομεῖται κατὰ τὸ σημεῖον Δ.

Διότι, ἐπειδὴ ἡ ΑΓ εἶναι ἴση πρὸς τὴν ΓΒ, ἡ δὲ ΓΔ εἶναι κοινή, αἱ δύο πλευραὶ ΑΓ, ΓΔ εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς δύο πλευρὰς ΒΓ, ΓΔ· καὶ ἡ γωνία ΑΓΔ εἶναι ἴση πρὸς τὴν γωνίαν ΒΓΔ· ἄρα ἡ βάσις ΑΔ εἶναι ἴση πρὸς τὴν βάσιν ΒΔ (θεώρ. 4).

Ἡ δοθεῖσα ἄρα πεπερασμένη εὐθεῖα ἡ ΑΒ ἐδιχοτομήθη κατὰ τὸ σημεῖον Δ· ὅπερ ἔδει ποιῆσαι.

11.

Εἰς δοθεῖσαν εὐθεῖαν, ἀπὸ σημείου δοθέντος ἐπ' αὐτῆς ν' ἀχθῇ εὐθεῖα γραμμὴ σχηματίζουσα ὀρθὰς γωνίας.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ δοθὲν ἐπ' αὐτῆς σημεῖον τὸ Γ· πρέπει νὰ ἀχθῇ ἀπὸ τοῦ σημείου Γ εὐθεῖα ἡ ὁποία νὰ σχηματίζῃ μετὰ τῆς εὐθείας ΑΒ ὀρθὰς γωνίας.

Ἂς ληφθῇ ἐπὶ τῆς ΑΓ τυχὸν σημεῖον τὸ Δ, καὶ ἂς ληφθῇ ἡ ΓΕ ἴση πρὸς τὴν ΓΔ καὶ ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΔΕ τὸ ἰσόπλευρον τρίγωνον ΖΔΕ, καὶ ἂς ἐπιζευχθῇ (ἀχθῇ) ἡ ΖΓ· λέγω, ὅτι ἐπὶ τῆς δοθείσης εὐθείας ΑΒ ἀπὸ τοῦ ἐπ' αὐτῆς δοθέντος σημείου Γ ἡ εὐθεῖα ΖΓ ἤχθη σχηματίζουσα ὀρθὰς γωνίας.

Διότι, ἐπειδὴ ἡ ΔΓ εἶναι ἴση πρὸς τὴν ΓΕ, ἡ δὲ ΓΖ εἶναι κοινή, αἱ δύο πλευραὶ ΔΓ, ΓΖ εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς δύο πλευρὰς ΕΓ, ΓΖ· καὶ ἡ βάσις ΔΖ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΕ· ἄρα ἡ γωνία ΔΓΖ εἶναι ἴση πρὸς τὴν *γωνία ἄρα ἡ ὑπὸ ΔΓΖ γωνίᾳ τῇ ὑπὸ ΕΓΖ ἴση ἐστίν· καί εἰσιν ἐφεξῆς. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ὑπὸ ΔΓΖ, ΖΓΕ.*

Τῇ ἄρα δοθείσῃ εὐθείᾳ τῇ ΑΒ ἀπὸ τοῦ πρὸς αὐτῇ δοθέντος σημείου τοῦ Γ πρὸς ὀρθὰς γωνίας εὐθεῖα γραμμὴ ἦκται ἡ ΓΖ· ὅπερ ἔδει ποιῆσαι.

ιβ'.

Ἐπὶ τὴν δοθεῖσαν εὐθεῖαν ἄπειρον ἀπὸ τοῦ δοθέντος σημείου, ὃ μή ἐστιν ἐπ' αὐτῆς, κάθετον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἄπειρος ἡ ΑΒ τὸ δὲ δοθὲν σημεῖον, ὃ μή ἐστιν ἐπ' αὐτῆς, τὸ Γ· δεῖ δὴ ἐπὶ τὴν δοθεῖσαν εὐθεῖαν ἄπειρον τὴν ΑΒ ἀπὸ τοῦ δοθέντος σημείου τοῦ Γ, ὃ μή ἐστιν ἐπ' αὐτῆς, κάθετον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.



Εἰλήφθω γὰρ ἐπὶ τὰ ἕτερα μέρη τῆς ΑΒ εὐθείας τυχὸν σημεῖον τὸ Δ, καὶ κέντρῳ μὲν τῷ Γ διαστήματι δὲ τῷ ΓΔ κύκλος γεγράφθω ὁ ΕΖΗ, καὶ τετμήσθω ἡ ΕΗ εὐθεῖα δίχα κατὰ τὸ Θ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΗ, ΓΘ, ΓΕ εὐθεῖαι· λέγω, ὅτι ἐπὶ τὴν δοθεῖσαν εὐθεῖαν ἄπειρον τὴν ΑΒ ἀπὸ τοῦ δοθέντος σημείου τοῦ Γ, ὃ μή ἐστιν ἐπ' αὐτῆς, κάθετος ἦκται ἡ ΓΘ.

Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΗΘ τῇ ΘΕ, κοινὴ δὲ ἡ ΘΓ, δύο δὴ αἱ ΗΘ, ΘΓ δύο ταῖς ΕΘ, ΘΓ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ βάσις ἡ ΓΗ βάσει τῇ ΓΕ ἐστιν ἴση· γωνία ἄρα ἡ ὑπὸ ΓΘΗ γωνίᾳ τῇ ὑπὸ ΕΘΓ ἐστιν ἴση· καί εἰσιν ἐφεξῆς. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν, καὶ ἡ ἐφεστηκυῖα εὐθεῖα κάθετος καλεῖται ἐφ' ἣν ἐφέστηκεν.

Ἐπὶ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν ἄπειρον τὴν ΑΒ ἀπὸ τοῦ δοθέντος σημείου τοῦ Γ, ὃ μή ἐστιν ἐπ' αὐτῆς, κάθετος ἦκται ἡ ΓΔ· ὅπερ ἔδει ποιῆσαι.

ιγ'.

Ἐὰν εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα γωνίας ποιῇ, ἤτοι δύο ὀρθὰς ἢ δυσὶν ὀρθαῖς ἴσας ποιήσει.

Εὐθεῖα γάρ τις ἡ ΑΒ ἐπ' εὐθεῖαν τὴν ΓΔ σταθεῖσα γωνίας ποιείτω τὰς ὑπὸ ΓΒΑ, ΑΒΔ· λέγω, ὅτι αἱ ὑπὸ ΓΒΑ, ΑΒΔ γωνίαι ἤτοι δύο ὀρθαί εἰσιν ἢ δυσὶν ὀρθαῖς ἴσαι.



Εἰ μὲν οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΓΒΑ τῇ ὑπὸ ΑΒΔ, δύο ὀρθαί εἰσιν. εἰ δὲ οὔ, ἤχθω ἀπὸ τοῦ Β σημείου τῇ ΓΔ [εὐθείᾳ] πρὸς ὀρθὰς ἡ ΒΕ· αἱ ἄρα ὑπὸ ΓΒΕ, ΕΒΔ δύο ὀρθαί εἰσιν· καὶ ἐπεὶ ἡ ὑπὸ ΓΒΕ δυσὶ ταῖς ὑπὸ ΓΒΑ, ΑΒΕ ἴση ἐστίν, κοινὴ προσκείσθω ἡ ὑπὸ ΕΒΔ· αἱ ἄρα ὑπὸ ΓΒΕ, ΕΒΔ τρισὶ ταῖς

ΕΓΖ (θεώρ. 8)· καὶ εἶναι αὗται ἐφεξῆς. Ὅταν δὲ εὐθεῖα ἄγεται ἐξ εὐθείας σχηματίζουσα τὰς ἐφεξῆς γωνίας ἴσας πρὸς ἀλλήλας, ἑκάστη τῶν ἴσων γωνιῶν εἶναι ὀρθή (ὁρ. 10)· ἄρα ἑκάστη τῶν γωνιῶν ΔΓΖ, ΖΓΕ εἶναι ὀρθή.

Ἄρα εἰς τὴν δοθεῖσαν εὐθεῖαν ΑΒ ἀπὸ τοῦ ἐπ' αὐτῆς δοθέντος σημείου Γ ἤχθη ἡ εὐθεῖα γραμμὴ ΓΖ σχηματίζουσα ὀρθὰς γωνίας· ὅπερ ἔδει ποιῆσαι.

12.

Ἐπὶ δοθείσης ἀπεριορίστου εὐθείας, ἀπὸ δοθέντος σημείου μὴ κειμένου ἐπ' αὐτῆς ν' ἀχθῇ εὐθεῖα γραμμὴ κάθετος.

Ἔστω ἡ μὲν δοθεῖσα ἀπεριόριστος εὐθεῖα ἡ ΑΒ, τὸ δὲ δοθὲν σημεῖον τὸ ὁποῖον δὲν κεῖται ἐπ' αὐτῆς τὸ Γ· πρέπει ἐπὶ τὴν δοθεῖσαν ἀπεριόριστον εὐθεῖαν τὴν ΑΒ, ἀπὸ τοῦ δοθέντος σημείου Γ, τὸ ὁποῖον δὲν κεῖται ἐπ' αὐτῆς, ν' ἀχθῇ εὐθεῖα γραμμὴ κάθετος.

Διότι, ἂς ληφθῇ ἐπὶ τοῦ ἄλλου μέρους τῆς εὐθείας ΑΒ τυχὸν σημεῖον τὸ Δ καὶ μὲ κέντρον μὲν τὸ Γ ἀκτῖνα δὲ τὴν ΓΔ ἂς γραφῇ ὁ κύκλος ΕΖΗ (αἴτ. 3) καὶ ἂς τμηθῇ εἰς τὸ μέσον ἡ εὐθεῖα ΕΗ (θώρ. 10) κατὰ τὸ σημεῖον Θ, καὶ ἂς ἀχθοῦν αἱ εὐθεῖαι ΓΗ, ΓΘ, ΓΕ· λέγω, ὅτι ἐπὶ τὴν ἀπεριόριστον δοθεῖσαν εὐθεῖαν ΑΒ, ἀπὸ τοῦ δοθέντος σημείου Γ, τὸ ὁποῖον δὲν κεῖται ἐπ' αὐτῆς, ἤχθη κάθετος ἡ ΓΘ.

Διότι, ἐπειδὴ ἡ ΗΘ εἶναι ἴση πρὸς τὴν ΘΕ, ἡ δὲ ΘΓ εἶναι κοινή, αἱ δύο πλευραὶ ΗΘ, ΘΓ εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς δύο πλευρὰς ΕΘ, ΘΓ· καὶ ἡ βάσις ΓΗ εἶναι ἴση πρὸς τὴν βάσιν ΓΕ· ἄρα ἡ γωνία ΓΘΗ εἶναι ἴση πρὸς τὴν γωνίαν ΕΘΓ (θεώρ. 8). Καὶ εἶναι αὗται ἐφεξῆς. Ὅταν δὲ εὐθεῖα ἀχθῇ ἐξ εὐθείας σχηματίζουσα τὰς ἐφεξῆς γωνίας ἴσας πρὸς ἀλλήλας, ἑκάστη τῶν ἴσων γωνιῶν εἶναι ὀρθὴ καὶ ἡ ἀχθεῖσα εὐθεῖα καλεῖται κάθετος ἐπὶ τὴν εὐθεῖαν ἐπὶ τὴν ὁποίαν ἤχθη (ὅρ. 10).

Ἄρα ἐπὶ τὴν δοθεῖσαν ἀπεριόριστον εὐθεῖαν ΑΒ, ἀπὸ τοῦ δοθέντος σημείου Γ, τὸ ὁποῖον δὲν κεῖται ἐπ' αὐτῆς, ἤχθη κάθετος ἡ ΓΘ· ὅπερ ἔδει ποιῆσαι..

13.

Ἐὰν εὐθεῖα ἀγομένη ἐπὶ εὐθεῖαν σχηματίζῃ γωνίας, αἱ γωνίαι αὗται εἶναι ἢ δύο ὀρθαὶ ἢ τὸ ἄθροισμά των ἰσοῦται μὲ δύο ὀρθάς.

Διότι ἂς ἀχθῇ εὐθεῖά τις ἡ ΑΒ ἐπὶ τὴν εὐθεῖαν ΓΔ καὶ ἂς σχηματίζῃ μετ' αὐτῆς τὰς γωνίας ΓΒΑ, ΑΒΔ· λέγω, ὅτι αἱ γωνίαι ΓΒΑ, ΑΒΔ ἢ εἶναι καὶ αἱ δύο ὀρθαί, ἢ τὸ ἄθροισμά των ἰσοῦται μὲ δύο ὀρθάς.

Ἐὰν μὲν ἡ γωνία ΓΒΑ εἶναι ἴση πρὸς τὴν ΑΒΔ, αὗται εἶναι δύο ὀρθαί (ὁρ. 10). Ἐὰν δὲ ὄχι, ἂς ἀχθῇ ἐκ τοῦ σημείου Β ἐπὶ τὴν (εὐθεῖαν) ΓΔ κάθετος ἡ ΒΕ (θεώρ. 11)· αἱ γωνίαι ἄρα ΓΒΕ, ΕΒΔ εἶναι δύο ὀρθαί· καὶ ἐπειδὴ ἡ ΓΒΕ εἶναι ἴση πρὸς τὰς ΓΒΑ, ΑΒΕ, ἂς προστεθῇ εἰς αὐτὰς ἡ κοινὴ γωνία ΕΒΔ· αἱ *ὑπὸ ΓΒΑ, ΑΒΕ, ΕΒΔ ἴσαι εἰσίν. πάλιν, ἐπεὶ ἡ ὑπὸ ΔΒΑ δυσὶ ταῖς ὑπὸ ΔΒΕ, ΕΒΑ ἴση ἐστίν, κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΒΓ· αἱ ἄρα ὑπὸ ΔΒΑ, ΑΒΓ τρισὶ ταῖς ὑπὸ ΔΒΕ, ΕΒΑ, ΑΒΓ ἴσαι εἰσίν. ἐδείχθησαν δὲ καὶ αἱ ὑπὸ ΓΒΕ, ΕΒΔ τρισὶ ταῖς αὐταῖς ἴσαι· τὰ δὲ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα· καὶ αἱ ὑπὸ ΓΒΕ, ΕΒΔ ἄρα ταῖς ὑπὸ ΔΒΑ, ΑΒΓ ἴσαι εἰσίν· ἀλλὰ αἱ ὑπὸ ΓΒΕ, ΕΒΔ δύο ὀρθαί εἰσιν· καὶ αἱ ὑπὸ ΔΒΑ, ΑΒΓ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.*

Ἐὰν ἄρα εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα γωνίας ποιῇ, ἤτοι δύο ὀρθὰς ἢ δυσὶν ὀρθαῖς ἴσας ποιήσει· ὅπερ ἔδει δεῖξαι.

ιδ΄.

Ἐὰν πρός τινι εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ δύο εὐθεῖαι μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι τὰς ἐφεξῆς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιῶσιν, ἐπ' εὐθείας ἔσονται ἀλλήλαις αἱ εὐθεῖαι.

Πρὸς γάρ τινι εὐθείᾳ τῇ ΑΒ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β δύο εὐθεῖαι αἱ ΒΓ, ΒΔ μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι τὰς ἐφεξῆς γωνίας τὰς ὑπὸ ΑΒΓ, ΑΒΔ δύο ὀρθαῖς ἴσας ποιείτωσαν· λέγω, ὅτι ἐπ' εὐθείας ἐστὶ τῇ ΓΒ ἡ ΒΔ.



Εἰ γὰρ μή ἐστι τῇ ΒΓ ἐπ' εὐθείας ἡ ΒΔ, ἔστω τῇ ΓΒ ἐπ' εὐθείας ἡ ΒΕ.

Ἐπεὶ οὖν εὐθεῖα ἡ ΑΒ ἐπ' εὐθεῖαν τὴν ΓΒΕ ἐφέστηκεν, αἱ ἄρα ὑπὸ ΑΒΓ, ΑΒΕ γωνίαι δύο ὀρθαῖς ἴσαι εἰσίν· εἰσὶ δὲ καὶ αἱ ὑπὸ ΑΒΓ, ΑΒΔ δύο ὀρθαῖς ἴσαι· αἱ ἄρα ὑπὸ ΓΒΑ, ΑΒΕ ταῖς ὑπὸ ΓΒΑ, ΑΒΔ ἴσαι εἰσίν, κοινὴ ἀφῃρήσθω ἡ ὑπὸ ΓΒΑ· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΒΕ λοιπῇ τῇ ὑπὸ ΑΒΔ ἐστιν ἴση, ἡ ἐλάσσων τῇ μείζονι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἐπ' εὐθείας ἐστὶν ἡ ΒΕ τῇ ΓΒ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΒΔ· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΓΒ τῇ ΒΔ.

Ἐὰν ἄρα πρός τινι εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ δύο εὐθεῖαι μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι τὰς ἐφεξῆς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιῶσιν, ἐπ' εὐθείας ἔσονται ἀλλήλαις αἱ εὐθεῖαι· ὅπερ ἔδει δεῖξαι.

ιε΄.

Ἐὰν δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὰς κατὰ κορυφὴν γωνίας ἴσας ἀλλήλαις ποιοῦσιν.

Δύο γὰρ εὐθεῖαι αἱ ΑΒ, ΓΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε σημεῖον· λέγω, ὅτι ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΑΕΓ γωνία τῇ ὑπὸ ΔΕΒ, ἡ δὲ ὑπὸ ΓΕΒ τῇ ὑπὸ ΑΕΔ.

γωνίαι ἄρα ΓΒΕ, ΕΒΔ εἶναι ἴσαι πρὸς τὰς τρεῖς ΓΒΑ, ΑΒΕ, ΕΒΔ. Πάλιν, ἐπειδὴ ἡ ΔΒΑ εἶναι ἴση πρὸς τὰς δύο ΔΒΕ, ΕΒΑ, ἂς προστεθῇ εἰς αὐτὰς ἡ κοινὴ γωνία ΑΒΓ· ἄρα αἱ ΔΒΑ, ΑΒΓ εἶναι ἴσαι πρὸς τὰς τρεῖς ΔΒΕ, ΕΒΑ, ΑΒΓ. Ἐδείχθησαν δὲ καὶ αἱ ΓΒΕ, ΕΒΔ ἴσαι πρὸς τὰς αὐτὰς τρεῖς γωνίας· τὰ δὲ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις εἶναι ἴσα (κ. ἔν. 1)· ἄρα καὶ αἱ γωνίαι ΓΒΕ, ΕΒΔ εἶναι ἴσαι πρὸς τὰς ΔΒΑ, ΑΒΓ· ἀλλὰ αἱ ΓΒΕ, ΕΒΔ εἶναι δύο ὀρθαί· ἄρα καὶ αἱ ΔΒΑ, ΑΒΓ ἔχουν ἄθροισμα δύο ὀρθάς.

Ἐὰν ἄρα εὐθεῖα ἀχθεῖσα ἐπὶ εὐθεῖαν σχηματίζῃ γωνίας, αὗται ἢ θὰ εἶναι καὶ αἱ δύο ὀρθαὶ ἢ τὸ ἄθροισμά των θὰ ἰσοῦται μὲ δύο ὀρθάς· ὅπερ ἔδει δεῖξαι.

14.

Ἐὰν ἔκ τινος εὐθείας καὶ ἐκ σημείου ἐπ' αὐτῆς κειμένου ἀχθοῦν δύο εὐθεῖαι, μὴ κείμεναι πρὸς τὸ αὐτὸ μέρος τῆς εὐθείας, αἱ ὁποῖαι νὰ σχηματίζουν τὰς ἐφεξῆς γωνίας ἴσας πρὸς δύο ὀρθάς, αἱ ἀγόμεναι εὐθεῖαι κεῖνται ἐπ' εὐθείας.

Διότι, ἂς ἀχθοῦν ἐκ τοῦ σημείου Β τῆς εὐθείας ΑΒ, δύο εὐθεῖαι αἱ ΒΓ, ΒΔ μὴ κείμεναι ἐπὶ τὰ αὐτὰ μέρη τῆς εὐθείας, καὶ ἂς σχηματίζουν τὰς ἐφεξῆς γωνίας τὰς ΑΒΓ, ΑΒΔ ἴσας πρὸς δύο ὀρθάς· λέγω, ὅτι ἡ εὐθεῖα ΒΔ κεῖται ἐπὶ τῆς αὐτῆς εὐθείας ἐφ' ἧς κεῖται ἡ ΓΒ.

Διότι, ἐὰν ἡ ΒΔ δὲν κεῖται ἐπὶ τῆς αὐτῆς εὐθείας μὲ τὴν ΒΓ, ἔστω, ὅτι ἡ ΒΕ κεῖται ἐπὶ τῆς αὐτῆς εὐθείας μὲ τὴν ΓΒ.

Ἐπειδὴ λοιπὸν ἡ εὐθεῖα ΑΒ ἄγεται ἐπὶ τὴν εὐθεῖαν ΓΒΕ, ἕπεται, ὅτι αἱ γωνίαι ΑΒΓ, ΑΒΕ ἔχουν ἄθροισμα δύο ὀρθάς (θεώρ. 13)· εἶναι δὲ καὶ αἱ γωνίαι ΑΒΓ, ΑΒΔ ἴσαι πρὸς δύο ὀρθάς, ἄρα αἱ ΓΒΑ, ΑΒΕ εἶναι ἴσαι· πρὸς τὰς ΓΒΑ, ΑΒΔ (κ. ἔν. 1). Ἂς ἀφαιρεθῇ ἐκ τούτων ἡ κοινὴ γωνία ΓΒΑ· ἡ ὑπόλοιπος ἄρα ΑΒΕ εἶναι ἴση πρὸς τὴν ὑπόλοιπον ΑΒΔ (κ.ἔν. 3), ἤτοι ἡ μικροτέρα εἶναι ἴση πρὸς τὴν μεγαλυτέραν· ὅπερ ἀδύνατον. Ἄρα ἡ ΒΕ δὲν εἶναι ἐπὶ τῆς αὐτῆς εὐθείας μὲ τὴν ΓΒ. Ὁμοίως ἀποδεικνύεται, ὅτι οὐδεμία ἄλλη εὐθεῖα ὑπάρχει πλὴν τῆς ΒΔ· ἄρα ἡ ΓΒ καὶ ἡ ΒΔ κεῖνται ἐπ' εὐθείας.

Ἐὰν ἄρα ἐκ σημείου εὐθείας τινὸς ἀχθοῦν δύο εὐθεῖαι, κείμεναι οὐχὶ πρὸς τὰ αὐτὰ μέρη τῆς εὐθείας, καὶ σχηματίζουν τὰς ἐφεξῆς γωνίας ἴσας μὲ δύο ὀρθάς, αἱ ἀχθεῖσαι εὐθεῖαι θὰ κεῖνται ἐπ' εὐθείας· ὅπερ ἔδει δεῖξαι.

15.

Ἐὰν δύο εὐθεῖαι τέμνωνται μεταξύ των, σχηματίζουν τὰς κατὰ κορυφὴν γωνίας ἴσας πρὸς ἀλλήλας.

Διότι ἂς τέμνωνται μεταξύ των αἱ εὐθεῖαι ΑΒ, ΓΔ κατὰ τὸ σημεῖον Ε· λέγω, ὅτι ἡ μὲν γωνία ΑΕΓ εἶναι ἴση πρὸς τὴν ΔΕΒ, ἡ δὲ ΓΕΒ εἶναι ἴση πρὸς τὴν ΑΕΔ.



Ἐπεὶ γὰρ εὐθεῖα ἡ ΑΕ ἐπ' εὐθεῖαν τὴν ΓΔ ἐφέστηκε γωνίας ποιοῦσα τὰς ὑπὸ ΓΕΑ, ΑΕΔ, αἱ ἄρα ὑπὸ ΓΕΑ, ΑΕΔ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. πάλιν, ἐπεὶ εὐθεῖα ἡ ΔΕ ἐπ' εὐθεῖαν τὴν ΑΒ ἐφέστηκε γωνίας ποιοῦσα τὰς ὑπὸ ΑΕΔ, ΔΕΒ, αἱ ἄρα ὑπὸ ΑΕΔ, ΔΕΒ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. Ἐδείχθησαν δὲ καὶ αἱ ὑπὸ ΓΕΑ, ΑΕΔ δυσὶν ὀρθαῖς ἴσαι· αἱ ἄρα ὑπὸ ΓΕΑ, ΑΕΔ ταῖς ὑπὸ ΑΕΔ, ΔΕΒ ἴσαι εἰσίν. κοινὴ ἀφῃρήσθω ἡ ὑπὸ ΑΕΔ· λοιπὴ ἄρα ἡ ὑπὸ ΓΕΑ λοιπῇ τῇ ὑπὸ ΒΕΔ ἴση ἐστίν· ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ αἱ ὑπὸ ΓΕΒ, ΔΕΑ ἴσαι εἰσίν.

Ἐὰν ἄρα δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὰς κατὰ κορυφὴν γωνίας ἴσας ἀλλήλαις ποιοῦσιν· ὅπερ ἔδει δεῖξαι.

[**Πόρισμα.**

Ἐκ δὴ τούτου φανερὸν ὅτι, ἐὰν δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὰς πρὸς τῇ τομῇ γωνίας τέτρασιν ὀρθαῖς ἴσας ποιήσουσιν.]

ις'.

Παντὸς τριγώνου μιᾶς τῶν πλευρῶν προσεκβληθείσης ἡ ἐκτὸς γωνία ἑκατέρας τῶν ἐντὸς καὶ ἀπεναντίον γωνιῶν μείζων ἐστίν.

Ἔστω τρίγωνον τὸ ΑΒΓ, καὶ προσεκβεβλήσθω αὐτοῦ μία πλευρὰ ἡ ΒΓ ἐπὶ τὸ Δ· λέγω, ὅτι ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΑΓΔ μείζων ἐστὶν ἑκατέρας τῶν ἐντὸς καὶ ἀπεναντίον τῶν ὑπὸ ΓΒΑ, ΒΑΓ γωνιῶν.



Τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Ε, καὶ ἐπιζευχθεῖσα ἡ ΒΕ ἐκβεβλήσθω ἐπ' εὐθείας ἐπὶ τὸ Ζ, καὶ κείσθω τῇ ΒΕ ἴση ἡ ΕΖ, καὶ ἐπεζεύχθω ἡ ΖΓ, καὶ διήχθω ἡ ΑΓ ἐπὶ τὸ Η.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΑΕ τῇ ΕΓ, ἡ δὲ ΒΕ τῇ ΕΖ, δύο δὴ αἱ ΑΕ, ΕΒ δυσὶ ταῖς ΓΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΑΕΒ γωνίᾳ τῇ ὑπὸ ΖΕΓ ἴση ἐστίν· κατὰ κορυφὴν γάρ· βάσις ἄρα ἡ ΑΒ βάσει τῇ ΖΓ ἴση ἐστίν, καὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΖΕΓ τριγώνῳ ἐστὶν ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΕ τῇ ὑπὸ ΕΓΖ, μείζων δέ ἐστιν ἡ ὑπὸ ΕΓΔ τῆς ὑπὸ ΕΓΖ· μείζων ἄρα ἡ ὑπὸ ΑΓΔ τῆς ὑπὸ ΒΑΕ. Ὁμοίως δὴ τῆς ΒΓ τετμημένης δίχα δειχθήσεται καὶ ἡ ὑπὸ ΒΓΗ, τουτέστιν ἡ ὑπὸ ΑΓΔ, μείζων καὶ τῆς ὑπὸ ΑΒΓ.

Παντὸς ἄρα τριγώνου μιᾶς τῶν πλευρῶν προσεκβληθείσης ἡ ἐκτὸς γωνία ἑκατέρας τῶν ἐντὸς καὶ ἀπεναντίον γωνιῶν μείζων ἐστίν· ὅπερ ἔδει δεῖξαι.

Διότι, ἐπειδὴ ἡ εὐθεῖα ΑΕ ἄγεται ἐπὶ τὴν εὐθεῖαν ΓΔ σχηματίζουσα μετ' αὐτῆς ἐφεξῆς τὰς γωνίας ΓΕΑ, ΑΕΔ, ἕπεται, ὅτι αἱ ΓΕΑ, ΑΕΔ ἔχουν ἄθροισμα ἴσον πρὸς δύο ὀρθάς (θεώρ. 13). Πάλιν, ἐπειδὴ ἡ εὐθεῖα ΔΕ ἄγεται ἐπὶ τὴν εὐθεῖαν ΑΒ σχηματίζουσα ἐφεξῆς τὰς γωνίας ΑΕΔ, ΔΕΒ, ἕπεται, ὅτι αἱ ΑΕΔ, ΔΕΒ ἔχουν ἄθροισμα ἴσον πρὸς δύο ὀρθάς. Ἐδείχθησαν δὲ καὶ αἱ ΓΕΑ, ΑΕΔ ἔχουσαι ἄθροισμα δύο ὀρθῶν· ἄρα αἱ ΓΕΑ, ΑΕΔ εἶναι ἴσαι πρὸς τὰς ΑΕΔ, ΔΕΒ (κ. ἐν. 1). Ἂς ἀφαιρεθῇ ἡ κοινὴ ΑΕΔ· ἄρα, ἡ ὑπόλοιπος ΓΕΑ εἶναι ἴση πρὸς τὴν ὑπόλοιπον ΒΕΔ (κ. ἐν. 3)· καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι καὶ αἱ ΓΕΒ, ΔΕΑ εἶναι ἴσαι.

Ἐὰν ἄρα δύο εὐθεῖαι τέμνωνται μεταξύ των, σχηματίζουν τὰς κατὰ κορυφὴν γωνίας ἴσας πρὸς ἀλλήλας· ὅπερ ἔδει δεῖξαι.

[**Πόρισμα.**

Ἐκ τούτου εἶναι φανερὸν ὅτι, ἐὰν δύο εὐθεῖαι τέμνωνται μεταξύ των, θὰ σχηματίσουν τὰς πρὸς τὴν τομὴν γωνίας ἴσας μὲ τέσσαρας ὀρθάς].

16.

Παντὸς τριγώνου ὅταν προεκβληθῇ ἡ μία τῶν πλευρῶν, ἡ ἐξωτερικὴ γωνία εἶναι μεγαλυτέρα ἑκάστης τῶν ἐντὸς καὶ ἀπέναντι γωνιῶν.

Ἔστω τὸ τρίγωνον ΑΒΓ καὶ ἂς προεκβληθῇ μία πλευρὰ αὐτοῦ ἡ ΒΓ μέχρι τοῦ σημείου Δ· λέγω, ὅτι ἡ ἐξωτερικὴ γωνία ΑΓΔ εἶναι μεγαλυτέρα ἑκάστης τῶν ἐντὸς καὶ ἀπέναντι γωνιῶν τῶν ΓΒΑ, ΒΑΓ.

Ἂς διχοτομηθῇ ἡ ΑΓ κατὰ τὸ Ε (θεώρ. 10), καὶ ἀφοῦ ἀχθῇ ἡ ΒΕ ἂς προεκβληθῇ αὐτὴ μέχρι τοῦ σημείου Ζ, καὶ ἂς ληφθῇ ἡ ΒΕ ἴση πρὸς τὴν ΕΖ καὶ ἂς ἀχθῇ ἡ ΖΓ, καὶ ἂς προεκταθῇ ἡ ΑΓ μέχρι τοῦ Η.

Ἐπειδὴ λοιπὸν ἡ μὲν ΑΕ εἶναι ἴση πρὸς τὴν ΕΓ, ἡ δὲ ΒΕ εἶναι ἴση πρὸς τὴν ΕΖ, αἱ δύο πλευραὶ ΑΕ, ΕΒ εἶναι ἴσαι ἀντιστοίχως πρὸς τὰς δύο πλευρὰς ΓΕ, ΕΖ· καὶ ἡ γωνία ΑΕΒ εἶναι ἴση πρὸς τὴν γωνίαν ΖΕΓ· διότι εἶναι κατὰ κορυφήν (θεώρ. 15)· ἄρα ἡ βάσις ΑΒ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΓ, καὶ τὸ τρίγωνον ΑΒΕ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΖΕΓ, καὶ αἱ ὑπόλοιποι γωνίαι τούτων αἱ κείμεναι ἀπέναντι τῶν ἴσων πλευρῶν εἶναι ἀντιστοίχως ἴσαι (θεώρ. 4)· ἄρα ἡ γωνία ΒΑΕ εἶναι ἴση πρὸς τὴν γωνίαν ΕΓΖ. Εἶναι δὲ ἡ γωνία ΕΓΔ μεγαλυτέρα τῆς γωνίας ΕΓΖ· ἄρα ἡ γωνία ΑΓΔ εἶναι μεγαλυτέρα τῆς ΒΑΕ. Ὁμοίως ἀποδεικνύεται, ὅτι ἐὰν ἡ ΒΓ τμηθῇ εἰς τὸ μέσον καὶ ἡ γωνία ΒΓΗ, τουτέστιν ἡ ΑΓΔ, εἶναι μεγαλυτέρα τῆς ΑΒΓ.

Παντὸς ἄρα τριγώνου, ἐὰν προεκβληθῇ ἡ μία τῶν πλευρῶν, ἡ ἐξωτερικὴ γωνία εἶναι μεγαλυτέρα ἑκάστης τῶν ἐντὸς καὶ ἀπέναντι γωνιῶν· ὅπερ ἔδει δεῖξαι.

ιζ΄.

Παντὸς τριγώνου αἱ δύο γωνίαι δύο ὀρθῶν ἐλάσσονές εἰσι πάντῃ μεταλαμβανόμεναι.

Ἔστω τρίγωνον τὸ ΑΒΓ· λέγω, ὅτι τοῦ ΑΒΓ τριγώνου αἱ δύο γωνίαι δύο ὀρθῶν ἐλάττονές εἰσι πάντῃ μεταλαμβανόμεναι.



Ἐκβεβλήσθω γὰρ ἡ ΒΓ ἐπὶ τὸ Δ.

Καὶ ἐπεὶ τριγώνου τοῦ ΑΒΓ ἐκτός ἐστι γωνία ἡ ὑπὸ ΑΓΔ, μείζων ἐστὶ τῆς ἐντὸς καὶ ἀπεναντίον τῆς ὑπὸ ΑΒΓ. κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΓΒ· αἱ ἄρα ὑπὸ ΑΓΔ, ΑΓΒ τῶν ὑπὸ ΑΒΓ, ΒΓΑ μείζονές εἰσιν. ἀλλ' αἱ ὑπὸ ΑΓΔ, ΑΓΒ δύο ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἄρα ὑπὸ ΑΒΓ, ΒΓΑ δύο ὀρθῶν ἐλάσσονές εἰσιν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ αἱ ὑπὸ ΒΑΓ, ΑΓΒ δύο ὀρθῶν ἐλάσσονές εἰσι καὶ ἔτι αἱ ὑπὸ ΓΑΒ, ΑΒΓ.

Παντὸς ἄρα τριγώνου αἱ δύο γωνίαι δύο ὀρθῶν ἐλάσσονές εἰσι πάντῃ μεταλαμβανόμεναι· ὅπερ ἔδει δεῖξαι.

ιη΄.

Παντὸς τριγώνου ἡ μείζων πλευρὰ τὴν μείζονα γωνίαν ὑποτείνει.

Ἔστω γὰρ τρίγωνον τὸ ΑΒΓ μείζονα ἔχον τὴν ΑΓ πλευρὰν τῆς ΑΒ· λέγω, ὅτι καὶ γωνία ἡ ὑπὸ ΑΒΓ μείζων ἐστὶ τῆς ὑπὸ ΒΓΑ.



Ἐπεὶ γὰρ μείζων ἐστὶν ἡ ΑΓ τῆς ΑΒ, κείσθω τῇ ΑΒ ἴση ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΒΔ.

Καὶ ἐπεὶ τριγώνου τοῦ ΒΓΔ ἐκτός ἐστι γωνία ἡ ὑπὸ ΑΔΒ, μείζων ἐστὶ τῆς ἐντὸς καὶ ἀπεναντίον τῆς ὑπὸ ΔΓΒ· ἴση δὲ ἡ ὑπὸ ΑΔΒ τῇ ὑπὸ ΑΒΔ, ἐπεὶ καὶ πλευρὰ ἡ ΑΒ τῇ ΑΔ ἐστιν ἴση· μείζων ἄρα καὶ ἡ ὑπὸ ΑΒΔ τῆς ὑπὸ ΑΓΒ· πολλῷ ἄρα ἡ ὑπὸ ΑΒΓ μείζων ἐστὶ τῆς ὑπὸ ΑΓΒ.

Παντὸς ἄρα τριγώνου ἡ μείζων πλευρὰ τὴν μείζονα γωνίαν ὑποτείνει· ὅπερ ἔδει δεῖξαι.

ιθ΄.

Παντὸς τριγώνου ὑπὸ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει.

Ἔστω τρίγωνον τὸ ΑΒΓ μείζονα ἔχον τὴν ὑπὸ ΑΒΓ γωνίαν τῆς ὑπὸ ΒΓΑ·

17.

Παντὸς τριγώνου αἱ δύο γωνίαι εἶναι μικρότεραι τῶν δύο ὀρθῶν, καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται αὗται.

Ἔστω τὸ τρίγωνὸν ΑΒΓ· λέγω, ὅτι τοῦ τριγώνου ΑΒΓ αἱ δύο γωνίαι, καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται αὗται, εἶναι μικρότεραι τῶν δύο ὀρθῶν.

Διότι, ἂς προεκβληθῇ ἡ ΒΓ μέχρι τοῦ σημείου Δ.

Καὶ ἐπειδὴ ἡ γωνία ΑΓΔ εἶναι ἐξωτερικὴ γωνία τοῦ τριγώνου ΑΒΓ, εἶναι μεγαλυτέρα τῆς ἐντὸς καὶ ἀπέναντι τῆς ΑΒΓ (θεώρ. 16). Ἂς προστεθῇ καὶ εἰς τὰς δύο ταύτας γωνίας ἡ κοινὴ γωνία ΑΓΒ· αἱ γωνίαι ἄρα ΑΓΔ, ΑΓΒ εἶναι μεγαλύτεραι τῶν ΑΒΓ, ΒΓΑ. Ἀλλ' αἱ γωνίαι ΑΓΔ, ΑΓΒ εἶναι ἴσαι πρὸς δύο ὀρθάς· ἄρα αἱ γωνίαι ΑΒΓ, ΒΓΑ εἶναι μικρότεραι τῶν δύο ὀρθῶν. Ὁμοίως ἀποδεικνύομεν, ὅτι καὶ αἱ γωνίαι ΒΑΓ, ΑΓΒ εἶναι μικρότεραι τῶν δύο ὀρθῶν καὶ τὸ αὐτὸ διὰ τὰς γωνίας ΓΑΒ, ΑΒΓ.

Παντὸς ἄρα τριγώνου αἱ δύο γωνίαι καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται εἶναι μικρότεραι τῶν δύο ὀρθῶν· ὅπερ ἔδει δεῖξαι.

18.

Παντὸς τριγώνου ἡ μεγαλυτέρα γωνία κεῖται ἀπέναντι τῆς μεγαλυτέρας πλευρᾶς.

Διότι ἔστω τὸ τρίγωνον ΑΒΓ ἔχον τὴν πλευρὰν ΑΓ μεγαλυτέραν τῆς ΑΒ· λέγω, ὅτι καὶ ἡ γωνία ΑΒΓ εἶναι μεγαλυτέρα καὶ ΒΓΑ.

Διότι, ἐπειδὴ ἡ ΑΓ εἶναι μεγαλυτέρα τῆς ΑΒ, ἂς ληφθῇ ἡ ΑΔ ἴση πρὸς τὴν ΑΒ (θεώρ. 2), καὶ ἂς ἀχθῇ ἡ ΒΔ.

Καὶ ἐπειδὴ τοῦ τριγώνου ΒΓΔ ἡ γωνία ΑΔΒ εἶναι ἐξωτερική, εἶναι αὕτη μεγαλυτέρα τῆς ἐντὸς καὶ ἀπέναντι ΔΓΒ· εἶναι δὲ ἡ γωνία ΑΔΒ ἴση πρὸς τὴν ΑΒΔ, ἐπειδὴ καὶ ἡ πλευρὰ ΑΒ εἶναι ἴση πρὸς τὴν ΑΔ· ἄρα ἡ γωνία ΑΒΔ εἶναι μεγαλυτέρα τῆς ΑΓΒ· ἄρα κατὰ μείζονα λόγον ἡ ΑΒΓ εἶναι μεγαλυτέρα τῆς ΑΓΒ (κοιν. ἔν. 8).

Παντὸς ἄρα τριγώνου ἡ μεγαλυτέρα γωνία κεῖται ἀπέναντι τῆς μεγαλυτέρας πλευρᾶς· ὅπερ ἔδει δεῖξαι.

19.

Παντὸς τριγώνου ἡ μεγαλυτέρα πλευρὰ κεῖται ἀπέναντι τῆς μεγαλυτέρας γωνίας.

Ἔστω τὸ τρίγωνον ΑΒΓ ἔχον τὴν γωνίαν ΑΒΓ μεγαλυτέραν τῆς ΒΓΑ·



λέγω, ὅτι καὶ πλευρὰ ἡ ΑΓ πλευρᾶς τῆς ΑΒ μείζων ἐστίν.

Εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν ἡ ΑΓ τῇ ΑΒ ἢ ἐλάσσων· ἴση μὲν οὖν οὐκ ἔστιν ἡ ΑΓ τῇ ΑΒ· ἴση γὰρ ἂν ἦν καὶ γωνία ἡ ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΑΓΒ. οὐκ ἔστι δέ· οὐκ ἄρα ἴση ἐστὶν ἡ ΑΓ τῇ ΑΒ. οὐδὲ μὴν ἐλάσσων ἐστὶν ἡ ΑΓ τῆς ΑΒ· ἐλάσσων γὰρ ἂν ἦν καὶ γωνία ἡ ὑπὸ ΑΒΓ τῆς ὑπὸ ΑΓΒ· οὐκ ἔστι δέ· οὐκ ἄρα ἐλάσσων ἐστὶν ἡ ΑΓ τῆς ΑΒ· ἐδείχθη δέ, ὅτι οὐδὲ ἴση ἐστίν. μείζων ἄρα ἐστὶν ἡ ΑΓ τῆς ΑΒ.

Παντὸς ἄρα τριγώνου ὑπὸ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει· ὅπερ ἔδει δεῖξαι.

κ'.

Παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβι νόμεναι.

Ἔστω γὰρ τρίγωνον τὸ ΑΒΓ· λέγω, ὅτι τοῦ ΑΒΓ τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι, αἱ μὲν ΒΑ, ΑΓ τῆς ΒΓ, αἱ δὲ ΑΒ, ΒΓ τῆς ΑΓ, αἱ δὲ ΒΓ, ΓΑ τῆς ΑΒ.



Διήχθω γὰρ ἡ ΒΑ ἐπὶ τὸ Δ σημεῖον, καὶ κείσθω τῇ ΓΑ ἴση ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΔΓ.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΓ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΑΔΓ τῇ ὑπὸ ΑΓΔ· μείζων ἄρα ἡ ὑπὸ ΒΓΔ τῆς ὑπὸ ΑΔΓ· καὶ ἐπεὶ τρίγωνόν ἐστι τὸ ΔΓΒ μείζονα ἔχον τὴν ὑπὸ ΒΓΔ γωνίαν τῆς ὑπὸ ΒΔΓ, ὑπὸ δὲ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει, ἡ ΔΒ ἄρα τῆς ΒΓ ἐστι μείζων. ἴση δὲ ἡ ΔΑ τῇ ΑΓ· μείζονες ἄρα αἱ ΒΑ, ΑΓ τῆς ΒΓ· ὁμοίως δὴ δείξομεν, ὅτι καὶ αἱ μὲν ΑΒ, ΒΓ τῆς ΓΑ μείζονές εἰσιν, αἱ δὲ ΒΓ, ΓΑ τῆς ΑΒ.

Παντὸς ἄρα τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι· ὅπερ ἔδει δεῖξαι.

κα'.

Ἐὰν τριγώνου ἐπὶ μιᾶς τῶν πλευρῶν ἀπὸ τῶν περάτων δύο εὐθεῖαι ἐντὸς συσταθῶσιν, αἱ συσταθεῖσαι τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν ἐλάττονες μὲν ἔσονται, μείζονα δὲ γωνίαν περιέξουσιν.

Τριγώνου γὰρ τοῦ ΑΒΓ ἐπὶ μιᾶς τῶν πλευρῶν τῆς ΒΓ ἀπὸ τῶν περάτων τῶν Β, Γ δύο εὐθεῖαι ἐντὸς συνεστάτωσαν αἱ ΒΔ, ΔΓ· λέγω, ὅτι αἱ ΒΔ, ΔΓ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν τῶν ΒΑ, ΑΓ ἐλάσσονες μέν εἰσιν, μείζονα δὲ γωνίαν περιέχουσι τὴν ὑπὸ ΒΔΓ τῆς ὑπὸ ΒΑΓ.

λέγω, ὅτι καὶ ἡ πλευρὰ ΑΓ εἶναι μεγαλυτέρα τῆς πλευρᾶς ΑΒ.

Διότι, ἐὰν δὲν εἶναι, θὰ εἶναι ἡ ΑΓ ἴση πρὸς τὴν ΑΒ ἢ μικροτέρα· ἴση ὅμως δὲν εἶναι ἡ ΑΓ πρὸς τὴν ΑΒ· διότι ἂν ἦτο ἴση, καὶ ἡ γωνία ΑΒΓ θὰ ἦτο ἴση πρὸς τὴν ΑΓΒ (θεώρ. 5)· ἀλλὰ δὲν εἶναι· ἄρα ἡ ΑΓ δὲν εἶναι ἴση πρὸς τὴν ΑΒ. Ἀλλ' οὔτε μικροτέρα εἶναι ἡ ΑΓ τῆς ΑΒ· διότι ἐὰν ἦτο μικροτέρα, καὶ ἡ γωνία ΑΒΓ θὰ ἦτο μικροτέρα τῆς ΑΓΒ· ἀλλὰ δὲν εἶναι· ἄρα ἡ ΑΓ δὲν εἶναι μικροτέρα τῆς ΑΒ. Ἐδείχθη δέ, ὅτι οὔτε ἴση εἶναι. Ἄρα ἡ ΑΓ εἶναι μεγαλυτέρα τῆς ΑΒ.

Παντὸς ἄρα τριγώνου ἡ μεγαλυτέρα πλευρὰ κεῖται ἀπέναντι τῆς μεγαλυτέρας γωνίας· ὅπερ ἔδει δεῖξαι.

20.

Παντὸς τριγώνου αἱ δύο πλευραὶ καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται, εἶναι μεγαλύτεραι τῆς ἄλλης.

Διότι, ἔστω τὸ τρίγωνον ΑΒΓ· λέγω, ὅτι τοῦ τριγώνου ΑΒΓ αἱ δύο πλευραὶ καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται, εἶναι μεγαλύτεραι τῆς ἄλλης, αἱ μὲν ΒΑ, ΑΓ τῆς ΒΓ, αἱ δὲ ΑΒ, ΒΓ τῆς ΑΓ, αἱ δὲ ΒΓ, ΓΑ τῆς ΑΒ.

Διότι, ἂς προεκταθῇ μέχρι τοῦ σημείου Δ ἡ ΒΑ καὶ ἂς ληφθῇ ἡ ΑΔ ἴση πρὸς τὴν ΑΓ, καὶ ἂς ἀχθῇ ἡ ΔΓ.

Ἐπειδὴ λοιπὸν ἡ ΔΑ εἶναι ἴση πρὸς τὴν ΑΓ, εἶναι ἴση καὶ ἡ γωνία ΑΔΓ πρὸς τὴν ΑΓΔ (θεώρ. 5)· ἄρα ἡ γωνία ΒΓΔ εἶναι μεγαλυτέρα τῆς ΑΔΓ (κ.ἐν. 8)· καὶ ἐπειδὴ τὸ ΔΓΒ εἶναι τρίγωνον ἔχον τὴν γωνίαν ΒΓΔ μεγαλυτέραν τῆς ΒΔΓ, ἀπέναντι δὲ τῆς μεγαλυτέρας γωνίας κεῖται ἡ μεγαλυτέρα πλευρά, ἕπεται, ὅτι ἡ ΔΒ εἶναι μεγαλυτέρα τῆς ΒΓ. Εἶναι δὲ ἴση ἡ ΔΑ πρὸς τὴν ΑΓ· ἄρα αἱ ΒΑ, ΑΓ εἶναι μεγαλύτεραι τῆς ΒΓ· καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι αἱ μὲν ΑΒ, ΒΓ εἶναι μεγαλύτεραι τῆς ΓΑ, αἱ δὲ ΒΓ, ΓΑ τῆς ΑΒ.

Παντὸς ἄρα τριγώνου αἱ δύο πλευραί, καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται, εἶναι μεγαλύτεραι τῆς ἄλλης· ὅπερ ἔδει δεῖξαι.

21.

Ἐὰν ἐκ τῶν ἄκρων μιᾶς πλευρᾶς τριγώνου ἀχθοῦν ἐντὸς αὐτοῦ δύο εὐθεῖαι ὥστε νὰ τέμνωνται, αἱ ἀχθεῖσαι θὰ εἶναι μικρότεραι μὲν τῶν δύο ἄλλων πλευρῶν τοῦ τριγώνου, θὰ περιέχουν δὲ μεγαλυτέραν γωνίαν.

Διότι ἔστω, ὅτι ἐκ τῶν ἄκρων Β,Γ μιᾶς τῶν πλευρῶν τῆς ΒΓ τοῦ τριγώνου ΑΒΓ ἤχθησαν δύο εὐθεῖαι, ὥστε νὰ τέμνωνται αἱ ΒΔ, ΔΓ· λέγω, ὅτι αἱ ΒΔ, ΔΓ τῶν λοιπῶν δύο πλευρῶν τοῦ τριγώνου τῶν ΒΑ, ΑΓ εἶναι μὲν μικρότεραι, θὰ περιέχουν δὲ γωνίαν τὴν ΒΔΓ μεγαλυτέραν τῆς ΒΑΓ.

Διήχθω γὰρ ἡ ΒΔ ἐπὶ τὸ Ε. καὶ ἐπεὶ παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσιν, τοῦ ΑΒΕ ἄρα τριγώνου αἱ δύο πλευραὶ αἱ ΑΒ, ΑΕ τῆς ΒΕ μείζονές εἰσιν· κοινὴ προσκείσθω ἡ ΕΓ· αἱ ἄρα ΒΑ, ΑΓ τῶν ΒΕ, ΕΓ μείζονές εἰσιν· πάλιν, ἐπεὶ τοῦ ΓΕΔ τριγώνου αἱ δύο πλευραὶ αἱ ΓΕ, ΕΔ τῆς ΓΔ μείζονές εἰσιν, κοινὴ προσκείσθω ἡ ΔΒ· αἱ ΓΕ, ΕΒ ἄρα τῶν ΓΔ, ΔΒ μείζονές εἰσιν. ἀλλὰ τῶν ΒΕ, ΕΓ μείζονες ἐδείχθησαν αἱ ΒΑ, ΑΓ· πολλῷ ἄρα αἱ ΒΑ, ΑΓ τῶν ΒΔ, ΔΓ μείζονές εἰσιν.



Πάλιν, ἐπεὶ παντὸς τριγώνου ἡ ἐκτὸς γωνία τῆς ἐντὸς καὶ ἀπεναντίον μείζων ἐστίν, τοῦ ΓΔΕ ἄρα τριγώνου ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΒΔΓ μείζων ἐστὶ τῆς ὑπὸ ΓΕΔ. διὰ ταὐτὰ τοίνυν καὶ τοῦ ΑΒΕ τριγώνου ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΓΕΒ μείζων ἐστὶ τῆς ὑπὸ ΒΑΓ. ἀλλὰ τῆς ὑπὸ ΓΕΒ μείζων ἐδείχθη ἡ ὑπὸ ΒΔΓ· πολλῷ ἄρα ἡ ὑπὸ ΒΔΓ μείζων ἐστὶ τῆς ὑπὸ ΒΑΓ.

Ἐὰν ἄρα τριγώνου ἐπὶ μιᾶς τῶν πλευρῶν ἀπὸ τῶν περάτων δύο εὐθεῖαι ἐντὸς συσταθῶσιν, αἱ συσταθεῖσαι τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν ἐλάττονες μέν εἰσιν, μείζονα δὲ γωνίαν περιέχουσιν· ὅπερ ἔδει δεῖξαι.

κβ'.

Ἐκ τριῶν εὐθειῶν, αἵ εἰσιν ἴσαι τρισὶ ταῖς δοθείσαις [εὐθείαις], τρίγωνον συστήσασθαι· δεῖ δὲ τὰς δύο τῆς λοιπῆς μείζονας εἶναι πάντῃ μεταλαμβανομένας [διὰ τὸ καὶ παντὸς τριγώνου τὰς δύο πλευρὰς τῆς λοιπῆς μείζονας εἶναι πάντῃ μεταλαμβανομένας].

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς εὐθεῖαι αἱ Α, Β, Γ, ὧν αἱ δύο τῆς λοιπῆς μείζονες ἔστωσαν πάντῃ μεταλαμβανόμεναι, αἱ μὲν Α, Β τῆς Γ, αἱ δὲ Α, Γ τῆς Β, καὶ ἔτι αἱ Β, Γ τῆς Α· δεῖ δὴ ἐκ τῶν ἴσων ταῖς Α, Β, Γ τρίγωνον συστήσασθαι.

Ἐκκείσθω τις εὐθεῖα ἡ ΔΕ πεπερασμένη μὲν κατὰ τὸ Δ, ἄπειρος δὲ κατὰ τὸ Ε, καὶ κείσθω τῇ μὲν Α ἴση ἡ ΔΖ, τῇ δὲ Β ἴση ἡ ΖΗ, τῇ δὲ Γ ἴση ἡ ΗΘ· καὶ κέντρῳ μὲν τῷ Ζ, διαστήματι δὲ τῷ ΖΔ κύκλος γεγράφθω ὁ ΔΚΛ· πάλιν κέντρῳ μὲν τῷ Η, διαστήματι δὲ τῷ ΗΘ κύκλος γεγράφθω ὁ ΚΛΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΚΖ, ΚΗ· λέγω, ὅτι ἐκ τριῶν εὐθειῶν τῶν ἴσων ταῖς Α, Β, Γ τρίγωνον συνέσταται τὸ ΚΖΗ.



Ἐπεὶ γὰρ τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ ΔΚΛ κύκλου, ἴση ἐστὶν ἡ ΖΔ τῇ ΖΚ· ἀλλὰ ἡ ΖΔ τῇ Α ἐστιν ἴση. καὶ ἡ ΚΖ ἄρα

Διότι, ἂς προεκταθῇ ἡ ΒΔ μέχρι τοῦ σημείου Ε. Καὶ ἐπειδὴ παντὸς τριγώνου αἱ δύο πλευραὶ εἶναι μεγαλύτεραι τῆς ἄλλης πλευρᾶς (θεώρ. 20), αἱ δύο πλευραὶ τοῦ τριγώνου ΑΒΕ, αἱ ΑΒ, ΑΕ εἶναι μεγαλύτεραι τῆς ΒΕ. Ἂς προστεθῇ εἰς ταύτας ἡ κοινὴ ΕΓ· ἄρα αἱ ΒΑ, ΑΓ εἶναι μεγαλύτεραι τῶν ΒΕ, ΕΓ (κ. ἔν. 4). Πάλιν, ἐπειδὴ τοῦ τριγώνου ΓΕΔ αἱ δύο πλευραὶ αἱ ΓΕ, ΕΔ εἶναι μεγαλύτεραι τῆς ΓΔ, ἂς προστεθῇ εἰς ταύτας ἡ κοινὴ ΔΒ· ἄρα αἱ ΓΕ, ΕΒ εἶναι μεγαλύτεραι τῶν ΓΔ, ΔΒ. Ἀλλὰ αἱ ΒΑ, ΑΓ ἐδείχθησαν μεγαλύτεραι τῶν ΒΕ, ΕΓ· κατὰ μείζονα ἄρα λόγον αἱ ΒΑ, ΑΓ εἶναι μεγαλύτεραι τῶν ΒΔ, ΔΓ.

Πάλιν, ἐπειδὴ ἡ ἐξωτερικὴ γωνία παντὸς τριγώνου εἶναι μεγαλυτέρα τῆς ἐντὸς καὶ ἀπέναντι (θεώρ. 16), ἕπεται, ὅτι ἡ ἐξωτερικὴ γωνία ΒΔΓ τοῦ τριγώνου ΓΔΕ εἶναι μεγαλυτέρα τῆς ΓΕΔ. Διὰ τὸν αὐτὸν λόγον, ἡ ἐξωτερικὴ γωνία ΓΕΒ τοῦ τριγώνου ΑΒΕ εἶναι μεγαλυτέρα τῆς ΒΑΓ. Ἀλλὰ ἡ γωνία ΒΔΓ ἐδείχθη μεγαλυτέρα τῆς ΓΕΒ. ἄρα κατὰ μείζονα λόγον ἡ γωνία ΒΔΓ εἶναι μεγαλυτέρα τῆς ΒΑΓ.

Ἐὰν ἄρα ἐκ τῶν ἄκρων μιᾶς πλευρᾶς τριγώνου ἀχθοῦν ἐντὸς αὐτοῦ δύο εὐθεῖαι ὥστε νὰ τέμνωνται, αὗται θὰ εἶναι μικρότεραι μὲν τῶν δύο ἄλλων πλευρῶν τοῦ τριγώνου, θὰ περιέχουν δὲ μεγαλυτέραν γωνίαν· ὅπερ ἔδει δεῖξαι.

22.

Ἐκ τριῶν εὐθειῶν αἱ ὁποῖαι εἶναι ἴσαι πρὸς τρεῖς δοθείσας [εὐθείας] νὰ κατασκευασθῇ τρίγωνον· πρέπει δὲ αἱ δύο εὐθεῖαι καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται νὰ εἶναι μεγαλύτεραι τῆς ἄλλης [διότι αἱ δύο πλευραὶ τριγώνου καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται εἶναι μεγαλύτεραι τῆς ἄλλης πλευρᾶς].

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς εὐθεῖαι, αἱ Α, Β, Γ τῶν ὁποίων αἱ δύο καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται εἶναι μεγαλύτεραι τῆς ἄλλης, αἱ μὲν Α, Β μεγαλύτεραι τῆς Γ, αἱ δὲ Α, Γ τῆς Β καὶ αἱ Β, Γ τῆς Α· πρέπει νὰ κατασκευασθῇ τρίγωνον ἐκ τῶν ἴσων εὐθειῶν πρὸς τὰς Α,Β,Γ.

Ἂς ληφθῇ ἡ εὐθεῖα ΔΕ, πεπερασμένη μὲν κατὰ τὸ Δ, ἄπειρος δὲ κατὰ τὸ Ε, καὶ ἂς ληφθῇ ἡ μὲν ΔΖ ἴση πρὸς τὴν Α, ἡ δὲ ΖΗ ἴση πρὸς τὴν Β, ἡ δὲ ΗΘ ἴση πρὸς τὴν Γ· καὶ ἂς γραφῇ κύκλος μὲ κέντρον μὲν τὸ Ζ, ἀκτῖνα δὲ τὴν ΖΔ, ὁ ΔΚΛ· μὲ κέντρον πάλιν τὸ Η καὶ ἀκτῖνα τὴν ΗΘ ἂς γραφῇ κύκλος ὁ ΚΛΘ καὶ ἂς ἀχθοῦν αἱ ΚΖ, ΚΗ· λέγω, ὅτι ἐκ τῶν τριῶν εὐθειῶν (τῶν ΔΖ, ΖΗ, ΗΘ) τῶν ἴσων πρὸς τὰς Α, Β, Γ κατεσκευάσθη τὸ τρίγωνον ΚΖΗ.

Διότι, ἐπειδὴ τὸ σημεῖον Ζ εἶναι κέντρον τοῦ κύκλου ΔΚΛ, ἡ ΖΔ εἶναι ἴση πρὸς τὴν ΖΚ· ἀλλὰ ἡ ΖΔ εἶναι ἴση πρὸς τὴν Α. Ἄρα καὶ ἡ ΚΖ εἶναι ἴση *τῇ Α ἐστιν ἴση. πάλιν, ἐπεὶ τὸ Η σημεῖον κέντρον ἐστὶ τοῦ ΛΚΘ κύκλου, ἴση ἐστὶν ἡ ΗΘ τῇ ΗΚ· ἀλλὰ ἡ ΗΘ τῇ Γ ἐστιν ἴση· καὶ ἡ ΚΗ ἄρα τῇ Γ ἐστιν ἴση. ἐστὶ δὲ καὶ ἡ ΖΗ τῇ Β ἴση· αἱ τρεῖς ἄρα εὐθεῖαι αἱ ΚΖ, ΖΗ, ΗΚ τρισὶ ταῖς Α, Β, Γ ἴσαι εἰσίν.*

Ἐκ τριῶν ἄρα εὐθειῶν τῶν ΚΖ, ΖΗ, ΗΚ, αἵ εἰσιν ἴσαι τρισὶ ταῖς δοθείσαις εὐθείαις ταῖς Α, Β, Γ, τρίγωνον συνέσταται τὸ ΚΖΗ· ὅπερ ἔδει ποιῆσαι.

κγ΄.

Πρὸς τῇ δοθείσῃ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ ἴσην γωνίαν εὐθύγραμμον συστήσασθαι.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ πρὸς αὐτῇ σημεῖον τὸ Α, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ ὑπὸ ΔΓΕ· δεῖ δὴ πρὸς τῇ δοθείσῃ εὐθείᾳ τῇ ΑΒ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ ὑπὸ ΔΓΕ ἴσην γωνίαν εὐθύγραμμον συστήσασθαι.



Εἰλήφθω ἐφ' ἑκατέρας τῶν ΓΔ, ΓΕ τυχόντα σημεῖα τὰ Δ, Ε, καὶ ἐπεζεύχθω ἡ ΔΕ· καὶ ἐκ τριῶν εὐθειῶν, αἵ εἰσιν ἴσαι τρισὶ ταῖς ΓΔ, ΔΕ, ΓΕ, τρίγωνον συνεστάτω τὸ ΑΖΗ, ὥστε ἴσην εἶναι τὴν μὲν ΓΔ τῇ ΑΖ, τὴν δὲ ΓΕ τῇ ΑΗ, καὶ ἔτι τὴν ΔΕ τῇ ΖΗ.

Ἐπεὶ οὖν δύο αἱ ΔΓ, ΓΕ δύο ταῖς ΖΑ, ΑΗ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ ΔΕ βάσει τῇ ΖΗ ἴση, γωνία ἄρα ἡ ὑπὸ ΔΓΕ γωνίᾳ τῇ ὑπὸ ΖΑΗ ἐστιν ἴση.

Πρὸς ἄρα τῇ δοθείσῃ εὐθείᾳ τῇ ΑΒ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ ὑπὸ ΔΓΕ ἴση γωνία εὐθύγραμμος συνέσταται ἡ ὑπὸ ΖΑΗ· ὅπερ ἔδει ποιῆσαι.

κδ΄.

Ἐὰν δύο τρίγωνα τὰς δύο πλευρὰς [ταῖς] δύο πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ, τὴν δὲ γωνίαν τῆς γωνίας μείζονα ἔχῃ τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην, καὶ τὴν βάσιν τῆς βάσεως μείζονα ἕξει.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰς δύο πλευρὰς τὰς ΑΒ, ΑΓ ταῖς δύο πλευραῖς ταῖς ΔΕ, ΔΖ ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ΑΒ τῇ ΔΕ τὴν δὲ ΑΓ τῇ ΔΖ, ἡ δὲ πρὸς τῷ Α γωνία τῆς πρὸς τῷ Δ γωνίας μείζων ἔστω· λέγω, ὅτι καὶ βάσις ἡ ΒΓ βάσεως τῆς ΕΖ μείζων ἐστίν.

Ἐπεὶ γὰρ μείζων ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΕΔΖ γωνίας, συνεστάτω πρὸς τῇ ΔΕ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Δ τῇ ὑπὸ ΒΑΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΕΔΗ, καὶ κείσθω ὁποτέρᾳ τῶν ΑΓ, ΔΖ ἴση ἡ ΔΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΗ, ΖΗ.

πρὸς τὴν Α (κ. ἔν. 1). Πάλιν, ἐπειδὴ τὸ σημεῖον Η εἶναι κέντρον τοῦ κύκλου ΛΚΘ, ἡ ΗΘ εἶναι ἴση πρὸς τὴν ΗΚ. ἀλλὰ ἡ ΗΘ εἶναι ἴση πρὸς τὴν Γ· ἄρα καὶ ἡ ΚΗ εἶναι ἴση πρὸς τὴν Γ. Εἶναι δὲ καὶ ἡ ΖΗ ἴση πρὸς τὴν Β· ἄρα αἱ τρεῖς εὐθεῖαι, αἱ ΚΖ, ΖΗ, ΗΚ εἶναι ἴσαι πρὸς τὰς τρεῖς Α,Β,Γ.

Ἐκ τριῶν ἄρα εὐθειῶν τῶν ΚΖ, ΖΗ, ΗΚ, αἱ ὁποῖαι εἶναι ἴσαι πρὸς τὰς τρεῖς δοθείσας εὐθείας, τὰς Α,Β,Γ, κατεσκευάσθη τὸ τρίγωνον ΚΖΗ· ὅπερ ἔδει ποιῆσαι.

23.

Ἐπὶ δοθείσης εὐθείας καὶ ἐκ δοθέντος ἐπ' αὐτῆς σημείου νὰ κατασκευασθῇ εὐθύγραμμος γωνία ἴση πρὸς δοθεῖσαν εὐθύγραμμον γωνίαν.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ ἐπ' αὐτῆς δοθὲν σημεῖον τὸ Α, ἡ δὲ δοθεῖσα εὐθύγραμμος γωνία ἡ ΔΓΕ· πρέπει ἐπὶ τῆς δοθείσης εὐθείας ΑΒ καὶ ἐκ τοῦ ἐπ' αὐτῆς δοθέντος σημείου Α νὰ κατασκευασθῇ εὐθύγραμμος γωνία ἴση πρὸς τὴν δοθεῖσαν εὐθύγραμμον γωνίαν ΔΓΕ.

Ἃς ληφθοῦν ἐπὶ ἑκάστης τῶν πλευρῶν τῶν ΓΔ, ΓΕ τὰ τυχόντα σημεῖα Δ, Ε καὶ ἂς ἀχθῇ ἡ ΔΕ· καὶ ἂς κατασκευασθῇ τρίγωνον ἐκ τριῶν εὐθειῶν αἱ ὁποῖαι νὰ εἶναι ἴσαι πρὸς τὰς τρεῖς εὐθείας τὰς ΓΔ, ΔΕ, ΓΕ, τὸ ΑΖΗ, ὥστε ἡ μὲν ΓΔ νὰ εἶναι ἴση πρὸς τὴν ΑΖ, ἡ δὲ ΓΕ ἴση πρὸς τὴν ΑΗ καὶ ἡ ΔΕ ἴση πρὸς τὴν ΖΗ (θεώρ. 22).

Ἐπειδὴ λοιπὸν αἱ δύο πλευραὶ αἱ ΔΓ, ΓΕ εἶναι ἴσαι πρὸς τὰς ΖΑ, ΑΗ ἀντιστοίχως, καὶ ἡ βάσις ΔΕ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΗ, ἔπεται, ὅτι ἡ γωνία ΔΓΕ εἶναι ἴση πρὸς τὴν γωνίαν ΖΑΗ (θεώρ. 8).

Ἄρα ἐπὶ τῆς δοθείσης εὐθείας ΑΒ καὶ ἐκ τοῦ δοθέντος ἐπ' αὐτῆς σημείου Α, κατεσκευάσθη εὐθύγραμμος γωνία ἡ ΖΑΗ, ἴση πρὸς τὴν δοθεῖσαν εὐθύγραμμον γωνίαν ΔΓΕ· ὅπερ ἔδει ποιῆσαι.

24.

Ἐὰν δύο τρίγωνα ἔχουν δύο πλευρὰς ἴσας ἀντιστοίχως καὶ ἡ γωνία τοῦ ἑνὸς ἐκ τούτων ἡ περιεχομένη ὑπὸ τῶν ἴσων πλευρῶν εἶναι μεγαλυτέρα τῆς ἀντιστοίχου γωνίας τοῦ ἄλλου, καὶ ἡ βάσις θὰ εἶναι μεγαλυτέρα τῆς ἄλλης βάσεως.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ ἔχοντα τὰς δύο πλευρὰς ΑΒ, ΑΓ ἴσας πρὸς τὰς δύο πλευρὰς ΔΕ, ΔΖ ἀντιστοίχως, τὴν μὲν ΑΒ ἴσην πρὸς τὴν ΔΕ, τὴν δὲ ΑΓ ἴσην πρὸς τὴν ΔΖ, καὶ ἂς εἶναι ἡ γωνία Α μεγαλυτέρα τῆς γωνίας Δ· λέγω, ὅτι καὶ ἡ βάσις ΒΓ εἶναι μεγαλυτέρα τῆς βάσεως ΕΖ.

Διότι, ἐπειδὴ ἡ γωνία ΒΑΓ εἶναι μεγαλυτέρα τῆς γωνίας ΕΔΖ, ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΔΕ καὶ ἐκ τοῦ ἐπ' αὐτῆς σημείου Δ γωνία ἴση πρὸς τὴν ΒΑΓ, ἡ ΕΔΗ, καὶ ἂς ληφθῇ ἡ ΔΗ ἴση πρὸς ἑκάστην τῶν ΑΓ, ΔΖ καὶ ἂς ἐπιζευχθοῦν αἱ ΕΗ, ΖΗ.



Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΑΒ τῇ ΔΕ, ἡ δὲ ΑΓ τῇ ΔΗ, δύο δὴ αἱ ΒΑ, ΑΓ δυσὶ ταῖς ΕΔ, ΔΗ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΒΑΓ γωνίᾳ τῇ ὑπὸ ΕΔΗ ἴση· βάσις ἄρα ἡ ΒΓ βάσει τῇ ΕΗ ἐστιν ἴση. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΔΖ τῇ ΔΗ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΔΗΖ γωνία τῇ ὑπὸ ΔΖΗ· μείζων ἄρα ἡ ὑπὸ ΔΖΗ τῆς ὑπὸ ΕΗΖ· πολλῷ ἄρα μείζων ἐστὶν ἡ ὑπὸ ΕΖΗ τῆς ὑπὸ ΕΗΖ. καὶ ἐπεὶ τρίγωνόν ἐστι τὸ ΕΖΗ μείζονα ἔχον τὴν ὑπὸ ΕΖΗ γωνίαν τῆς ὑπὸ ΕΗΖ, ὑπὸ δὲ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει, μείζων ἄρα καὶ πλευρὰ ἡ ΕΗ τῆς ΕΖ. ἴση δὲ ἡ ΕΗ τῇ ΒΓ· μείζων ἄρα καὶ ἡ ΒΓ τῆς ΕΖ.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο πλευρὰς δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ, τὴν δὲ γωνίαν τῆς γωνίας μείζονα ἔχῃ τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην, καὶ τὴν βάσιν τῆς βάσεως μείζονα ἕξει· ὅπερ ἔδει δεῖξαι.

κε΄.

Ἐὰν δύο τρίγωνα τὰς δύο πλευρὰς δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ, τὴν δὲ βάσιν τῆς βάσεως μείζονα ἔχῃ, καὶ τὴν γωνίαν τῆς γωνίας μείζονα ἕξει τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰς δύο πλευρὰς τὰς ΑΒ, ΑΓ ταῖς δύο πλευραῖς ταῖς ΔΕ, ΔΖ ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ΑΒ τῇ ΔΕ, τὴν δὲ ΑΓ τῇ ΔΖ· βάσις δὲ ἡ ΒΓ βάσεως τῆς ΕΖ μείζων ἔστω· λέγω, ὅτι καὶ γωνία ἡ ὑπὸ ΒΑΓ γωνίας τῆς ὑπὸ ΕΔΖ μείζων ἐστίν.



Εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν αὐτῇ ἢ ἐλάσσων· ἴση μὲν οὖν οὐκ ἔστιν ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ· ἴση γὰρ ἂν ἦν καὶ βάσις ἡ ΒΓ βάσει τῇ ΕΖ· οὐκ ἔστι δέ. οὐκ ἄρα ἴση ἐστὶ γωνία ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ· οὐδὲ μὴν ἐλάσσων ἐστὶν ἡ ὑπὸ ΒΑΓ τῆς ὑπὸ ΕΔΖ· ἐλάσσων γὰρ ἂν ἦν καὶ βάσις ἡ ΒΓ βάσεως τῆς ΕΖ· οὐκ ἔστι δέ· οὐκ ἄρα ἐλάσσων ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΕΔΖ. ἐδείχθη δέ, ὅτι οὐδὲ ἴση· μείζων ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΓ τῆς ὑπὸ ΕΔΖ.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο πλευρὰς δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ, τὴν δὲ βάσιν τῆς βάσεως μείζονα ἔχῃ, καὶ τὴν γωνίαν τῆς γωνίας μείζονα ἕξει τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην· ὅπερ ἔδει δεῖξαι.

Ἐπειδὴ λοιπὸν ἡ μὲν ΑΒ εἶναι ἴση πρὸς τὴν ΔΕ, ἡ δὲ ΑΓ πρὸς τὴν ΔΗ, αἱ δύο πλευραὶ ΒΑ, ΑΓ εἶναι ἴσαι ἀντιστοίχως πρὸς τὰς δύο ΕΔ, ΔΗ· καὶ ἡ γωνία ΒΑΓ εἶναι ἴση πρὸς τὴν ΕΔΗ· ἄρα ἡ βάσις ΒΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΕΗ. Πάλιν, ἐπειδὴ ἡ ΔΖ εἶναι ἴση πρὸς τὴν ΔΗ, ἡ γωνία ΔΗΖ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΖΗ· ἄρα ἡ γωνία ΔΖΗ εἶναι μεγαλυτέρα τῆς γωνίας ΕΗΖ (κ. ἔν. 8)· κατὰ μείζονα ἄρα λόγον ἡ γωνία ΕΖΗ εἶναι μεγαλυτέρα τῆς ΕΗΖ. Καὶ ἐπειδὴ τὸ ΕΖΗ εἶναι τρίγωνον ἔχον τὴν γωνίαν ΕΖΗ μεγαλυτέραν τῆς ΕΗΖ, ἀπέναντι δὲ τῆς μεγαλυτέρας γωνίας κεῖται ἡ μεγαλυτέρα πλευρά (θεωρ. 19), ἕπεται, ὅτι καὶ ἡ πλευρὰ ΕΗ εἶναι μεγαλυτέρα τῆς ΕΖ. Εἶναι δὲ ἡ ΕΗ ἴση πρὸς τὴν ΒΓ· ἄρα καὶ ἡ ΒΓ εἶναι μεγαλυτέρα τῆς ΕΖ.

Ἐὰν ἄρα δύο τρίγωνα ἔχουν τὰς δύο πλευρὰς ἴσας ἀντιστοίχως καὶ ἡ γωνία τοῦ ἑνὸς ἐκ τούτων ἡ περιεχομένη ὑπὸ τῶν ἴσων πλευρῶν εἶναι μεγαλυτέρα τῆς ἀντιστοίχου γωνίας τοῦ ἄλλου, καὶ ἡ βάσις θὰ εἶναι μεγαλυτέρα τῆς ἄλλης βάσεως· ὅπερ ἔδει δεῖξαι.

25.

Ἐὰν δύο τρίγωνα ἔχουν δύο πλευρὰς ἴσας ἀντιστοίχως καὶ ἡ βάσις τοῦ ἑνὸς εἶναι μεγαλυτέρα τῆς βάσεως τοῦ ἄλλου, καὶ ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ἴσων πλευρῶν θὰ εἶναι μεγαλυτέρα τῆς ἄλλης γωνίας.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, ἔχοντα τὰς δύο πλευρὰς ΑΒ, ΑΓ ἴσας ἀντιστοίχως πρὸς τὰς δύο πλευρὰς ΔΕ, ΔΖ, τὴν μὲν ΑΒ ἴσην πρὸς τὴν ΔΕ, τὴν δὲ ΑΓ ἴσην πρὸς τὴν ΔΖ· ἂς εἶναι δὲ ἡ βάσις ΒΓ μεγαλυτέρα τῆς βάσεως ΕΖ· λέγω, ὅτι καὶ ἡ γωνία ΒΑΓ εἶναι μεγαλυτέρα τῆς γωνίας ΕΔΖ.

Διότι, ἐὰν δὲν εἶναι, θὰ εἶναι ἴση ἢ μικροτέρα· ἴση ὅμως δὲν εἶναι ἡ γωνία ΒΑΓ πρὸς τὴν ΕΔΖ· διότι ἐὰν ἦτο ἴση, θὰ ἦτο ἴση καὶ ἡ βάσις ΒΓ πρὸς τὴν βάσιν ΕΖ (θεώρ. 4)· ἀλλὰ δὲν εἶναι. Ἄρα ἡ γωνία ΒΑΓ δὲν εἶναι ἴση πρὸς τὴν ΕΔΖ· ἀλλὰ δὲν εἶναι καὶ μικροτέρα ἡ ΒΑΓ τῆς ΕΔΖ· διότι, ἐὰν ἦτο, καὶ ἡ βάσις ΒΓ θὰ ἦτο μικροτέρα τῆς βάσεως ΕΖ (θεώρ. 24)· ἀλλὰ δὲν εἶναι· ἄρα ἡ γωνία ΒΑΓ δὲν εἶναι μικροτέρα τῆς ΕΔΖ. Ἐδείχθη δέ, ὅτι οὔτε ἴση εἶναι· ἄρα εἶναι μεγαλυτέρα ἡ ΒΑΓ τῆς ΕΔΖ.

Ἐὰν ἄρα δύο τρίγωνα ἔχουν τὰς δύο πλευρὰς ἴσας ἀντιστοίχως καὶ ἡ βάσις τοῦ ἑνὸς εἶναι μεγαλυτέρα τῆς βάσεως τοῦ ἄλλου, καὶ ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ἴσων πλευρῶν θὰ εἶναι μεγαλυτέρα τῆς ἄλλης γωνίας· ὅπερ ἔδει δεῖξαι.

κϛ'.

Ἐὰν δύο τρίγωνα τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην ἤτοι τὴν πρὸς ταῖς ἴσαις γωνίαις ἢ τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν, καὶ τὰς λοιπὰς πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει [ἑκατέραν ἑκατέρᾳ] καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰς δύο γωνίας τὰς ὑπὸ ΑΒΓ, ΒΓΑ δυσὶ ταῖς ὑπὸ ΔΕΖ, ΕΖΔ ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ, τὴν δὲ ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΕΖΔ· ἐχέτω δὲ καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, πρότερον τὴν πρὸς ταῖς ἴσαις γωνίαις τὴν ΒΓ τῇ ΕΖ. λέγω, ὅτι καὶ τὰς λοιπὰς πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ΑΒ τῇ ΔΕ τὴν δὲ ΑΓ τῇ ΔΖ, καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ, τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ.



Εἰ γὰρ ἄνισός ἐστιν ἡ ΑΒ τῇ ΔΕ, μία αὐτῶν μείζων ἐστίν· ἔστω μείζων ἡ ΑΒ, καὶ κείσθω τῇ ΔΕ ἴση ἡ ΒΗ, καὶ ἐπεζεύχθω ἡ ΗΓ.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΒΗ τῇ ΔΕ, ἡ δὲ ΒΓ τῇ ΕΖ, δύο δὴ αἱ ΒΗ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΗΒΓ γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἴση ἐστίν· βάσις ἄρα ἡ ΗΓ βάσει τῇ ΔΖ ἴση ἐστίν, καὶ τὸ ΗΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ ἴσον ἐστίν, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΗΓΒ γωνία τῇ ὑπὸ ΔΖΕ. ἀλλὰ ἡ ὑπὸ ΔΖΕ τῇ ὑπὸ ΒΓΑ ὑπόκειται ἴση· καὶ ἡ ὑπὸ ΒΓΗ ἄρα τῇ ὑπὸ ΒΓΑ ἴση ἐστίν, ἡ ἐλάσσων τῇ μείζονι· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ΑΒ τῇ ΔΕ. ἴση ἄρα. ἔστι δὲ καὶ ἡ ΒΓ τῇ ΕΖ ἴση. δύο δὴ αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΔΕ ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΔΖ ἴση ἐστίν, καὶ λοιπὴ γωνία ἡ ὑπὸ ΒΑΓ τῇ λοιπῇ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἴση ἐστίν.

Ἀλλὰ δὴ πάλιν ἔστωσαν αἱ ὑπὸ τὰς ἴσας γωνίας πλευραὶ ὑποτείνουσαι ἴσαι, ὡς ἡ ΑΒ τῇ ΔΕ· λέγω πάλιν, ὅτι καὶ αἱ λοιπαὶ πλευραὶ ταῖς λοιπαῖς πλευραῖς ἴσαι ἔσονται, ἡ μὲν ΑΓ τῇ ΔΖ, ἡ δὲ ΒΓ τῇ ΕΖ καὶ ἔτι ἡ λοιπὴ γωνία ἡ ὑπὸ ΒΑΓ τῇ λοιπῇ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἴση ἐστίν.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ΒΓ τῇ ΕΖ, μία αὐτῶν μείζων ἐστίν· ἔστω μείζων, εἰ δυνατόν, ἡ ΒΓ, καὶ κείσθω τῇ ΕΖ ἴση ἡ ΒΘ, καὶ ἐπεζεύχθω ἡ ΑΘ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΒΘ τῇ ΕΖ ἡ δὲ ΑΒ τῇ ΔΕ, δύο δὴ αἱ ΑΒ, ΒΘ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. καὶ γωνίας ἴσας περιέχουσιν· βάσις ἄρα ἡ ΑΘ βάσει τῇ ΔΖ ἴση ἐστίν, καὶ τὸ ΑΒΘ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ ἴσον ἐστίν,

26.

Ἐὰν δύο τρίγωνα ἔχουν δύο γωνίας ἴσας ἀντιστοίχως καὶ μίαν πλευρὰν ἴσην, ἤτοι τὴν πλευρὰν εἰς τὴν ὁποίαν πρόσκεινται αἱ ἴσαι γωνίαι, ἢ μίαν πλευρὰν ἴσην κειμένην ἀπέναντι τῆς μιᾶς τῶν ἴσων γωνιῶν, τὰ τρίγωνα ταῦτα θὰ ἔχουν καὶ τὰς ἄλλας πλευρὰς ἴσας [ἀντιστοίχως] καὶ τὴν λοιπὴν γωνίαν ἴσην πρὸς τὴν λοιπὴν γωνίαν.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ ἔχοντα τὰς δύο γωνίας ΑΒΓ, ΒΓΑ ἀντιστοίχως ἴσας πρὸς τὰς γωνίας ΔΕΖ, ΕΖΔ· τὴν μὲν ΑΒΓ ἴσην πρὸς τὴν ΔΕΖ, τὴν δὲ ΒΓΑ ἴσην πρὸς τὴν ΕΖΔ· ἂς ἔχουν δὲ καὶ μίαν πλευρὰν ἴσην, ἐν πρώτοις τὴν πλευρὰν ΒΓ ἴσην πρὸς τὴν ΕΖ, εἰς τὰς ὁποίας πρόσκεινται αἱ ἴσαι γωνίαι· λέγω, ὅτι θὰ ἔχουν καὶ τὰς ἄλλας πλευρὰς ἴσας ἀντιστοίχως, τὴν μὲν ΑΒ ἴσην πρὸς τὴν ΔΕ, τὴν δὲ ΑΓ ἴσην πρὸς τὴν ΔΖ, καὶ τὴν λοιπὴν γωνίαν ἴσην πρὸς τὴν λοιπὴν γωνίαν, ἤτοι τὴν ΒΑΓ ἴσην πρὸς τὴν ΕΔΖ.

Διότι, ἐὰν ἡ ΑΒ εἶναι ἄνισος πρὸς τὴν ΔΕ, ἡ μία ἐξ αὐτῶν θὰ εἶναι μεγαλυτέρα. Ἔστω ἡ ΑΒ μεγαλυτέρα καὶ ἂς ληφθῇ ἡ ΒΗ ἴση πρὸς τὴν ΔΕ καὶ ἂς ἀχθῇ ἡ ΗΓ.

Ἀναγεγράφθω γὰρ ἀπὸ μὲν τῆς ΒΓ τετράγωνον τὸ ΒΔΕΓ, ἀπὸ δὲ τῶν ΒΑ, ΑΓ τὰ ΗΒ, ΘΓ, καὶ διὰ τοῦ Α ὁποτέρᾳ τῶν ΒΔ, ΓΕ παράλληλος ἤχθω ἡ ΑΛ. καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΖΓ. καὶ ἐπεὶ ὀρθή ἐστιν ἑκατέρα τῶν ὑπὸ ΒΑΓ, ΒΑΗ γωνιῶν, πρὸς δή τινι εὐθείᾳ τῇ ΒΑ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α δύο εὐθεῖαι αἱ ΑΓ, ΑΗ μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι τὰς ἐφεξῆς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιοῦσιν· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΓΑ τῇ ΑΗ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΒΑ τῇ ΑΘ ἐστιν ἐπ' εὐθείας. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔΒΓ γωνία τῇ ὑπὸ ΖΒΑ· ὀρθὴ γὰρ ἑκατέρα· κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΒΓ· ὅλη ἄρα ἡ ὑπὸ ΔΒΑ ὅλῃ τῇ ὑπὸ ΖΒΓ ἐστιν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΔΒ τῇ ΒΓ, ἡ δὲ ΖΒ τῇ ΒΑ, δύο δὴ αἱ ΔΒ, ΒΑ δύο ταῖς ΖΒ, ΒΓ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΔΒΑ γωνίᾳ τῇ ὑπὸ ΖΒΓ ἴση· βάσις ἄρα ἡ ΑΔ βάσει τῇ ΖΓ [ἐστιν] ἴση, καὶ τὸ ΑΒΔ τρίγωνον τῷ ΖΒΓ τριγώνῳ ἐστὶν ἴσον· καὶ [ἔστι] τοῦ μὲν ΑΒΔ τριγώνου διπλάσιον τὸ ΒΛ παραλληλόγραμμον· βάσιν τε γὰρ τὴν αὐτὴν ἔχουσι τὴν ΒΔ καὶ ἐν ταῖς αὐταῖς εἰσι παραλλήλοις ταῖς ΒΔ, ΑΛ· τοῦ δὲ ΖΒΓ τριγώνου διπλάσιον τὸ ΗΒ τετράγωνον. βάσιν τε γὰρ πάλιν τὴν αὐτὴν ἔχουσι τὴν ΖΒ καὶ ἐν ταῖς αὐταῖς εἰσι παραλλήλοις ταῖς ΖΒ, ΗΓ. [τὰ δὲ τῶν ἴσων διπλάσια ἴσα ἀλλήλοις ἐστίν·] ἴσον ἄρα ἐστὶ καὶ τὸ ΒΛ παραλληλόγραμμον τῷ ΗΒ τετραγώνῳ. ὁμοίως δὴ ἐπιζευγνυμένων τῶν ΑΕ, ΒΚ δειχθήσεται καὶ τὸ ΓΛ παραλληλόγραμμον ἴσον τῷ ΘΓ τετραγώνῳ. ὅλον ἄρα τὸ ΒΔΕΓ τετράγωνον δυσὶ τοῖς ΗΒ, ΘΓ τετραγώνοις ἴσον ἐστίν. καί ἐστι τὸ μὲν ΒΔΕΓ τετράγωνον ἀπὸ τῆς ΒΓ ἀναγραφέν, τὰ δὲ ΗΒ, ΘΓ ἀπὸ τῶν ΒΑ, ΑΓ. τὸ ἄρα ἀπὸ τῆς ΒΓ πλευρᾶς τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ πλευρῶν τετραγώνοις.



ὑπὸ τῆς εὐθείας ΑΔ, ἕπεται, ὅτι αἱ γωνίαι ΒΑΔ, ΑΔΕ εἶναι ἴσαι πρὸς δύο ὀρθάς (θεώρ. 29). Εἶναι δὲ ὀρθὴ ἡ ΒΑΔ· ἄρα καὶ ἡ ΑΔΕ εἶναι ὀρθή. Τῶν δὲ παραλληλογράμμων αἱ ἀπέναντι πλευραὶ καὶ αἱ ἀπέναντι γωνίαι εἶναι ἴσαι μεταξύ των (θεώρ. 34)· ἄρα εἶναι ὀρθὴ καὶ ἑκάστη τῶν ἀπέναντι γωνιῶν τῶν ΑΒΕ, ΒΕΔ· ἄρα τὸ ΑΔΕΒ εἶναι ὀρθογώνιον. Ἐδείχθη δέ, ὅτι εἶναι καὶ ἰσόπλευρον.

Ἄρα εἶναι τετράγωνον· καὶ ἔχει ἀναγραφῆ ἀπὸ τῆς εὐθείας ΑΒ· ὅπερ ἔδει ποιῆσαι.

47.

Εἰς τὰ ὀρθογώνια τρίγωνα τὸ τετράγωνον τὸ ἀναγραφόμενον ἀπὸ τῆς ὑποτεινούσης τὴν ὀρθὴν γωνίαν πλευρᾶς εἶναι ἴσον πρὸς τὰ τετράγωνα τὰ ὁποῖα ἀναγράφονται ἀπὸ τὰς πλευρὰς αἱ ὁποῖαι περιέχουν τὴν ὀρθὴν γωνίαν (Πυθαγόρειον θεώρημα).

Ἔστω ὀρθογώνιον τρίγωνον τὸ ΑΒΓ ἔχον ὀρθὴν γωνίαν τὴν ΒΑΓ· λέγω, ὅτι τὸ τετράγωνον τὸ ἀναγραφόμενον ἀπὸ τῆς ΒΓ, εἶναι ἴσον πρὸς τὰ τετράγωνα τ' ἀναγραφόμενα ἀπὸ τῶν ΒΑ, ΑΓ.

Διότι, ἂς ἀναγραφῆ ἀπὸ μὲν τῆς ΒΓ τὸ τετράγωνον ΒΔΕΓ, ἀπὸ δὲ τῶν ΒΑ, ΑΓ, τὰ ΗΒ, ΘΓ (θεώρ. 46) καὶ διὰ τοῦ Α ἂς ἀχθῆ ἡ ΑΛ παράλληλος πρὸς ἑκάστην τῶν ΒΔ, ΓΕ (θεώρ. 31)· καὶ ἂς ἀχθοῦν αἱ ΑΔ, ΖΓ. Καὶ ἐπειδὴ ἑκάστη τῶν γωνιῶν ΒΑΓ, ΒΑΗ εἶναι ὀρθή, ἐκ τῆς εὐθείας ΒΑ καὶ τοῦ ἐπ' αὐτῆς σημείου Α ἔχουν ἀχθῆ δύο εὐθεῖαι αἱ ΑΓ, ΑΗ μὴ κείμεναι πρὸς τὰ αὐτὰ μέρη αὐτῆς, αἱ ὁποῖαι σχηματίζουν τὰς ἐφεξῆς γωνίας ἴσας πρὸς δύο ὀρθάς· ἄρα αἱ ΓΑ, ΑΗ κεῖνται ἐπ' εὐθείας (θεώρ. 14). Διὰ τὸν αὐτὸν λόγον κεῖνται ἐπ' εὐθείας αἱ ΒΑ, ΑΘ. Καὶ ἐπειδὴ ἡ γωνία ΔΒΓ εἶναι ἴση πρὸς τὴν ΖΒΑ· διότι ἑκάστη εἶναι ὀρθή· ἂς προστεθῆ εἰς ἑκάστην τούτων ἡ κοινὴ ΑΒΓ· ἄρα ὅλη ἡ ΔΒΑ εἶναι ἴση πρὸς ὅλην τὴν ΖΒΓ (κ. ἐν. 2). Καὶ ἐπειδὴ ἡ μὲν ΔΒ εἶναι ἴση πρὸς τὴν ΒΓ, ἡ δὲ ΖΒ πρὸς τὴν ΒΑ, αἱ δύο πλευραὶ ΔΒ, ΒΑ εἶναι ἴσαι ἀντιστοίχως πρὸς τὰς ΖΒ, ΒΓ· καὶ ἡ γωνία ΔΒΑ εἶναι ἴση πρὸς τὴν ΖΒΓ· ἄρα ἡ βάσις ΑΔ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΓ, καὶ τὸ τρίγωνον ΑΒΔ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΖΒΓ (θεώρ. 4)· καὶ εἶναι τοῦ μὲν τριγώνου ΑΒΔ τὸ παραλληλόγραμμον ΒΛ διπλάσιον· διότι ἔχουν τὴν αὐτὴν βάσιν τὴν ΒΔ καὶ εὑρίσκονται μεταξὺ τῶν αὐτῶν παραλλήλων τῶν ΒΔ, ΑΛ (θεώρ. 41)· τοῦ δὲ τριγώνου ΖΒΓ τὸ τετράγωνον ΗΒ εἶναι διπλάσιον· διότι πάλιν ἔχουν τὴν αὐτὴν βάσιν τὴν ΖΒ καὶ εὑρίκονται μεταξὺ τῶν αὐτῶν παραλλήλων, τῶν ΖΒ, ΗΓ [τὰ δὲ διπλάσια τῶν ἴσων εἶναι μεταξύ των ἴσα]· ἄρα τὸ παραλληλόγραμμον ΒΛ εἶναι ἴσον πρὸς τὸ τετράγωνον ΗΒ. Καθ' ὅμοιον τρόπον θ' ἀποδειχθῆ, ἐὰν ἀχθοῦν αἱ ΑΕ, ΒΚ, ὅτι τὸ παραλληλόγραμμον ΓΛ εἶναι ἴσον πρὸς τὸ τετράγωνον ΘΓ· ἄρα ὅλον τὸ τετράγωνον ΒΔΕΓ εἶναι ἴσον πρὸς δύο τετράγωνα, τὰ ΗΒ, ΘΓ (κ. ἐν. 2). Καὶ τὸ μὲν ΒΔΕΓ τετράγωνον ἔχει ἀναγραφῆ ἀπὸ τῆς ΒΓ, τὰ δὲ ΗΒ, ΘΓ ἀπὸ τῶν ΒΑ, ΑΓ. Ἄρα τὸ τετράγωνον τὸ ἀναγραφόμενον ἀπὸ τῆς πλευρᾶς ΒΓ εἶναι ἴσον πρὸς τὰ τετράγωνα τ' ἀναγραφόμενα ἀπὸ τῶν πλευρῶν ΒΑ, ΑΓ.

Ἐν ἄρα τοῖς ὀρθογωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν [γωνίαν] περιεχουσῶν πλευρῶν τετραγώνοις· ὅπερ ἔδει δεῖξαι.

μη΄.

Ἐὰν τριγώνου τὸ ἀπὸ μιᾶς τῶν πλευρῶν τετράγωνον ἴσον ᾖ τοῖς ἀπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν τετραγώνοις, ἡ περιεχομένη γωνία ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν ὀρθή ἐστιν.

Τριγώνου γὰρ τοῦ ΑΒΓ τὸ ἀπὸ μιᾶς τῆς ΒΓ πλευρᾶς τετράγωνον ἴσον ἔστω τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ πλευρῶν τετραγώνοις· λέγω, ὅτι ὀρθή ἐστιν ἡ ὑπὸ ΒΑΓ γωνία.

Ἤχθω γὰρ ἀπὸ τοῦ Α σημείου τῇ ΑΓ εὐθείᾳ πρὸς ὀρθὰς ἡ ΑΔ καὶ κείσθω τῇ ΒΑ ἴση ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΔΓ. ἐπεὶ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΒ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΔΑ τετράγωνον τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον· τὰ ἄρα ἀπὸ τῶν ΔΑ, ΑΓ τετράγωνα ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ τετραγώνοις. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΔΑ, ΑΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΔΓ· ὀρθὴ γάρ ἐστιν ἡ ὑπὸ ΔΑΓ γωνία· τοῖς δὲ ἀπὸ τῶν ΒΑ, ΑΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΒΓ· ὑπόκειται γάρ· τὸ ἄρα ἀπὸ τῆς ΔΓ τετράγωνον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΒΓ τετραγώνῳ· ὥστε καὶ πλευρὰ ἡ ΔΓ τῇ ΒΓ ἐστιν ἴση· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΒ, κοινὴ δὲ ἡ ΑΓ, δύο δὴ αἱ ΔΑ, ΑΓ δύο ταῖς ΒΑ, ΑΓ ἴσαι εἰσίν· καὶ βάσις ἡ ΔΓ βάσει τῇ ΒΓ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΔΑΓ γωνίᾳ τῇ ὑπὸ ΒΑΓ [ἐστιν] ἴση. ὀρθὴ δὲ ἡ ὑπὸ ΔΑΓ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΒΑΓ.



Ἐὰν ἄρα τριγώνου τὸ ἀπὸ μιᾶς τῶν πλευρῶν τετράγωνον ἴσον ᾖ τοῖς ἀπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν τετραγώνοις, ἡ περιεχομένη γωνία ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν ὀρθή ἐστιν· ὅπερ ἔδει δεῖξαι.

Εἰς τὰ ὀρθογώνια ἄρα τρίγωνα τὸ τετράγωνον τὸ ἀναγραφόμενον ἀπὸ τῆς ὑποτεινούσης τὴν ὀρθὴν γωνίαν πλευρᾶς εἶναι ἴσον πρὸς τὰ τετράγωνα τ' ἀναγραφόμενα ἀπὸ τῶν πλευρῶν αἱ ὁποῖαι περιέχουν τὴν ὀρθὴν γωνίαν· ὅπερ ἔδει δεῖξαι.

48.

'Εὰν τριγώνου τὸ τετράγωνον τὸ ἀναγραφόμενον ἀπὸ μιᾶς τῶν πλευρῶν εἶναι ἴσον πρὸς τὰ τετράγωνα τ' ἀναγραφόμενα ἀπὸ τῶν δύο ἄλλων πλευρῶν τοῦ τριγώνου, ἡ περιεχομένη γωνία ὑπὸ τῶν δύο ἄλλων πλευρῶν τοῦ τριγώνου εἶναι ὀρθή.

Διότι, ἔστω τὸ τετράγωνον τὸ ἀναγραφόμενον ἀπὸ μιᾶς πλευρᾶς τοῦ τριγώνου ΑΒΓ, τῆς ΒΓ, ἴσον πρὸς τὰ τετράγωνα τ' ἀναγραφόμενα ἀπὸ τῶν πλευρῶν ΒΑ, ΑΓ· λέγω, ὅτι ἡ γωνία ΒΑΓ εἶναι ὀρθή.

Διότι, ἂς ἀχθῇ ἐκ τοῦ σημείου Α ἐπὶ τῆς εὐθείας ΑΓ, κάθετος ἡ ΑΔ (θεώρ. 11) καὶ ἂς ληφθῇ ἡ ΑΔ ἴση πρὸς τὴν ΑΒ καὶ ἂς ἀχθῇ ἡ ΔΓ. 'Επειδὴ ἡ ΔΑ εἶναι ἴση πρὸς τὴν ΑΒ, τὸ τετράγωνον τὸ ἀναγραφόμενον ἀπὸ τῆς ΔΑ εἶναι ἴσον πρὸς τὸ ἀπὸ τῆς ΑΒ ἀναγραφόμενον τετράγωνον. Ἂς προστεθῇ εἰς ἕκαστον τῶν τετραγώνων τούτων τὸ κοινὸν ἀπὸ τῆς ΑΓ ἀναγραφόμενον τετράγωνον· ἄρα τὰ τετράγωνα ἀπὸ τῶν πλευρῶν ΔΑ, ΑΓ εἶναι ἴσα πρὸς τὰ τετράγωνα ἀπὸ τῶν πλευρῶν ΒΑ, ΑΓ (κ. ἔν. 2). 'Αλλὰ πρὸς μὲν τὰ τετράγωνα τὰ ἀπὸ τῶν πλευρῶν ΔΑ, ΑΓ εἶναι ἴσον τὸ τετράγωνον τὸ ἀπὸ τῆς πλευρᾶς ΔΓ· διότι ἡ γωνία ΔΑΓ εἶναι ὀρθή (θεώρ. 47)· πρὸς δὲ τὰ τετράγωνα τὰ ἀπὸ τῶν πλευρῶν ΒΑ, ΑΓ εἶναι ἴσον τὸ ἀπὸ τῆς πλευρᾶς ΒΓ τετράγωνον· διότι ἐλήφθη ἐξ ὑποθέσεως· ἄρα τὸ τετράγωνον τὸ ἀπὸ τῆς πλευρᾶς ΔΓ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τὸ ἀπὸ τῆς πλευρᾶς ΒΓ (κ. ἔν. 1)· ὥστε καὶ ἡ πλευρὰ ΔΓ εἶναι ἴση πρὸς τὴν πλευρὰν ΒΓ· καὶ ἐπειδὴ ἡ ΔΑ εἶναι ἴση πρὸς τὴν ΑΒ, ἡ δὲ ΑΓ εἶναι κοινή, αἱ δύο πλευραί, αἱ ΔΑ, ΑΓ εἶναι ἴσαι πρὸς τὰς δύο τὰς ΒΑ, ΑΓ· καὶ ἡ βάσις ΔΓ ἴση πρὸς τὴν βάσιν ΒΓ· ἄρα ἡ γωνία ΔΑΓ εἶναι ἴση πρὸς τὴν ΒΑΓ (θεώρ. 8). Εἶναι δὲ ἡ γωνία ΔΑΓ ὀρθή· ἄρα καὶ ἡ ΒΑΓ εἶναι ὀρθή.

'Εὰν ἄρα τὸ τετράγωνον τὸ ἀναγραφόμενον ἀπὸ μιᾶς πλευρᾶς τριγώνου εἶναι ἴσον πρὸς τὰ τετράγωνα τὰ ἀπὸ τῶν ἄλλων δύο πλευρῶν τοῦ τριγώνου ἀναγραφόμενα, ἡ περιεχομένη γωνία ὑπὸ τῶν δύο ἄλλων πλευρῶν τοῦ τριγώνου εἶναι ὀρθή· ὅπερ ἔδει δεῖξαι.

β'.

Ὅροι.

α'. Πᾶν παραλληλόγραμμον ὀρθογώνιον περιέχεσθαι λέγεται ὑπὸ δύο τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν εὐθειῶν.

β'. Παντὸς δὲ παραλληλογράμμου χωρίου τῶν περὶ τὴν διάμετρον αὐτοῦ παραλληλογράμμων ἓν ὁποιονοῦν σὺν τοῖς δυσὶ παραπληρώμασι γνώμων καλείσθω.

α'.

Ἐὰν ὦσι δύο εὐθεῖαι, τμηθῇ δὲ ἡ ἑτέρα αὐτῶν εἰς ὁσαδηποτοῦν τμήματα, τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν δύο εὐθειῶν ἴσον ἐστὶ τοῖς ὑπό τε τῆς ἀτμήτου καὶ ἑκάστου τῶν τμημάτων περιεχομένοις ὀρθογωνίοις.



Ἔστωσαν δύο εὐθεῖαι αἱ Α, ΒΓ, καὶ τετμήσθω ἡ ΒΓ, ὡς ἔτυχεν, κατὰ τὰ Δ, Ε σημεῖα· λέγω, ὅτι τὸ ὑπὸ τῶν Α, ΒΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν Α, ΒΔ περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ὑπὸ τῶν Α, ΔΕ καὶ ἔτι τῷ ὑπὸ τῶν Α, ΕΓ.

Ἤχθω γὰρ ἀπὸ τοῦ Β τῇ ΒΓ πρὸς ὀρθὰς ἡ ΒΖ, καὶ κείσθω τῇ Α ἴση ἡ ΒΗ, καὶ διὰ μὲν τοῦ Η τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΗΘ, διὰ δὲ τῶν Δ, Ε, Γ τῇ ΒΗ παράλληλοι ἤχθωσαν αἱ ΔΚ, ΕΛ, ΓΘ.

Ἴσον δή ἐστι τὸ ΒΘ τοῖς ΒΚ, ΔΛ, ΕΘ. καὶ ἔστι τὸ μὲν ΒΘ τὸ ὑπὸ τῶν Α, ΒΓ· περιέχεται μὲν γὰρ ὑπὸ τῶν ΗΒ, ΒΓ, ἴση δὲ ἡ ΒΗ τῇ Α· τὸ δὲ ΒΚ τὸ ὑπὸ τῶν Α, ΒΔ· περιέχεται μὲν γὰρ ὑπὸ τῶν ΗΒ, ΒΔ, ἴση δὲ ἡ ΒΗ τῇ Α. τὸ δὲ ΔΛ τὸ ὑπὸ τῶν Α, ΔΕ· ἴση γὰρ ἡ ΔΚ, τουτέστιν ἡ ΒΗ, τῇ Α. καὶ ἔτι ὁμοίως τὸ ΕΘ τὸ ὑπὸ τῶν Α, ΕΓ· τὸ ἄρα ὑπὸ τῶν Α, ΒΓ ἴσον ἐστὶ τῷ τε ὑπὸ Α, ΒΔ καὶ τῷ ὑπὸ Α, ΔΕ καὶ ἔτι τῷ ὑπὸ Α, ΕΓ.

Ἐὰν ἄρα ὦσι δύο εὐθεῖαι, τμηθῇ δὲ ἡ ἑτέρα αὐτῶν εἰς ὁσαδηποτοῦν τμήματα, τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν δύο εὐθειῶν ἴσον ἐστὶ τοῖς ὑπό τε τῆς ἀτμήτου καὶ ἑκάστου τῶν τμημάτων περιεχομένοις ὀρθογωνίοις· ὅπερ ἔδει δεῖξαι.

ΒΙΒΛΙΟΝ II.

Ὁρισμοί.

1. Πᾶν ὀρθογώνιον παραλληλόγραμμον λέγεται ὅτι περιέχεται ὑπὸ τῶν δύο εὐθειῶν αἱ ὁποῖαι σχηματίζουν τὴν ὀρθὴν γωνίαν.

2. Παντὸς δὲ παραλληλογράμμου, ἓν οἱονδήποτε ἐκ τῶν περὶ τὴν διαγώνιον παραλληλογράμμων, μαζὶ μὲ τὰ δύο παραπληρώματα, ἂς ὀνομάζεται γνώμων.

1.

Ἐὰν ὑπάρχουν δύο εὐθεῖαι, τμηθῇ δὲ ἡ μία ἐξ αὐτῶν εἰς ὁσαδήποτε τμήματα, τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν δύο εὐθειῶν εἶναι ἴσον πρὸς τὰ ὀρθογώνια τὰ ὁποῖα περιέχονται ὑπὸ τῆς ἀτμήτου καὶ ἑκάστου τῶν τμημάτων.

Ἔστωσαν δύο εὐθεῖαι αἱ Α, ΒΓ, καὶ ἂς τμηθῇ ἡ ΒΓ, ὡς ἔτυχεν, κατὰ τὰ σημεῖα Δ, Ε· λέγω, ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν Α, ΒΓ εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν Α, ΒΔ καὶ τὸ ὑπὸ τῶν Α, ΔΕ καὶ τὸ ὑπὸ τῶν Α, ΕΓ.

Διότι, ἂς ἀχθῇ ἀπὸ τοῦ Β ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΒΖ (Ι.11) καὶ ἂς ληφθῇ ἡ ΒΗ ἴση πρὸς τὴν Α, καὶ διὰ μὲν τοῦ Η ἂς ἀχθῇ παράλληλος πρὸς τὴν ΒΓ ἡ ΗΘ (Ι.31), διὰ δὲ τῶν Δ, Ε, Γ ἂς ἀχθοῦν παράλληλοι πρὸς τὴν ΒΗ, αἱ ΔΚ, ΕΛ, ΓΘ.

Τὸ ὀρθογώνιον ΒΘ εἶναι ἴσον πρὸς τὰ ΒΚ, ΔΛ, ΕΘ. Καὶ τὸ μὲν ΒΘ σχηματίζεται ὑπὸ τῶν εὐθειῶν Α, ΒΓ· διότι τοῦτο περιέχεται μὲν ὑπὸ τῶν ΗΒ, ΒΓ, ἡ δὲ ΒΗ εἶναι ἴση πρὸς τὴν Α· τὸ δὲ ΒΚ σχηματίζεται ὑπὸ τῶν εὐθειῶν Α, ΒΔ· διότι τοῦτο περιέχεται μὲν ὑπὸ τῶν ΗΒ, ΒΔ, ἡ δὲ ΒΗ εἶναι ἴση πρὸς τὴν Α. Τὸ δὲ ΔΛ σχηματίζεται ὑπὸ τῶν εὐθειῶν Α, ΔΕ· διότι ἡ ΔΚ, τουτέστιν ἡ ΒΗ εἶναι ἴση πρὸς τὴν Α (Ι.34). Καὶ καθ' ὅμοιον τρόπον τὸ ΕΘ τὸ σχηματιζόμενον ὑπὸ τῶν Α, ΕΓ· ἄρα τὸ ὑπὸ τῶν Α, ΒΓ ὀρθογώνιον εἶναι ἴσον πρὸς τὸ ὑπὸ τῶν Α, ΒΔ καὶ τὸ ὑπὸ τῶν Α, ΔΕ καὶ τὸ ὑπὸ τῶν Α, ΕΓ.

Ἐὰν ἄρα ὑπάρχουν δύο εὐθεῖαι, τμηθῇ δὲ ἡ μία ἐξ αὐτῶν εἰς ὁσαδήποτε τμήματα, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν δύο εὐθειῶν εἶναι ἴσον πρὸς τὰ ὀρθογώνια τὰ ὁποῖα περιέχονται ὑπὸ τῆς ἀτμήτου καὶ ἑκάστου τῶν τμημάτων· ὅπερ ἔδει δεῖξαι.

β'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ ὑπὸ τῆς ὅλης καὶ ἑκατέρου τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ὅλης τετραγώνῳ.

Εὐθεῖα γὰρ ἡ ΑΒ τετμήσθω, ὡς ἔτυχεν, κατὰ τὸ Γ σημεῖον· λέγω, ὅτι τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ὑπὸ ΒΑ, ΑΓ περιεχομένου ὀρθογωνίου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔΕΒ, καὶ ἤχθω διὰ τοῦ Γ ὁποτέρᾳ τῶν ΑΔ, ΒΕ παράλληλος ἡ ΓΖ.



Ἴσον δή ἐστι τὸ ΑΕ τοῖς ΑΖ, ΓΕ. καὶ ἔστι τὸ μὲν ΑΕ τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον, τὸ δὲ ΑΖ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ περιεχόμενον ὀρθογώνιον· περιέχεται μὲν γὰρ ὑπὸ τῶν ΔΑ, ΑΓ, ἴση δὲ ἡ ΑΔ τῇ ΑΒ· τὸ δὲ ΓΕ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ· ἴση γὰρ ἡ ΒΕ τῇ ΑΒ. τὸ ἄρα ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ ἀπὸ τῆς ὅλης καὶ ἑκατέρου τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ὅλης τετραγώνῳ· ὅπερ ἔδει δεῖξαι.

γ'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχεν, τὸ ὑπὸ τῆς ὅλης καὶ ἑνὸς τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τοῦ προειρημένου τμήματος τετραγώνῳ.

Εὐθεῖα γὰρ ἡ ΑΒ τετμήσθω, ὡς ἔτυχεν, κατὰ τὸ Γ· λέγω, ὅτι τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ μετὰ τοῦ ἀπὸ τῆς ΒΓ τετραγώνου.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΓΒ τετράγωνον τὸ ΓΔΕΒ, καὶ διήχθω ἡ ΕΔ ἐπὶ τὸ Ζ, καὶ διὰ τοῦ Α ὁποτέρᾳ τῶν ΓΔ, ΒΕ παράλληλος ἤχθω ἡ ΑΖ.



ἴσον δή ἐστι τὸ ΑΕ τοῖς ΑΔ, ΓΕ· καὶ ἔστι τὸ μὲν ΑΕ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον· περιέχεται μὲν γὰρ ὑπὸ τῶν ΑΒ, ΒΕ, ἴση δὲ ἡ ΒΕ τῇ ΒΓ· τὸ δὲ ΑΔ τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ· ἴση γὰρ ἡ ΔΓ τῇ ΓΒ· τὸ δὲ ΔΒ τὸ ἀπὸ τῆς ΓΒ τετράγωνον· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ μετὰ τοῦ ἀπὸ τῆς ΒΓ τετραγώνου.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ ὑπὸ τῆς ὅλης καὶ ἑνὸς τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τοῦ προειρημένου τμήματος τετραγώνῳ· ὅπερ ἔδει δεῖξαι.

2.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῆς ὅλης εὐθείας καὶ ἑκάστου τῶν τμημάτων εἶναι ἴσον πρὸς τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὴν εὐθεῖαν.

Διότι, ἂς τμηθῇ ἡ εὐθεῖα ΑΒ κατὰ τὸ τυχὸν σημεῖον Γ· λέγω ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΓ μὲ τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΒΑ, ΑΓ εἶναι ἴσον πρὸς τὸ τετράγωνον πλευρᾶς ΑΒ.

Διότι ἂς ἀναγραφῇ ἀπὸ τῆς ΑΒ τὸ τετράγωνον ΑΔΕΒ (Ι.46), καὶ ἂς ἀχθῇ διὰ τοῦ Γ ἡ ΓΖ παράλληλος πρὸς ἑκάστην τῶν ΑΔ, ΒΕ (Ι.31).

Τὸ ΑΕ εἶναι ἴσον πρὸς τὰ ΑΖ, ΓΕ. Καὶ τὸ μὲν ΑΕ εἶναι τὸ ἀπὸ τῆς ΑΒ ἀναγραφὲν τετράγωνον, τὸ δὲ ΑΖ εἶναι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΒΑ, ΑΓ· διότι τοῦτο περιέχεται μὲν ὑπὸ τῶν ΔΑ, ΑΓ, ἡ δὲ ΑΔ εἶναι ἴση πρὸς τὴν ΑΒ (Ι. ὁρ. 23)· τὸ δὲ ΓΕ εἶναι τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΓ· διότι ἡ ΒΕ εἶναι ἴση πρὸς τὴν ΑΒ. Ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ ἰσοῦται μὲ τὸ τετράγωνον πλευρᾶς ΑΒ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῆς ὅλης εὐθείας καὶ ἑκάστου τῶν τμημάτων εἶναι ἴσον πρὸς τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὴν εὐθεῖαν.

3.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ ὅλης τῆς εὐθείας καὶ ἑνὸς τῶν τμημάτων εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν δύο τμημάτων καὶ τὸ τετράγωνον τοῦ ληφθέντος ἑνὸς τμήματος.

Διότι, ἂς τμηθῇ ἡ εὐθεῖα ΑΒ κατὰ τὸ τυχὸν σημεῖον Γ· λέγω, ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΓ εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΓ, ΓΒ καὶ τὸ τετράγωνον τῆς ΒΓ.

Διότι ἂς ἀναγραφῇ ἀπὸ τῆς ΒΓ τὸ τετράγωνον ΓΔΕΒ (Ι.46) καὶ ἂς προεκταθῇ ἡ ΕΔ μέχρι τοῦ Ζ, καὶ διὰ τοῦ Α ἂς ἀχθῇ ἡ ΑΖ παράλληλος πρὸς ἑκάστην τῶν ΓΔ, ΒΕ (Ι.31). Τὸ ὀρθογώνιον ΑΕ εἶναι ἴσον πρὸς τὰ ὀρθογώνια ΑΔ, ΓΕ· καὶ εἶναι τὸ μὲν ΑΕ τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΓ ὀρθογώνιον· διότι περιέχεται μὲν τοῦτο ὑπὸ τῶν ΑΒ, ΒΕ, ἀλλὰ ἡ ΒΕ εἶναι ἴση πρὸς τὴν ΒΓ· τὸ δὲ ΑΔ εἶναι ἴσον πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν ΑΓ, ΓΒ· διότι ἡ ΔΓ εἶναι ἴση πρὸς τὴν ΓΒ· τὸ δὲ ΔΒ εἶναι τὸ τετράγωνον τῆς ΓΒ· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΓ εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΓ, ΓΒ καὶ τὸ τετράγωνον τῆς ΒΓ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ ὅλης τῆς εὐθείας καὶ ἑνὸς τῶν τμημάτων, εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν δύο τμημάτων καὶ τὸ τετράγωνον τοῦ ληφθέντος ἑνὸς τμήματος· ὅπερ ἔδει δεῖξαι.

δ'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ ἀπὸ τῆς ὅλης τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν τμημάτων τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ.

Εὐθεῖα γὰρ γραμμὴ ἡ ΑΒ τετμήσθω, ὡς ἔτυχεν, κατὰ τὸ Γ. λέγω, ὅτι τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔΕΒ, καὶ ἐπεζεύχθω ἡ ΒΔ, καὶ διὰ μὲν τοῦ Γ ὁποτέρᾳ τῶν ΑΔ, ΕΒ παράλληλος ἤχθω ἡ ΓΖ, διὰ δὲ τοῦ Η ὁποτέρᾳ τῶν ΑΒ, ΔΕ παράλληλος ἤχθω ἡ ΘΚ· καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΓΖ τῇ ΑΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΒΔ, ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΓΗΒ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΑΔΒ. ἀλλ' ἡ ὑπὸ ΑΔΒ τῇ ὑπὸ ΑΒΔ ἐστιν



ἴση, ἐπεὶ καὶ πλευρὰ ἡ ΒΑ τῇ ΑΔ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΓΗΒ ἄρα γωνία τῇ ὑπὸ ΗΒΓ ἐστιν ἴση· ὥστε καὶ πλευρὰ ἡ ΒΓ πλευρᾷ τῇ ΓΗ ἐστιν ἴση· ἀλλ' ἡ μὲν ΓΒ τῇ ΗΚ ἐστιν ἴση, ἡ δὲ ΓΗ τῇ ΚΒ· καὶ ἡ ΗΚ ἄρα τῇ ΚΒ ἐστιν ἴση· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΓΗΚΒ. λέγω δή, ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΓΗ τῇ ΒΚ [καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ ΓΒ], αἱ ἄρα ὑπὸ ΚΒΓ, ΗΓΒ γωνίαι δύο ὀρθαῖς εἰσιν ἴσαι. ὀρθὴ δὲ ἡ ὑπὸ ΚΒΓ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΒΓΗ· ὥστε καὶ αἱ ἀπεναντίον αἱ ὑπὸ ΓΗΚ, ΗΚΒ ὀρθαί εἰσιν. ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΓΗΚΒ· ἐδείχθη δὲ καὶ ἰσόπλευρον· τετράγωνον ἄρα ἐστίν· καὶ ἔστιν ἀπὸ τῆς ΓΒ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΘΖ τετράγωνόν ἐστιν· καὶ ἔστιν ἀπὸ τῆς ΘΗ, τουτέστιν [ἀπὸ] τῆς ΑΓ· τὰ ἄρα ΘΖ, ΚΓ τετράγωνα ἀπὸ τῶν ΑΓ, ΓΒ εἰσιν. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΑΗ τῷ ΗΕ, καὶ ἔστι τὸ ΑΗ τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ· ἴση γὰρ ἡ ΗΓ τῇ ΓΒ· καὶ τὸ ΗΕ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ ΑΓ, ΓΒ· τὰ ἄρα ΑΗ, ΗΕ ἴσα ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. ἔστι δὲ καὶ τὰ ΘΖ, ΓΚ τετράγωνα ἀπὸ τῶν ΑΓ, ΓΒ· τὰ ἄρα τέσσαρα τὰ ΘΖ, ΓΚ, ΑΗ, ΗΕ ἴσα ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ. ἀλλὰ τὰ ΘΖ, ΓΚ, ΑΗ, ΗΕ ὅλον ἐστὶ τὸ ΑΔΕΒ, ὅ ἐστιν ἀπὸ τῆς ΑΒ τετράγωνον· τὸ ἄρα ἀπὸ τῆς ΑΒ τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ ἀπὸ τῆς ὅλης τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν τμημάτων τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ· ὅπερ ἔδει δεῖξαι.

[Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐν τοῖς τετραγώνοις χωρίοις τὰ περὶ τὴν διάμετρον παραλληλόγραμμα τετράγωνά ἐστιν.]

4.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ τετράγωνον τῆς ὅλης εὐθείας εἶναι ἴσον πρὸς τὰ τετράγωνα τῶν τμημάτων καὶ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν τμημάτων.

Διότι, ἂς τμηθῇ ἡ εὐθεῖα ΑΒ, κατὰ τὸ τυχὸν σημεῖον Γ. Λέγω, ὅτι τὸ τετράγωνον τῆς ΑΒ εἶναι ἴσον πρὸς τὰ τετράγωνα τῶν ΑΓ, ΓΒ καὶ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΓ, ΓΒ.

Διότι ἂς ἀναγραφῇ τὸ τετράγωνον τῆς ΑΒ, τὸ ΑΔΕΒ (Ι.46) καὶ ἂς ἀχθῇ ἡ ΒΔ καὶ διὰ μὲν τοῦ Γ ἂς ἀχθῇ ἡ ΓΖ παράλληλος πρὸς ἑκάστην τῶν ΑΔ, ΕΒ (Ι.30 καὶ 31), διὰ δὲ τοῦ Η ἂς ἀχθῇ ἡ ΘΚ παράλληλος πρὸς ἑκάστην τῶν ΑΒ, ΔΕ. Καὶ ἐπειδὴ ἡ ΓΖ εἶναι παράλληλος πρὸς τὴν ΑΔ, καὶ τέμνονται αὗται ὑπὸ τῆς ΒΔ, ἡ ἐκτὸς γωνία ἡ ΓΗΒ εἶναι ἴση πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι τὴν ΑΔΒ (Ι.29). Ἀλλὰ ἡ ΑΔΒ εἶναι ἴση πρὸς τὴν ΑΒΔ, ἐπειδὴ καὶ ἡ πλευρὰ ΒΑ εἶναι ἴση πρὸς τὴν ΑΔ (Ι.5)· ἄρα καὶ ἡ γωνία ΓΗΒ εἶναι ἴση πρὸς τὴν ΗΒΓ· ὥστε καὶ ἡ πλευρὰ ΒΓ εἶναι ἴση πρὸς τὴν πλευρὰν ΓΗ (Ι.6). ἀλλ' ἡ μὲν ΓΒ εἶναι ἴση πρὸς τὴν ΗΚ (Ι.34), ἡ δὲ ΓΗ πρὸς τὴν ΚΒ· ἄρα καὶ ἡ ΗΚ εἶναι ἴση πρὸς τὴν ΚΒ· ἄρα τὸ σχῆμα ΓΗΚΒ εἶναι ἰσόπλευρον. Λέγω, ὅτι εἶναι καὶ ὀρθογώνιον. Διότι, ἐπειδὴ ἡ ΓΗ εἶναι παράλληλος πρὸς τὴν ΒΚ [καὶ αὗται τέμνονται ὑπὸ τῆς ΓΒ], αἱ γωνίαι ΚΒΓ, ΗΓΒ ἰσοῦνται μὲ δύο ὀρθάς (Ι.29). Εἶναι δὲ ὀρθὴ ἡ γωνία ΚΒΓ· ἄρα καὶ ἡ ΒΓΗ εἶναι ὀρθή· ὥστε καὶ αἱ ἀπέναντι γωνίαι αἱ ΓΗΚ, ΗΚΒ εἶναι ὀρθαί (1.34). Ἄρα τὸ σχῆμα ΓΗΚΒ εἶναι ὀρθογώνιον· ἐδείχθη δὲ καὶ ἰσόπλευρον· ἄρα εἶναι τετράγωνον· καὶ εἶναι τὸ τετράγωνον τῆς ΓΒ. Διὰ τοὺς αὐτοὺς λόγους τὸ ΘΖ εἶναι τετράγωνον· καὶ εἶναι τὸ τετράγωνον τῆς ΘΗ, δηλ. τῆς ΑΓ (Ι.34)· ἄρα τὰ τετράγωνα ΘΖ, ΚΓ εἶναι τὰ τετράγωνα τῶν ΑΓ, ΓΒ. Καὶ ἐπειδὴ τὸ ΑΗ εἶναι ἴσον πρὸς τὸ ΗΕ (Ι.43) καὶ εἶναι τὸ ΑΗ τὸ ὀρθογώνιον ΑΓ, ΓΒ· διότι ἡ ΗΓ εἶναι ἴση πρὸς τὴν ΓΒ· ἄρα καὶ τὸ ΗΕ εἶναι ἴσον πρὸς τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ· ἄρα τὰ ΑΗ, ΗΕ ἰσοῦνται πρὸς τὸ διπλάσιον τοῦ ὑπὸ τῶν ΑΓ, ΓΒ. Εἶναι δὲ καὶ τὰ τετράγωνα ΘΖ, ΓΚ, τὰ τετράγωνα τῶν ΑΓ, ΓΒ· ἄρα τὰ τέσσαρα ΘΖ, ΓΚ, ΑΗ, ΗΕ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΑΓ, ΓΒ καὶ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΓ, ΓΒ. Ἀλλὰ τὰ ΘΖ, ΓΚ, ΑΗ, ΗΕ εἶναι ὅλον τὸ ΑΔΕΒ, τὸ ὁποῖον εἶναι τὸ τετράγωνον τῆς ΑΒ· ἄρα τὸ τετράγωνον τῆς ΑΒ εἶναι ἴσον πρὸς τὰ τετράγωνα τῶν ΑΓ, ΓΒ καὶ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΓ, ΓΒ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ τετράγωνον τῆς ὅλης εὐθείας εἶναι ἴσον πρὸς τὰ τετράγωνα τῶν τμημάτων καὶ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν τμημάτων· ὅπερ ἔδει δεῖξαι.

[**Πόρισμα.**

Ἐκ τούτου εἶναι φανερόν, ὅτι εἰς τὰς τετραγώνους ἐπιφανείας τὰ περὶ τὴν διαγώνιον παραλληλόγραμμα εἶναι τετράγωνα].

ε'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὸ ὑπὸ τῶν ἀνίσων τῆς ὅλης τμημάτων περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς μεταξὺ τῶν τομῶν τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἡμισείας τετραγώνῳ.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω εἰς μὲν ἴσα κατὰ τὸ Γ, εἰς δὲ ἄνισα κατὰ τὸ Δ· λέγω, ὅτι τὸ ὑπὸ τῶν ΑΔ, ΔΒ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΓΔ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΒ τετραγώνῳ.



Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΓΒ τετράγωνον τὸ ΓΕΖΒ, καὶ ἐπεζεύχθω ἡ ΒΕ, καὶ διὰ μὲν τοῦ Δ ὁποτέρᾳ τῶν ΓΕ, ΒΖ παράλληλος ἤχθω ἡ ΔΗ, διὰ δὲ τοῦ Θ ὁποτέρᾳ τῶν ΑΒ, ΕΖ παράλληλος πάλιν ἤχθω ἡ ΚΜ, καὶ πάλιν διὰ τοῦ Α ὁποτέρᾳ τῶν ΓΛ, ΒΜ παράλληλος ἤχθω ἡ ΑΚ· καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΓΘ παραπλήρωμα τῷ ΘΖ παραπληρώματι, κοινὸν προσκείσθω τὸ ΔΜ· ὅλον ἄρα τὸ ΓΜ ὅλῳ τῷ ΔΖ ἴσον ἐστίν. ἀλλὰ τὸ ΓΜ τῷ ΑΛ ἴσον ἐστίν, ἐπεὶ καὶ ἡ ΑΓ τῇ ΓΒ ἐστιν ἴση· καὶ τὸ ΑΛ ἄρα τῷ ΔΖ ἴσον ἐστίν. κοινὸν προσκείσθω τὸ ΓΘ· ὅλον ἄρα τὸ ΑΘ τῷ ΜΝΞ γνώμονι ἴσον ἐστίν. ἀλλὰ τὸ ΑΘ τὸ ὑπὸ τῶν ΑΔ, ΔΒ ἐστιν· ἴση γὰρ ἡ ΔΘ τῇ ΔΒ· καὶ ὁ ΜΝΞ ἄρα γνώμων ἴσος ἐστὶ τῷ ὑπὸ ΑΔ, ΔΒ. κοινὸν προσκείσθω τὸ ΛΗ, ὅ ἐστιν ἴσον τῷ ἀπὸ τῆς ΓΔ· ὁ ἄρα ΜΝΞ γνώμων καὶ τὸ ΛΗ ἴσα ἐστὶ τῷ ὑπὸ τῶν ΑΔ, ΔΒ περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ. ἀλλὰ ὁ ΜΝΞ γνώμων καὶ τὸ ΛΗ ὅλον ἐστὶ τὸ ΓΕΖΒ τετράγωνον, ὅ ἐστιν ἀπὸ τῆς ΓΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΒ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΓΔ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΒ τετραγώνῳ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὸ ὑπὸ τῶν ἀνίσων τῆς ὅλης τμημάτων περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς μεταξὺ τῶν τομῶν τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἡμισείας τετραγώνῳ· ὅπερ ἔδει δεῖξαι.

ς'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ δίχα, προστεθῇ δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας, τὸ ὑπὸ τῆς ὅλης σὺν τῇ προσκειμένῃ καὶ τῆς προσκειμένης περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ἡμισείας τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς συγκειμένης ἔκ τε τῆς ἡμισείας καὶ τῆς προσκειμένης τετραγώνῳ.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω δίχα κατὰ τὸ Γ σημεῖον, προσκείσθω δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας ἡ ΒΔ· λέγω, ὅτι τὸ ὑπὸ τῶν ΑΔ, ΔΒ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΓΒ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ.

5.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ἀνίσων τμημάτων τῆς ὅλης εὐθείας μὲ τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὸ μεταξὺ τῶν τομῶν τμῆμα εἶναι ἴσα πρὸς τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὸ ἥμισυ τῆς τμηθείσης εὐθείας.

Διότι, ἂς τμηθῇ ἡ εὐθεῖα ΑΒ εἰς ἴσα μὲν μέρη κατὰ τὸ Γ, εἰς ἄνισα δὲ κατὰ τὸ Δ· λέγω, ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΒ μὲ τὸ τετράγωνον τῆς ΓΔ, ἰσοῦνται μὲ τὸ τετράγωνον τῆς ΓΒ.

Διότι ἂς ἀναγραφῇ ἀπὸ τῆς ΓΒ τὸ τετράγωνον ΓΕΖΘ (Ι.46) καὶ ἂς ἀχθῇ ἡ ΒΕ, καὶ διὰ μὲν τοῦ Δ ἂς ἀχθῇ ἡ ΔΗ παράλληλος πρὸς ἑκάστην τῶν ΓΕ, ΒΖ, διὰ δὲ τοῦ Θ ἂς ἀχθῇ ἡ ΚΜ παράλληλος πάλιν πρὸς ἑκάστην τῶν ΑΒ, ΕΖ (Ι.30 καὶ 31) καὶ πάλιν διὰ τοῦ Α ἂς ἀχθῇ ἡ ΑΚ παράλληλος πρὸς ἑκάστην τῶν ΓΛ, ΒΜ. Καὶ ἐπειδὴ τὸ παραπλήρωμα ΓΘ εἶναι ἴσον πρὸς τὸ παραπλήρωμα ΘΖ (Ι.43), ἂς προστεθῇ εἰς ἕκαστον τούτων τὸ ΔΜ· ἄρα ὅλον τὸ ΓΜ εἶναι ἴσον πρὸς ὅλον τὸ ΔΖ. Ἀλλὰ τὸ ΓΜ εἶναι ἴσον πρὸς τὸ ΑΛ, ἐπειδὴ καὶ ἡ ΑΓ εἶναι ἴση πρὸς τὴν ΓΒ· ἄρα καὶ τὸ ΑΛ εἶναι ἴσον πρὸς τὸ ΔΖ. Ἂς προστεθῇ εἰς ἕκαστον τούτων τὸ κοινὸν ΓΘ· ἄρα ὅλον τὸ ΑΘ εἶναι ἴσον πρὸς τὸν γνώμονα ΜΝΞ (εἰς τὴν ἔκδοσιν Gregorio ἀντὶ τοῦ Μ εἶναι τὸ Ο· ὁ γνώμων δηλοῦται ὑπὸ τοῦ τόξου, ἤτοι εἶναι ΘΛΓΒΖΗΘ). Ἀλλὰ τὸ ΑΘ εἶναι τὸ ὀρθογώνιον τῶν ΑΔ, ΔΒ· διότι ἡ ΔΘ εἶναι ἴση πρὸς τὴν ΔΒ· ἄρα ὁ γνώμων ΜΝΞ εἶναι ἴσος πρὸς τὸ ὀρθογώνιον ΑΔ, ΔΒ. Ἂς προστεθῇ εἰς ἕκαστον τούτων τὸ κοινὸν ΛΗ, τὸ ὁποῖον εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΓΔ· ἄρα ὁ γνώμων ΜΝΞ καὶ τὸ τετράγωνον ΛΗ ἰσοῦνται πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΒ καὶ τὸ τετράγωνον τῆς ΓΔ. Ἀλλὰ ὁ γνώμων ΜΝΞ καὶ τὸ τετράγωνον ΛΗ, ἀποτελοῦν ὅλον τὸ τετράγωνον ΓΕΖΒ, τὸ ὁποῖον εἶναι τὸ τετράγωνον τῆς ΓΒ· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΒ μὲ τὸ τετράγωνον τῆς ΓΔ ἰσοῦνται πρὸς τὸ τετράγωνον τῆς ΓΒ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ἀνίσων τμημάτων τῆς ὅλης εὐθείας, μὲ τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὸ τμῆμα μεταξὺ τῶν τομῶν ἰσοῦνται πρὸς τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὸ ἥμισυ τῆς τμηθείσης εὐθείας· ὅπερ ἔδει δεῖξαι.

6.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς τὸ μέσον, προστεθῇ δὲ εἰς τὴν προέκτασιν αὐτῆς εὐθεῖά τις, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῆς ὅλης καὶ τῆς προστεθείσης, καὶ τῆς προστεθείσης, μὲ τὸ τετράγωνον τοῦ ἡμίσεος τῆς εὐθείας, εἶναι ἴσον μὲ τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὸ ἥμισυ τῆς εὐθείας καὶ τὴν προστεθεῖσαν.

Διότι, ἂς τμηθῇ εἰς τὸ μέσον κατὰ τὸ σημεῖον Γ εὐθεῖά τις ἡ ΑΒ, καὶ ἂς προστεθῇ κατὰ τὴν προέκτασιν αὐτῆς ἡ εὐθεῖα ΒΔ· λέγω, ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΒ μὲ τὸ τετράγωνον τῆς ΓΒ ἰσοῦνται μὲ τὸ τετράγωνον τῆς ΓΔ.



'Αναγεγράφθω γὰρ ἀπὸ τῆς ΓΔ τετράγωνον τὸ ΓΕΖΔ, καὶ ἐπεζεύχθω ἡ ΔΕ, καὶ διὰ μὲν τοῦ Β σημείου ὁποτέρᾳ τῶν ΕΓ, ΔΖ παράλληλος ἤχθω ἡ ΒΗ, διὰ δὲ τοῦ Θ σημείου ὁποτέρᾳ τῶν ΑΒ, ΕΖ παράλληλος ἤχθω ἡ ΚΜ, καὶ ἔτι διὰ τοῦ Α ὁποτέρᾳ τῶν ΓΛ, ΔΜ παράλληλος ἤχθω ἡ ΑΚ.

'Επεὶ οὖν ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΒ, ἴσον ἐστὶ καὶ τὸ ΑΛ τῷ ΓΘ. ἀλλὰ τὸ ΓΘ τῷ ΘΖ ἴσον ἐστίν. καὶ τὸ ΑΛ ἄρα τῷ ΘΖ ἐστιν ἴσον. κοινὸν προσκείσθω τὸ ΓΜ· ὅλον ἄρα τὸ ΑΜ τῷ ΝΞΟ γνώμονί ἐστιν ἴσον. ἀλλὰ τὸ ΑΜ ἐστι τὸ ὑπὸ τῶν ΑΔ, ΔΒ· ἴση γάρ ἐστιν ἡ ΔΜ τῇ ΔΒ· καὶ ὁ ΝΞΟ ἄρα γνώμων ἴσος ἐστὶ τῷ ὑπὸ τῶν ΑΔ, ΔΒ [περιεχομένῳ ὀρθογωνίῳ]. κοινὸν προσκείσθω τὸ ΛΗ, ὅ ἐστιν ἴσον τῷ ἀπὸ τῆς ΒΓ τετραγώνῳ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΒ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΓΒ τετραγώνου ἴσον ἐστὶ τῷ ΝΞΟ γνώμονι καὶ τῷ ΛΗ. ἀλλὰ ὁ ΝΞΟ γνώμων καὶ τὸ ΛΗ ὅλον ἐστὶ τὸ ΓΕΖΔ τετράγωνον, ὅ ἐστιν ἀπὸ τῆς ΓΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΒ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΓΒ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ.

'Εὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ δίχα, προστεθῇ δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας, τὸ ὑπὸ τῆς ὅλης σὺν τῇ προσκειμένῃ καὶ τῆς προσκειμένης περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ἡμισείας τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς συγκειμένης ἔκ τε τῆς ἡμισείας καὶ τῆς προσκειμένης τετραγώνῳ· ὅπερ ἔδει δεῖξαι.

ζ'.

'Εὰν εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ ἀπὸ τῆς ὅλης καὶ τὸ ἀφ' ἑνὸς τῶν τμημάτων τὰ συναμφότερα τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῆς ὅλης καὶ τοῦ εἰρημένου τμήματος περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τοῦ λοιποῦ τμήματος τετραγώνῳ.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω, ὡς ἔτυχεν, κατὰ τὸ Γ σημεῖον· λέγω, ὅτι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τῆς ΓΑ τετραγώνῳ.

'Αναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔΕΒ· καὶ καταγεγράφθω τὸ σχῆμα.

'Επεὶ οὖν ἴσον ἐστὶ τὸ ΑΗ τῷ ΗΕ, κοινὸν προσκείσθω τὸ ΓΖ· ὅλον ἄρα τὸ ΑΖ ὅλῳ τῷ ΓΕ ἴσον ἐστίν· τὰ ἄρα ΑΖ, ΓΕ διπλάσιά ἐστι τοῦ ΑΖ. ἀλλὰ τὰ ΑΖ, ΓΕ ὁ ΚΛΜ ἐστι γνώμων καὶ τὸ ΓΖ τετράγωνον· ὁ ΚΛΜ ἄρα γνώμων καὶ τὸ ΓΖ διπλάσιά ἐστι τοῦ ΑΖ. ἔστι δὲ τοῦ ΑΖ διπλάσιον καὶ τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· ἴση γὰρ ἡ ΒΖ τῇ ΒΓ· ὁ ἄρα ΚΛΜ γνώμων καὶ τὸ ΓΖ τετράγωνον ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ. κοινὸν προσ-



Διότι, ἂς ἀναγραφῇ τὸ τετράγωνον τῆς ΓΔ τὸ ΓΕΖΔ, καὶ ἂς ἀχθῇ ἡ ΔΕ, καὶ διὰ μὲν τοῦ σημείου Β ἂς ἀχθῇ ἡ ΒΗ παράλληλος πρὸς ἑκάστην τῶν ΕΓ, ΔΖ, διὰ δὲ τοῦ σημείου Θ ἂς ἀχθῇ ἡ ΚΜ παράλληλος πρὸς ἑκάστην τῶν ΑΒ, ΕΖ, καὶ ἀκόμη διὰ τοῦ Α ἂς ἀχθῇ ἡ ΑΚ παράλληλος πρὸς ἑκάστηντῶν ΓΛ, ΔΜ.

Ἐπειδὴ λοιπὸν ἡ ΑΓ εἶναι ἴση πρὸς τὴν ΓΒ, εἶναι ἴσον καὶ τὸ ΑΛ πρὸς τὸ ΓΘ. Ἀλλὰ τὸ ΓΘ εἶναι ἴσον πρὸς τὸ ΘΖ. Ἄρα καὶ τὸ ΑΛ εἶναι ἴσον πρὸς τὸ ΘΖ. Ἂς προστεθῇ εἰς ἕκαστον τούτων τὸ κοινὸν ΓΜ· ἄρα ὅλον τὸ ΑΜ εἶναι ἴσον πρὸς τὸν γνώμονα ΝΞΟ. Ἀλλὰ τὸ ΑΜ εἶναι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΒ· διότι ἡ ΔΜ εἶναι ἴση πρὸς τὴν ΔΒ· ἄρα καὶ ὁ γνώμων ΝΞΟ εἶναι ἴσος πρὸς τὸ [περιεχόμενον ὀρθογώνιον] ὑπὸ τῶν ΑΔ, ΔΒ. Ἂς προστεθῇ εἰς ἕκαστον τούτων τὸ κοινὸν ΛΗ, τὸ ὁποῖον εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΒΓ· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΒ μὲ τὸ τετράγωνον τῆς ΓΒ εἶναι ἴσον μὲ τὸν γνώμονα ΝΞΟ καὶ τὸ ΛΗ. Ἀλλὰ ὁ γνώμων ΝΞΟ καὶ τὸ ΛΗ εἶναι ὅλον τὸ τετράγωνον ΓΕΖΔ, τὸ ὁποῖον εἶναι τὸ τετράγωνον τῆς ΓΔ· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΒ μὲ τὸ τετράγωνον τῆς ΓΒ εἶναι ἴσον μὲ τὸ τετράγωνον τῆς ΓΔ.

Ἐὰν ἄρα εὐθεῖα τμηθῇ εἰς τὸ μέσον, προστεθῇ δὲ εἰς τὴν προέκτασιν αὐτῆς εὐθεῖά τις, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῆς ὅλης καὶ τῆς προστεθείσης, καὶ τῆς προστεθείσης, μὲ τὸ τετράγωνον τοῦ ἡμίσεος τῆς εὐθείας, εἶναι ἴσον μὲ τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὸ ἥμισυ τῆς εὐθείας καὶ τὴν προστεθεῖσαν· ὅπερ ἔδει δεῖξαι.

7.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ τετράγωνον τῆς ὅλης εὐθείας μὲ τὸ τετράγωνον ἑνὸς τῶν τμημάτων της, εἶναι ἴσα πρὸς τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῆς ὅλης εὐθείας καὶ τοῦ εἰρημένου τμήματος σὺν τὸ τετράγωνον τοῦ ἄλλου τμήματος.

Διότι, ἂς τμηθῇ εὐθεῖά τις ἡ ΑΒ, ὡς ἔτυχεν, κατὰ τὸ σημεῖον Γ· λέγω, ὅτι τὰ τετράγωνα τῶν ΑΒ, ΒΓ εἶναι ἴσα πρὸς τὸ διπλάσιον ὀρθογώνιον τὸ ἔχον πλευρὰς τὰς ΑΒ, ΒΓ σὺν τὸ τετράγωνον τῆς ΓΑ.

Διότι, ἂς ἀναγραφῇ τὸ τετράγωνον τῆς ΑΒ τὸ ΑΔΕΒ· καὶ ἂς καταγραφῇ τὸ σχῆμα (ν' ἀχθῇ δηλ. ἡ διαγώνιος ΒΔ, ἡ παράλληλος ΓΝ καὶ ἡ παράλληλος ΘΖ).

Ἐπειδὴ λοιπὸν τὸ ὀρθογώνιον ΑΗ εἶναι ἴσον πρὸς τὸ ὀρθογ. ΗΕ (Ι.43), ἂς προστεθῇ εἰς ἕκαστον τούτων τὸ ΓΖ· ἄρα ὁλόκληρον τὸ ΑΖ εἶναι ἴσον πρὸς ὁλόκληρον τὸ ΓΕ· ἄρα τὰ ὀρθογώνια ΑΖ, ΓΕ εἶναι διπλάσια τοῦ ὀρθογ. ΑΖ. Ἀλλὰ τὰ ΑΖ, ΓΕ ἀποτελοῦνται ἀπὸ τὸν γνώμονα ΚΛΜ καὶ ἀπὸ τὸ τετράγωνον ΓΖ· ἄρα ὁ γνώμων ΚΛΜ καὶ τὸ ΓΖ εἶναι διπλάσια τοῦ ΑΖ. Εἶναι δὲ διπλάσιον τοῦ ΑΖ καὶ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν πλευρῶν ΑΒ, ΒΓ· διότι ἡ ΒΖ εἶναι ἴση πρὸς τὴν ΒΓ· ἄρα ὁ γνώμων ΚΛΜ καὶ τὸ τετράγωνον ΓΖ εἶναι ἴσα πρὸς τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν πλευρῶν κείσθω τὸ ΔΗ, ὅ ἐστιν ἀπὸ τῆς ΑΓ τετράγωνον· ὁ ἄρα ΚΛΜ γνώμων καὶ τὰ ΒΗ, ΗΔ τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τῆς ΑΓ τετραγώνῳ. ἀλλὰ ὁ ΚΛΜ γνώμων καὶ τὰ ΒΗ, ΗΔ τετράγωνα ὅλον ἐστὶ τὸ ΑΔΕΒ καὶ τὸ ΓΖ, ἅ ἐστιν ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα· τὰ ἄρα ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα ἴσα ἐστὶ τῷ [τε] δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχομένῳ ὀρθογωνίῳ μετὰ τοῦ ἀπὸ τῆς ΑΓ τετραγώνου.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ ἀπὸ τῆς ὅλης καὶ τὸ ἀφ' ἑνὸς τῶν τμημάτων τὰ συναμφότερα τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῆς ὅλης καὶ τοῦ εἰρημένου τμήματος περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τοῦ λοιποῦ τμήματος τετραγώνῳ· ὅπερ ἔδει δεῖξαι.

η'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ τετράκις ὑπὸ τῆς ὅλης καὶ ἑνὸς τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τοῦ λοιποῦ τμήματος τετραγώνου ἴσον ἐστὶ τῷ ἀπό τε τῆς ὅλης καὶ τοῦ εἰρημένου τμήματος ὡς ἀπὸ μιᾶς ἀναγραφέντι τετραγώνῳ.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω, ὡς ἔτυχεν, κατὰ τὸ Γ σημεῖον· λέγω, ὅτι τὸ τετράκις ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΑΓ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ, ΒΓ ὡς ἀπὸ μιᾶς ἀναγραφέντι τετραγώνῳ.



Ἐκβεβλήσθω γὰρ ἐπ' εὐθείας [τῇ ΑΒ εὐθεῖα] ἡ ΒΔ, καὶ κείσθω τῇ ΓΒ ἴση ἡ ΒΔ, καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΑΔ τετράγωνον τὸ ΑΕΖΔ, καὶ καταγεγράφθω διπλοῦν τὸ σχῆμα.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΓΒ τῇ ΒΔ, ἀλλὰ ἡ μὲν ΓΒ τῇ ΗΚ ἐστιν ἴση, ἡ δὲ ΒΔ τῇ ΚΝ, καὶ ἡ ΗΚ ἄρα τῇ ΚΝ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΠΡ τῇ ΡΟ ἐστιν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ τῇ ΒΔ, ἡ δὲ ΗΚ τῇ ΚΝ, ἴσον ἄρα ἐστὶ καὶ τὸ μὲν ΓΚ τῷ ΚΔ, τὸ δὲ ΗΡ τῷ ΡΝ. ἀλλὰ τὸ ΓΚ τῷ ΡΝ ἐστιν ἴσον· παραπληρώματα γὰρ τοῦ ΓΟ παραλληλογράμμου· καὶ τὸ ΚΔ ἄρα τῷ ΗΡ ἴσον ἐστίν· τὰ τέσσαρα ἄρα τὰ ΔΚ, ΓΚ, ΗΡ, ΡΝ ἴσα ἀλλήλοις ἐστίν. τὰ τέσσαρα ἄρα τετραπλάσιά ἐστι τοῦ ΓΚ. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ΓΒ τῇ ΒΔ, ἀλλὰ ἡ μὲν ΒΔ τῇ ΒΚ, τουτέστι τῇ ΓΗ ἴση, ἡ δὲ ΓΒ τῇ ΗΚ, τουτέστι τῇ ΗΠ, ἐστὶν ἴση, καὶ ἡ ΓΗ ἄρα τῇ ΗΠ ἴση ἐστίν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΓΗ τῇ ΗΠ, ἡ δὲ ΠΡ τῇ ΡΟ, ἴσον ἐστὶ καὶ τὸ μὲν ΑΗ τῷ ΜΠ, τὸ δὲ ΠΛ τῷ ΡΖ. ἀλλὰ τὸ ΜΠ τῷ ΠΛ ἐστιν ἴσον· παραπληρώματα γὰρ τοῦ ΜΛ παραλληλογράμμου· καὶ τὸ ΑΗ ἄρα τῷ ΡΖ ἴσον

ΑΒ, ΒΓ. Ἂς προστεθῇ εἰς ἕκαστον τούτων τὸ ΔΗ, τὸ ὁποῖον εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΑΓ· ἄρα ὁ γνώμων ΚΛΜ καὶ τὰ τετράγωνα ΒΗ, ΗΔ εἶναι ἴσα πρὸς τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν πλευρῶν ΑΒ, ΒΓ καὶ τὸ τετράγωνον τῆς ΑΓ. Ἀλλὰ ὁ γνώμων ΚΛΜ καὶ τὰ τετράγωνα ΒΗ, ΗΔ εἶναι ἴσα πρὸς ὁλόκληρον τὸ τετράγωνον ΑΔΕΒ καὶ τὸ τετράγωνον ΓΖ, τὰ ὁποῖα εἶναι τὰ τετράγωνα τῶν ΑΒ, ΒΓ· ἄρα τὰ τετράγωνα τῶν ΑΒ, ΒΓ εἶναι ἴσα πρὸς τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν πλευρῶν ΑΒ, ΒΓ σὺν τὸ τετράγωνον τῆς ΑΓ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ τετράγωνον τῆς ὅλης εὐθείας μὲ τὸ τετράγωνον ἑνὸς τῶν τμημάτων της εἶναι ἴσα πρὸς τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῆς ὅλης εὐθείας καὶ τοῦ εἰρημένου τμήματος σὺν τὸ τετράγωνον τοῦ ἄλλου τμήματος· ὅπερ ἔδει δεῖξαι.

8.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ τετραπλάσιον τοῦ ὀρθογωνίου τὸ ὁποῖον περιέχεται ὑπὸ τῆς ὅλης εὐθείας καὶ ἑνὸς τῶν τμημάτων της καὶ τὸ τετράγωνον τοῦ ἄλλου τμήματος εἶναι ἴσα πρὸς τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὴν ὅλην εὐθεῖαν καὶ τὸ εἰρημένον τμῆμα.

Διότι, ἂς τμηθῇ εὐθεῖά τις ἡ ΑΒ, ὡς ἔτυχεν, κατὰ τὸ σημεῖον Γ· λέγω, ὅτι τὸ τετραπλάσιον τοῦ ὀρθογωνίου τὸ ὁποῖον περιέχεται ὑπὸ τῶν πλευρῶν ΑΒ, ΒΓ μετὰ τοῦ τετραγώνου τῆς ΑΓ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὸ ἄθροισμα τῶν εὐθειῶν ΑΒ, ΒΓ.

Διότι, ἂς ληφθῇ ἐπὶ τῆς προεκτάσεως τῆς εὐθείας ΑΒ, ἡ εὐθεῖα ΒΔ καὶ ἂς ληφθῇ ἡ ΒΔ ἴση πρὸς τὴν ΓΒ, καὶ ἂς ἀναγραφῇ τὸ τετράγωνον τῆς ΑΔ τὸ ΑΕΖΔ, καὶ ἂς καταγραφῇ τὸ σχῆμα διπλοῦν (ἁπλοῦν σχῆμα εἶναι τὸ τοῦ προηγουμένου θεωρήματος. Ἐνταῦθα μετὰ τὴν διαγώνιον ΔΕ, φέρονται ἀνὰ δύο παράλληλοι, αἱ ΓΘ, ΒΛ καὶ αἱ ΜΝ, ΞΟ· τοῦτο ἐννοεῖ ἡ φράσις διπλοῦν σχῆμα).

Ἐπειδὴ λοιπὸν ἡ ΓΒ εἶναι ἴση πρὸς τὴν ΒΔ, ἀλλὰ ἡ μὲν ΓΒ εἶναι ἴση πρὸς τὴν ΗΚ, ἡ δὲ ΒΔ ἴση πρὸς τὴν ΚΝ, ἕπεται, ὅτι καὶ ἡ ΗΚ εἶναι ἴση πρὸς τὴν ΚΝ. Διὰ τὸν αὐτὸν λόγον ἡ ΠΡ εἶναι ἴση πρὸς τὴν ΡΟ. Καὶ ἐπειδὴ ἡ ΒΓ εἶναι ἴση πρὸς τὴν ΒΔ, ἡ δὲ ΗΚ πρὸς τὴν ΚΝ, ἕπεται, ὅτι τὸ μὲν ΓΚ εἶναι ἴσον πρὸς τὸ ΚΔ, τὸ δὲ ΗΡ πρὸς τὸ ΡΝ. Ἀλλὰ τὸ ΓΚ εἶναι ἴσον πρὸς τὸ ΡΝ· διότι εἶναι παραπληρώματα τοῦ παραλληλογράμμου ΓΟ (I.43)· ἄρα καὶ τὸ ΚΔ εἶναι ἴσον πρὸς τὸ ΗΡ· ἄρα τὰ τέσσαρα τὰ ΔΚ, ΓΚ, ΗΡ, ΡΝ εἶναι ἴσα μεταξύ των. Ἄρα τὰ τέσσαρα εἶναι τετραπλάσια τοῦ ΓΚ. Πάλιν, ἐπειδὴ ἡ ΓΒ εἶναι ἴση πρὸς τὴν ΒΔ, ἀλλὰ ἡ μὲν ΒΔ ἴση πρὸς τὴν ΒΚ, δηλ. τὴν ΓΗ, ἡ δὲ ΓΒ ἴση πρὸς τὴν ΗΚ, δηλ. τὴν ΗΠ, ἕπεται, ὅτι καὶ ἡ ΓΗ εἶναι ἴση πρὸς τὴν ΗΠ. Καὶ ἐπειδὴ ἡ μὲν ΓΗ εἶναι ἴση πρὸς τὴν ΗΠ ἡ δὲ ΠΡ ἴση πρὸς τὴν ΡΟ, εἶναι ἴσον καὶ τὸ μὲν ΑΗ πρὸς τὸ ΜΠ (I.36), τὸ δὲ ΠΛ πρὸς τὸ ΡΖ. Ἀλλὰ τὸ ΜΠ εἶναι ἴσον πρὸς τὸ ΠΛ· διότι εἶναι παραπληρώματα τοῦ παραλληλογράμμου ΜΛ (I.43)· ἄρα ἐστίν· τὰ τέσσαρα ἄρα τὰ ΑΗ, ΜΠ, ΠΛ, ΡΖ ἴσα ἀλλήλοις ἐστίν· τὰ τέσσαρα ἄρα τοῦ ΑΗ ἐστι τετραπλάσια. ἐδείχθη δὲ καὶ τὰ τέσσαρα τὰ ΓΚ, ΚΔ, ΗΡ, ΡΝ τοῦ ΓΚ, τετραπλάσια· τὰ ἄρα ὀκτώ, ἃ περιέχει τὸν ΣΤΥ γνώμονα, τετραπλάσιά ἐστι τοῦ ΑΚ. καὶ ἐπεὶ τὸ ΑΚ τὸ ὑπὸ τῶν ΑΒ, ΒΔ ἐστιν· ἴση γὰρ ἡ ΒΚ τῇ ΒΔ· τὸ ἄρα τετράκις ὑπὸ τῶν ΑΒ, ΒΔ τετραπλάσιόν ἐστι τοῦ ΑΚ. ἐδείχθη δὲ τοῦ ΑΚ τετραπλάσιος καὶ ὁ ΣΤΥ γνώμων· τὸ ἄρα τετράκις ὑπὸ τῶν ΑΒ, ΒΔ ἴσον ἐστὶ τῷ ΣΤΥ γνώμονι. κοινὸν προσκείσθω τὸ ΞΘ, ὅ ἐστιν ἴσον τῷ ἀπὸ τῆς ΑΓ τετραγώνῳ· τὸ ἄρα τετράκις ὑπὸ τῶν ΑΒ, ΒΔ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ ΑΓ τετραγώνου ἴσον ἐστὶ τῷ ΣΤΥ γνώμονι καὶ τῷ ΞΘ. ἀλλὰ ὁ ΣΤΥ γνώμων καὶ τὸ ΞΘ ὅλον ἐστὶ τὸ ΑΕΖΔ τετράγωνον, ὅ ἐστιν ἀπὸ τῆς ΑΔ· τὸ ἄρα τετράκις ὑπὸ τῶν ΑΒ, ΒΔ μετὰ τοῦ ἀπὸ ΑΓ ἴσον ἐστὶ τῷ ἀπὸ ΑΔ τετραγώνῳ· ἴση δὲ ἡ ΒΔ τῇ ΒΓ. τὸ ἄρα τετράκις ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ ΑΓ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΔ, τουτέστι τῷ ἀπὸ τῆς ΑΒ καὶ ΒΓ ὡς ἀπὸ μιᾶς ἀναγραφέντι τετραγώνῳ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ τετράκις ὑπὸ τῆς ὅλης καὶ ἑνὸς τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τοῦ λοιποῦ τμήματος τετραγώνου ἴσον ἐστὶ τῷ ἀπό τε τῆς ὅλης καὶ τοῦ εἰρημένου τμήματος ὡς ἀπὸ μιᾶς ἀναγραφέντι τετραγώνῳ· ὅπερ ἔδει δεῖξαι.

θ'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὰ ἀπὸ τῶν ἀνίσων τῆς ὅλης τμημάτων τετράγωνα διπλάσιά ἐστι τοῦ τε ἀπὸ τῆς ἡμισείας καὶ τοῦ ἀπὸ τῆς μεταξὺ τῶν τομῶν τετραγώνου.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω εἰς μὲν ἴσα κατὰ τὸ Γ, εἰς δὲ ἄνισα κατὰ τὸ Δ· λέγω, ὅτι τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τετράγωνα διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνων.



Ἤχθω γὰρ ἀπὸ τοῦ Γ τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΓΕ, καὶ κείσθω ἴση ἑκατέρᾳ τῶν ΑΓ, ΓΒ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΑ, ΕΒ, καὶ διὰ μὲν τοῦ Δ τῇ ΕΓ παράλληλος ἤχθω ἡ ΔΖ, διὰ δὲ τοῦ Ζ τῇ ΑΒ ἡ ΖΗ, καὶ ἐπεζεύχθω ἡ ΑΖ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΕ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΕΑΓ γωνία τῇ ὑπὸ ΑΕΓ. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ πρὸς τῷ Γ, λοιπαὶ ἄρα αἱ ὑπὸ ΕΑΓ, ΑΕΓ μιᾷ ὀρθῇ ἴσαι εἰσίν· καί εἰσιν ἴσαι· ἡμίσεια ἄρα ὀρθῆς ἐστιν ἑκατέρα τῶν ὑπὸ ΓΕΑ, ΓΑΕ. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ὑπὸ ΓΕΒ, καὶ τὸ ΑΗ εἶναι ἴσον πρὸς τὸ ΡΖ· ἄρα τὰ τέσσαρα τὰ ΑΗ, ΜΠ, ΠΛ, ΡΖ εἶναι ἴσα μεταξύ των· ἄρα τὰ τέσσαρα εἶναι τετραπλάσια τοῦ ΑΗ. Ἐδείχθη δέ, ὅτι καὶ τὰ τέσσαρα, τὰ ΓΚ, ΚΔ, ΗΡ, ΡΝ εἶναι τετραπλάσια τοῦ ΓΚ· ἄρα τὰ ὀκτὼ σχήματα τὰ ὁποῖα περιέχουν τὸν γνώμονα ΣΤΥ εἶναι τετραπλάσια τοῦ ΑΚ. Καὶ ἐπειδὴ τὸ ΑΚ εἶναι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΔ· διότι ἡ ΒΚ εἶναι ἴση πρὸς τὴν ΒΔ· ἄρα τὸ τετραπλάσιον τοῦ ὀρθογωνίου τοῦ περιεχομένου ὑπὸ τῶν ΑΒ, ΒΔ εἶναι τετραπλάσιον τοῦ ΑΚ. Ἐδείχθη δέ, ὅτι καὶ ὁ γνώμων ΣΤΥ εἶναι τετραπλάσιος τοῦ ΑΚ· ἄρα τὸ τετραπλάσιον τοῦ ὀρθογωνίου τοῦ περιεχομένου ὑπὸ τῶν ΑΒ, ΒΔ εἶναι ἴσον πρὸς τὸν γνώμονα ΣΤΥ. Ἂς προστεθῇ εἰς ἀμφότερα τὸ ΞΘ, τὸ ὁποῖον εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΑΓ· ἄρα τὸ τετραπλάσιον τοῦ ὀρθογωνίου τοῦ περιεχομένου ὑπὸ τῶν ΑΒ, ΒΔ μετὰ τοῦ τετραγώνου τῆς ΑΓ εἶναι ἴσον πρὸς τὸν γνώμονα ΣΤΥ καὶ τὸ ΞΘ. Ἀλλὰ ὁ γνώμων ΣΤΥ καὶ τὸ ΞΘ ἀποτελοῦν ὁλόκληρον τὸ τετράγωνον ΑΕΖΔ, τὸ ὁποῖον εἶναι τὸ τετράγωνον τῆς ΑΔ· ἄρα τὸ τετραπλάσιον τοῦ ὀρθογωνίου τῶν ΑΒ, ΒΔ μετὰ τοῦ τετραγώνου τῆς ΑΓ, εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΑΔ· εἶναι δὲ ἴση ἡ ΒΔ πρὸς τὴν ΒΓ. Ἄρα τὸ τετραπλάσιον τοῦ ὀρθογωνίου τοῦ περιεχομένου ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ τετραγώνου τῆς ΑΓ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΑΔ, δηλαδὴ πρὸς τὸ τετράγωνον πλευρᾶς ἀποτελουμένης ἐκ τοῦ ἀθροίσματος τῶν ΑΒ, ΒΓ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, ὡς ἔτυχεν, τὸ τετραπλάσιον τοῦ ὀρθογωνίου, τὸ ὁποῖον περιέχεται ὑπὸ τῆς ὅλης εὐθείας καὶ ἑνὸς τῶν τμημάτων της, μετὰ τοῦ τετραγώνου τοῦ ἄλλου τμήματος εἶναι ἴσον πρὸς τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὴν ὅλην εὐθεῖαν καὶ τὸ ἄλλο τμῆμα· ὅπερ ἔδει δεῖξαι.

9.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὰ τετράγωνα τῶν ἀνίσων τμημάτων ὅλης τῆς εὐθείας εἶναι διπλάσια τοῦ τετραγώνου τῆς ἡμισείας εὐθείας καὶ τοῦ τετραγώνου τοῦ ἔχοντος πλευρὰν τὸ μεταξὺ τῶν τομῶν τμῆμα.

Διότι, ἂς τμηθῇ ἡ εὐθεῖα ΑΒ εἰς ἴσα μὲν κατὰ τὸ σημεῖον Γ, εἰς ἄνισα δὲ κατὰ τὸ Δ· λέγω, ὅτι τὰ τετράγωνα τῶν ΑΔ, ΔΒ εἶναι διπλάσια τῶν τετραγώνων τῶν ΑΓ, ΓΔ.

Διότι, ἂς ἀχθῇ ἐκ τοῦ Γ κάθετος ἐπὶ τὴν ΑΒ ἡ ΓΕ (I.11) καὶ ἂς ληφθῇ αὕτη ἴση πρὸς ἑκάστην τῶν ΑΓ, ΓΒ καὶ ἂς ἀχθοῦν αἱ ΕΑ, ΕΒ, καὶ διὰ μὲν τοῦ Δ ἂς ἀχθῇ ἡ ΔΖ παράλληλος πρὸς τὴν ΕΓ, διὰ δὲ τοῦ Ζ ἡ ΖΗ παράλληλος πρὸς τὴν ΑΒ καὶ ἂς ἀχθῇ ἡ ΑΖ. Καὶ ἐπειδὴ ἡ ΑΓ εἶναι ἴση πρὸς τὴν ΓΕ, ἡ γωνία ΕΑΓ εἶναι ἴση πρὸς τὴν ΑΕΓ (I.5). Καὶ ἐπειδὴ ἡ παρὰ τὸ Γ γωνία εἶναι ὀρθή, ἔπεται, ὅτι αἱ λοιπαὶ γωνίαι, αἱ ΕΑΓ, ΑΕΓ ἰσοῦνται πρὸς μίαν ὀρθήν (I.32)· καὶ εἶναι αὗται ἴσαι· ἄρα ἑκάστη τῶν ΓΕΑ, ΓΑΕ ἰσοῦται πρὸς ἥμισυ ὀρθῆς. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἑκάστη τῶν ΓΕΒ, ΕΒΓ ἰσοῦται πρὸς ἥμισυ ὀρ-

ΕΒΓ ἡμίσειά ἐστιν ὀρθῆς· ὅλη ἄρα ἡ ὑπὸ ΑΕΒ ὀρθή ἐστιν. καὶ ἐπεὶ ἡ ὑπὸ ΗΕΖ ἡμίσειά ἐστιν ὀρθῆς, ὀρθὴ δὲ ἡ ὑπὸ ΕΗΖ· ἴση γάρ ἐστι τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΕΓΒ· λοιπὴ ἄρα ἡ ὑπὸ ΕΖΗ ἡμίσειά ἐστιν ὀρθῆς· ἴση ἄρα [ἐστὶν] ἡ ὑπὸ ΗΕΖ γωνία τῇ ὑπὸ ΕΖΗ· ὥστε καὶ πλευρὰ ἡ ΕΗ τῇ ΗΖ ἐστιν ἴση· πάλιν ἐπεὶ ἡ πρὸς τῷ Β γωνία ἡμίσειά ἐστιν ὀρθῆς, ὀρθὴ δὲ ἡ ὑπὸ ΖΔΒ· ἴση γὰρ πάλιν ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΕΓΒ· λοιπὴ ἄρα ἡ ὑπὸ ΒΖΔ ἡμίσειά ἐστιν ὀρθῆς· ἴση ἄρα ἡ πρὸς τῷ Β γωνία τῇ ὑπὸ ΔΖΒ· ὥστε καὶ πλευρὰ ἡ ΖΔ πλευρᾷ τῇ ΔΒ ἐστιν ἴση. Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΕ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ ΑΓ τῷ ἀπὸ ΓΕ· τὰ ἄρα ἀπὸ τῶν ΑΓ, ΓΕ τετράγωνα διπλάσιά ἐστι τοῦ ἀπὸ ΑΓ. τοῖς δὲ ἀπὸ τῶν ΑΓ, ΓΕ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΑ τετράγωνον· ὀρθὴ γὰρ ἡ ὑπὸ ΑΓΕ γωνία· τὸ ἄρα ἀπὸ τῆς ΕΑ διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΓ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΕΗ τῇ ΗΖ, ἴσον καὶ τὸ ἀπὸ τῆς ΕΗ τῷ ἀπὸ τῆς ΗΖ· τὰ ἄρα ἀπὸ τῶν ΕΗ, ΗΖ τετράγωνα διπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΗΖ τετραγώνου. τοῖς δὲ ἀπὸ τῶν ΕΗ, ΗΖ τετραγώνοις ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΖ τετράγωνον· τὸ ἄρα ἀπὸ τῆς ΕΖ τετράγωνον διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΗΖ. ἴση δὲ ἡ ΗΖ τῇ ΓΔ· τὸ ἄρα ἀπὸ τῆς ΕΖ διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΓΔ. ἔστι δὲ καὶ τὸ ἀπὸ τῆς ΕΑ διπλάσιον τοῦ ἀπὸ τῆς ΑΓ· τὰ ἄρα ἀπὸ τῶν ΑΕ, ΕΖ τετράγωνα διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνων. τοῖς δὲ ἀπὸ τῶν ΑΕ, ΕΖ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΑΖ τετράγωνον· ὀρθὴ γάρ ἐστιν ἡ ὑπὸ ΑΕΖ γωνία· τὸ ἄρα ἀπὸ τῆς ΑΖ τετράγωνον διπλάσιόν ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ· τῷ δὲ ἀπὸ τῆς ΑΖ ἴσα τὰ ἀπὸ τῶν ΑΔ, ΔΖ· ὀρθὴ γὰρ ἡ πρὸς τῷ Δ γωνία. τὰ ἄρα ἀπὸ τῶν ΑΔ, ΔΖ διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνων· ἴση δὲ ἡ ΔΖ τῇ ΔΒ· τὰ ἄρα ἀπὸ τῶν ΑΔ, ΔΒ τετράγωνα διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνων.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὰ ἀπὸ τῶν ἀνίσων τῆς ὅλης τμημάτων τετράγωνα διπλάσιά ἐστι τοῦ τε ἀπὸ τῆς ἡμισείας καὶ τοῦ ἀπὸ τῆς μεταξὺ τῶν τομῶν τετραγώνου· ὅπερ ἔδει δεῖξαι.

ι'

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ δίχα, προστεθῇ δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας, τὸ ἀπὸ τῆς ὅλης σὺν τῇ προσκειμένῃ καὶ τὸ ἀπὸ τῆς προσκειμένης τὰ συναμφότερα τετράγωνα διπλάσιά ἐστι τοῦ τε ἀπὸ τῆς ἡμισείας καὶ τοῦ ἀπὸ τῆς συγκειμένης ἔκ τε τῆς ἡμισείας καὶ τῆς προσκειμένης ὡς ἀπὸ μιᾶς ἀναγραφέντος τετραγώνου.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω δίχα κατὰ τὸ Γ, προσκείσθω δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας ἡ ΒΔ· λέγω, ὅτι τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τετράγωνα διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνων.

θῆς· ἄρα ὁλόκληρος ἡ ΑΕΒ ἰσοῦται πρὸς μίαν ὀρθήν. Καὶ ἐπειδὴ ἡ ΗΕΖ εἶναι ἥμισυ ὀρθῆς, ἡ δὲ ΕΗΖ εἶναι ὀρθή ·διότι εἶναι ἴση πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι, τὴν ΕΓΒ· ἄρα καὶ ἡ λοιπὴ ἡ ΕΖΗ εἶναι ἥμισυ ὀρθῆς· ἄρα ἡ γωνία ΗΕΖ εἶναι ἴση πρὸς τὴν ΕΖΗ· ὥστε καὶ ἡ πλευρὰ ΕΗ εἶναι ἴση πρὸς τὴν ΗΖ. Πάλιν, ἐπειδὴ ἡ παρὰ τὸ Β γωνία εἶναι ἥμισυ ὀρθῆς, ὀρθὴ δὲ ἡ ΖΔΒ· διότι πάλιν εἶναι αὕτη ἴση πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι, τὴν ΕΓΒ· ἄρα καὶ ἡ λοιπὴ ἡ ΒΖΔ εἶναι ἥμισυ ὀρθῆς· ἄρα ἡ παρὰ τὸ Β γωνία εἶναι ἴση πρὸς τὴν ΔΖΒ· ὥστε καὶ ἡ πλευρὰ ΖΔ εἶναι ἴση πρὸς τὴν πλευρὰν ΔΒ. Καὶ ἐπειδὴ ἡ ΑΓ εἶναι ἴση πρὸς τὴν ΓΕ, τὸ τετράγωνον τῆς ΑΓ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΓΕ· ἄρα τὰ τετράγωνα τῶν ΑΓ, ΓΕ εἶναι διπλάσια τοῦ τετραγώνου τῆς ΑΓ. Πρὸς δὲ τὰ τετράγωνα τῶν ΑΓ, ΓΕ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΕΑ· διότι ἡ γωνία ΑΓΕ εἶναι ὀρθή· ἄρα τὸ τετράγωνον τῆς ΕΑ εἶναι διπλάσιον τοῦ τετραγώνου τῆς ΑΓ. Πάλιν, ἐπειδὴ ἡ ΕΗ εἶναι ἴση πρὸς τὴν ΗΖ, καὶ τὸ τετράγωνον τῆς ΕΗ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΗΖ· ἄρα τὰ τετράγωνα τῶν ΕΗ, ΗΖ εἶναι διπλάσια τοῦ τετραγώνου τῆς ΗΖ. Πρὸς δὲ τὰ τετράγωνα τῶν ΕΗ, ΗΖ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΕΖ· ἄρα τὸ τετράγωνον τῆς ΕΖ εἶναι διπλάσιον τοῦ τετραγώνου τῆς ΗΖ. Εἶναι δὲ ἴση ἡ ΗΖ πρὸς τὴν ΓΔ· ἄρα τὸ τετράγωνον τῆς ΕΖ εἶναι διπλάσιον τοῦ τετραγώνου τῆς ΓΔ. Εἶναι δὲ καὶ τὸ τετράγωνον τῆς ΕΑ διπλάσιον τοῦ τετραγώνου τῆς ΑΓ· ἄρα τὰ τετράγωνα τῶν ΑΕ, ΕΖ εἶναι διπλάσια τῶν τετραγώνων τῶν ΑΓ, ΓΔ. Πρὸς δὲ τὰ τετράγωνα τῶν ΑΕ, ΕΖ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΑΖ· διότι ἡ γωνία ΑΕΖ εἶναι ὀρθή· ἄρα τὸ τετράγωνον τῆς ΑΖ εἶναι διπλάσιον τῶν τετραγώνων τῶν ΑΓ, ΓΔ. Πρὸς δὲ τὸ τετράγωνον τῆς ΑΖ εἶναι ἴσα τὰ τετράγωνα τῶν ΑΔ, ΔΖ· διότι ἡ παρὰ τὸ Δ γωνία εἶναι ὀρθή· ἄρα τὰ τετράγωνα τῶν ΑΔ, ΔΖ εἶναι διπλάσια τῶν τετραγώνων τῶν ΑΓ, ΓΔ. Εἶναι δὲ ἴση ἡ ΔΖ πρὸς τὴν ΔΒ· ἄρα τὰ τετράγωνα τῶν ΑΔ, ΔΒ εἶναι διπλάσια τῶν τετραγώνων τῶν ΑΓ, ΓΔ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὰ τετράγωνα τῶν ἀνίσων τμημάτων τῆς ὅλης εὐθείας εἶναι διπλάσια τοῦ τετραγώνου τῆς ἡμισείας εὐθείας καὶ τοῦ τετραγώνου τοῦ ἔχοντος πλευρὰν τὸ μεταξὺ τῶν τομῶν τμῆμα· ὅπερ ἔδει δεῖξαι.

10.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς τὸ μέσον, προστεθῇ δὲ εἰς τὴν προέκτασιν αὐτῆς εὐθεῖά τις, τὸ τετράγωνον τὸ ἔχον πλευρὰν ὅλην τὴν εὐθεῖαν καὶ τὴν προστεθεῖσαν, σὺν τὸ τετράγωνον τῆς προστεθείσης, εἶναι διπλάσια τοῦ τετραγώνου τῆς ἡμισείας (τῆς δοθείσης εὐθείας) σὺν τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὸ ἥμισυ τῆς δοθείσης σὺν τὴν προστεθεῖσαν εὐθεῖαν.

Διότι, εὐθεῖά τις, ἡ ΑΒ, ἂς τμηθῇ εἰς τὸ μέσον κατὰ τὸ Γ, ἂς ληφθῇ δὲ κατὰ τὴν προέκτασίν της ἡ εὐθεῖα ΒΔ· λέγω, ὅτι τὰ τετράγωνα τῶν ΑΔ, ΔΒ εἶναι διπλάσια τῶν τετραγώνων τῶν ΑΓ, ΓΔ.

Ἤχθω γὰρ ἀπὸ τοῦ Γ σημείου τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΓΕ, καὶ κείσθω ἴση ἑκατέρᾳ τῶν ΑΓ, ΓΒ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΑ, ΕΒ· καὶ διὰ μὲν τοῦ Ε τῇ ΑΔ παράλληλος ἤχθω ἡ ΕΖ, διὰ δὲ τοῦ Δ τῇ ΓΕ παράλληλος ἤχθω ἡ ΖΔ. καὶ ἐπεὶ εἰς παραλλήλους εὐθείας τὰς ΕΓ, ΖΔ εὐθεῖά τις ἐνέπεσεν ἡ ΕΖ, αἱ ὑπὸ ΓΕΖ, ΕΖΔ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἄρα ὑπὸ ΖΕΒ, ΕΖΔ δύο ὀρθῶν ἐλάσσονές εἰσιν· αἱ δὲ ἀπ' ἐλασσόνων ἢ δύο ὀρθῶν ἐκβαλλόμεναι συμπίπτουσιν· αἱ ἄρα ΕΒ, ΖΔ ἐκβαλλόμεναι ἐπὶ τὰ Β, Δ μέρη συμπεσοῦνται. ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΑΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΕ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΕΑΓ τῇ ὑπὸ ΑΕΓ· καὶ ὀρθὴ ἡ πρὸς τῷ Γ· ἡμίσεια ἄρα ὀρθῆς [ἐστιν] ἑκατέρα τῶν ὑπὸ ΕΑΓ, ΑΕΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ὑπὸ ΓΕΓ, ΕΒΓ ἡμίσειά ἐστιν ὀρθῆς· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΑΕΒ. καὶ ἐπεὶ ἡμίσεια ὀρθῆς ἐστιν ἡ ὑπὸ ΕΒΓ, ἡμίσεια ἄρα ὀρθῆς καὶ ἡ ὑπὸ ΔΒΗ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΔΗ ὀρθή· ἴση γάρ ἐστιν τῇ ὑπὸ ΔΓΕ· ἐναλλὰξ γάρ· λοιπὴ ἄρα ἡ ὑπὸ ΔΗΒ ἡμίσειά ἐστιν ὀρθῆς· ἡ ἄρα ὑπὸ ΔΗΒ τῇ ὑπὸ ΔΒΗ ἐστιν ἴση· ὥστε καὶ πλευρὰ ἡ ΒΔ πλευρᾷ τῇ ΗΔ ἐστιν ἴση. πάλιν, ἐπεὶ ἡ ὑπὸ ΕΗΖ ἡμίσειά ἐστιν ὀρθῆς, ὀρθὴ δὲ ἡ πρὸς τῷ Ζ· ἴση γάρ ἐστι τῇ ἀπεναντίον τῇ πρὸς τῷ Γ· λοιπὴ ἄρα ἡ ὑπὸ ΖΕΗ ἡμίσειά ἐστιν ὀρθῆς· ἴση ἄρα ἡ ὑπὸ ΕΗΖ γωνία τῇ ὑπὸ ΖΕΗ· ὥστε καὶ πλευρὰ ἡ ΗΖ πλευρᾷ τῇ ΕΖ ἐστιν ἴση· καὶ ἐπεὶ [ἴση ἐστὶν ἡ ΕΓ τῇ ΓΑ], ἴσον ἐστὶ [καὶ] τὸ ἀπὸ τῆς ΕΓ τετράγωνον τῷ ἀπὸ τῆς ΓΑ τετραγώνῳ· τὰ ἄρα ἀπὸ τῶν ΕΓ, ΓΑ τετράγωνα διπλάσιά ἐστιν τοῦ ἀπὸ τῆς ΓΑ τετραγώνου, τοῖς δὲ ἀπὸ τῶν ΕΓ, ΓΑ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΑ· τὸ ἄρα ἀπὸ τῆς ΕΑ τετράγωνον διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΓ τετραγώνου· πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΖΗ τῇ ΕΖ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΖΗ τῷ ἀπὸ τῆς ΖΕ· τὰ ἄρα ἀπὸ τῶν ΗΖ, ΖΕ διπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΕΖ. τοῖς δὲ ἀπὸ τῶν ΗΖ, ΖΕ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΗ· τὸ ἄρα ἀπὸ τῆς ΕΗ διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΕΖ. ἴση δὲ ἡ ΕΖ τῇ ΓΔ· τὸ ἄρα ἀπὸ τῆς ΕΗ τετράγωνον διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΓΔ. ἐδείχθη δὲ καὶ τὸ ἀπὸ τῆς ΕΑ διπλάσιον τοῦ ἀπὸ τῆς ΑΓ· τὰ ἄρα ἀπὸ τῶν ΑΕ, ΕΗ τετράγωνα διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνων. τοῖς δὲ ἀπὸ τῶν ΑΕ, ΕΗ τετραγώνοις ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΑΗ τετράγωνον· τὸ ἄρα ἀπὸ τῆς ΑΗ διπλάσιόν ἐστι τῶν ΑΓ, ΓΔ. τῷ δὲ ἀπὸ τῆς ΑΗ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΑΔ, ΔΗ· τὰ ἄρα ἀπὸ τῶν ΑΔ, ΔΗ [τετράγωνα] διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ [τετραγώνων]. ἴση δὲ ἡ ΔΗ τῇ ΔΒ· τὰ ἄρα ἀπὸ τῶν ΑΔ, ΔΒ [τετράγωνα] διπλάσιά ἐστι τῶν ἀπὸ τῶν ΑΓ, ΓΔ τετραγώνων.



Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ δίχα, προστεθῇ δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας, τὸ ἀπὸ τῆς ὅλης σὺν τῇ προσκειμένῃ καὶ τὸ ἀπὸ τῆς προσκειμένης τὰ συναμφότερα τετράγωνα διπλάσιά ἐστι τοῦ τε ἀπὸ τῆς ἡμισείας καὶ τοῦ ἀπὸ

Διότι, ἂς ἀχθῇ ἐκ τοῦ σημείου Γ ἡ ΓΕ κάθετος ἐπὶ τὴν ΑΒ καὶ ἂς ληφθῇ αὕτη ἴση πρὸς ἑκάστην τῶν ΑΓ, ΓΒ καὶ ἂς ἀχθοῦν αἱ ΕΑ, ΕΒ· καὶ διὰ μὲν τοῦ Ε ἂς ἀχθῇ ἡ ΕΖ παράλληλος πρὸς τὴν ΑΔ, διὰ δὲ τοῦ Δ ἂς ἀχθῇ ἡ ΖΔ παράλληλος πρὸς τὴν ΓΕ. Καὶ ἐπειδὴ ἡ εὐθεῖα ΕΖ τέμνει τὰς παραλλήλους ΕΓ, ΖΔ αἱ γωνίαι ΓΕΖ, ΕΖΔ ἰσοῦνται μὲ δύο ὀρθάς (I.29)· ἄρα αἱ γωνίαι ΖΕΒ, ΕΖΔ εἶναι μικρότεραι τῶν δύο ὀρθῶν· αἱ εὐθεῖαι δὲ αἱ σχηματίζουσαι γωνίας μικροτέρας τῶν δύο ὀρθῶν προεκβαλλόμεναι συμπίπτουν (αἴτ. 5)· ἄρα αἱ ΕΒ, ΖΔ προεκβαλλόμεναι θὰ συμπέσουν πρὸς τὸ μέρος τῶν Β, Δ. Ἂς προεκβληθοῦν καὶ ἂς συμπέσουν κατὰ τὸ Η καὶ ἂς ἀχθῇ ἡ ΑΗ. Καὶ ἐπειδὴ ἡ ΑΓ εἶναι ἴση πρὸς τὴν ΓΕ, εἶναι ἴση καὶ ἡ γωνία ΕΑΓ πρὸς τὴν ΑΕΓ (I.5)· καὶ ἡ παρὰ τὸ Γ εἶναι ὀρθή· ἄρα ἑκάστη τῶν ΕΑΓ, ΑΕΓ εἶναι ἥμισυ ὀρθῆς (I.32). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἑκάστη τῶν ΓΕΒ, ΕΒΓ εἶναι ἥμισυ ὀρθῆς· ἄρα ἡ ΑΕΒ εἶναι ὀρθή. Καὶ ἐπειδὴ ἡ ΕΒΓ εἶναι ἥμισυ ὀρθῆς, ἕπεται, ὅτι καὶ ἡ ΔΒΗ εἶναι ἥμισυ ὀρθῆς (I.15). Εἶναι δὲ καὶ ἡ ΒΔΗ ὀρθή· διότι εἶναι ἴση πρὸς τὴν ΔΓΕ· διότι εἶναι ἐναλλάξ (I.29)· ἄρα καὶ ἡ λοιπὴ ἡ ΔΗΒ εἶναι ἥμισυ ὀρθῆς· ἄρα ἡ ΔΗΒ εἶναι ἴση πρὸς τὴν ΔΒΗ· ὥστε καὶ ἡ πλευρὰ ἡ ΒΔ εἶναι ἴση πρὸς τὴν πλευρὰν τὴν ΗΔ (I.6). Πάλιν, ἐπειδὴ ἡ ΕΗΖ εἶναι ἥμισυ ὀρθῆς, ὀρθὴ δὲ ἡ παρὰ τὸ Ζ· διότι εἶναι ἴση πρὸς τὴν ἀπέναντί της, τὴν παρὰ τὸ Γ (I.34)· ἄρα καὶ ἡ λοιπὴ ἡ ΖΕΗ εἶναι ἥμισυ ὀρθῆς (I.32)· ἄρα ἡ γωνία ΕΗΖ εἶναι ἴση πρὸς τὴν ΖΕΗ· ὥστε καὶ ἡ πλευρὰ ΗΖ εἶναι ἴση πρὸς τὴν πλευρὰν ΕΖ (I.6). Καὶ ἐπειδὴ ἡ ΕΓ εἶναι ἴση πρὸς τὴν ΓΑ, εἶναι ἴσον καὶ τὸ τετράγωνον τῆς ΕΓ πρὸς τὸ τετράγωνον τῆς ΓΑ· ἄρα τὰ τετράγωνα τῶν ΕΓ, ΓΑ εἶναι διπλάσια τοῦ τετραγώνου τῆς ΓΑ. Πρὸς δὲ τὰ τετράγωνα τῶν ΕΓ, ΓΑ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΕΑ (I.47)· ἄρα τὸ τετράγωνον τῆς ΕΑ εἶναι διπλάσιον τοῦ τετραγώνου τῆς ΑΓ. Πάλιν, ἐπειδὴ ἡ ΖΗ εἶναι ἴση πρὸς τὴν ΕΖ, τὸ τετράγωνον τῆς ΖΗ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΖΕ· ἄρα τὰ τετράγωνα τῶν ΗΖ, ΖΕ εἶναι διπλάσια τοῦ τετραγώνου τῆς ΕΖ. Πρὸς δὲ τὰ τετράγωνα τῶν ΗΖ, ΖΕ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΕΗ (I.47)· ἄρα τὸ τετράγωνον τῆς ΕΗ εἶναι διπλάσιον τοῦ τετραγώνου τῆς ΕΖ. Εἶναι δὲ ἡ ΕΖ ἴση πρὸς τὴν ΓΔ (I.34)· ἄρα τὸ τετράγωνον τῆς ΕΗ εἶναι διπλάσιον τοῦ τετραγώνου τῆς ΓΔ. Ἐδείχθη δέ, ὅτι καὶ τὸ τετράγωνον τῆς ΕΑ εἶναι διπλάσιον τοῦ τετραγώνου τῆς ΑΓ· ἄρα τὰ τετράγωνα τῶν ΑΕ, ΕΗ εἶναι διπλάσια τῶν τετραγώνων τῶν ΑΓ, ΓΔ. Πρὸς δὲ τὰ τετράγωνα τῶν ΑΕ, ΕΗ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΑΗ (I.47)· ἄρα τὸ τετράγωνον τῆς ΑΗ εἶναι διπλάσιον τῶν τετραγώνων τῶν ΑΓ, ΓΔ. Πρὸς δὲ τὸ τετράγωνον τῆς ΑΗ εἶναι ἴσα τὰ τετράγωνα τῶν ΑΔ, ΔΗ· ἄρα τὰ τετράγωνα τῶν ΑΔ, ΔΗ εἶναι διπλάσια τῶν τετραγώνων τῶν ΑΓ, ΓΔ. Εἶναι δὲ ἡ ΔΗ ἴση πρὸς τὴν ΔΒ· ἄρα τὰ τετράγωνα τῶν ΑΔ, ΔΒ εἶναι διπλάσια τῶν τετραγώνων τῶν ΑΓ, ΓΔ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ εἰς τὸ μέσον, προστεθῇ δὲ εἰς τὴν προέκτασιν αὐτῆς εὐθεῖά τις, τὸ τετράγωνον τὸ ἔχον πλευρὰν ὅλην τὴν εὐθεῖαν καὶ τὴν προστεθεῖσαν, σὺν τὸ τετράγωνον τῆς προστεθείσης, εἶναι διπλάσια τοῦ τετρα-

τῆς συγκειμένης ἔκ τε τῆς ἡμισείας καὶ τῆς προσκειμένης ὡς ἀπὸ μιᾶς ἀναγραφέντος τετραγώνου· ὅπερ ἔδει δεῖξαι.

ια'.

Τὴν δοθεῖσαν εὐθεῖαν τεμεῖν ὥστε τὸ ὑπὸ τῆς ὅλης καὶ τοῦ ἑτέρου τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον εἶναι τῷ ἀπὸ τοῦ λοιποῦ τμήματος τετραγώνῳ.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ· δεῖ δὴ τὴν ΑΒ τεμεῖν ὥστε τὸ ὑπὸ τῆς ὅλης καὶ τοῦ ἑτέρου τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον εἶναι τῷ ἀπὸ τοῦ λοιποῦ τμήματος τετραγώνῳ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΒΓΔ, καὶ τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Ε σημεῖον, καὶ ἐπεζεύχθω ἡ ΒΕ, καὶ διήχθω ἡ ΓΑ ἐπὶ τὸ Ζ, καὶ κείσθω τῇ ΒΕ ἴση ἡ ΕΖ, καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΑΖ τετράγωνον τὸ ΖΘ, καὶ διήχθω ἡ ΗΘ ἐπὶ τὸ Κ· λέγω, ὅτι ἡ ΑΒ τέτμηται κατὰ τὸ Θ, ὥστε τὸ ὑπὸ τῶν ΑΒ, ΒΘ περιεχόμενον ὀρθογώνιον ἴσον ποιεῖν τῷ ἀπὸ τῆς ΑΘ τετραγώνῳ.



Ἐπεὶ γὰρ εὐθεῖα ἡ ΑΓ τέτμηται δίχα κατὰ τὸ Ε, πρόσκειται δὲ αὐτῇ ἡ ΖΑ, τὸ ἄρα ὑπὸ τῶν ΓΖ, ΖΑ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΑΕ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΖ τετραγώνῳ. ἴση δὲ ἡ ΕΖ τῇ ΕΒ· τὸ ἄρα ὑπὸ τῶν ΓΖ, ΖΑ μετὰ τοῦ ἀπὸ τῆς ΑΕ ἴσον ἐστὶ τῷ ἀπὸ ΕΒ. ἀλλὰ τῷ ἀπὸ ΕΒ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΒΑ, ΑΕ· ὀρθὴ γὰρ ἡ πρὸς τῷ Α γωνία· τὸ ἄρα ὑπὸ τῶν ΓΖ, ΖΑ μετὰ τοῦ ἀπὸ τῆς ΑΕ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΒΑ, ΑΕ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΑΕ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΓΖ, ΖΑ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ. καὶ ἔστι τὸ μὲν ὑπὸ τῶν ΓΖ, ΖΑ τὸ ΖΚ· ἴση γὰρ ἡ ΑΖ τῇ ΖΗ· τὸ δὲ ἀπὸ τῆς ΑΒ τὸ ΑΔ· τὸ ἄρα ΖΚ ἴσον ἐστὶ τῷ ΑΔ· κοινὸν ἀφῃρήσθω τὸ ΑΚ· λοιπὸν ἄρα τὸ ΖΘ τῷ ΘΔ ἴσον ἐστίν. καὶ ἔστι τὸ μὲν ΘΔ τὸ ὑπὸ τῶν ΑΒ, ΒΘ· ἴση γὰρ ἡ ΑΒ τῇ ΒΔ· τὸ δὲ ΖΘ τὸ ἀπὸ τῆς ΑΘ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΘ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ ΘΑ τετραγώνῳ.

Ἡ ἄρα δοθεῖσα εὐθεῖα ἡ ΑΒ τέτμηται κατὰ τὸ Θ ὥστε τὸ ὑπὸ τῶν ΑΒ, ΒΘ περιεχόμενον ὀρθογώνιον ἴσον ποιεῖν τῷ ἀπὸ τῆς ΘΑ τετραγώνῳ· ὅπερ ἔδει ποιῆσαι.

ιβ'.

Ἐν τοῖς ἀμβλυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον μεῖζόν ἐστι τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν γώνου τῆς ἡμισείας εὐθείας, σὺν τὸ τετράγωνον τὸ ἔχον πλευρὰν τὸ ἥμισυ τῆς δοθείσης σὺν τὴν προστεθεῖσαν εὐθεῖαν· ὅπερ ἔδει δεῖξαι.

11.

Νὰ τμηθῇ δοθεῖσα εὐθεῖα οὕτως, ὥστε τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῆς ὅλης εὐθείας καὶ ἑνὸς τῶν τμημάτων της νὰ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τοῦ λοιποῦ τμήματος.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ· πρέπει νὰ τμήσωμεν τὴν ΑΒ οὕτως, ὥστε τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῆς ὅλης εὐθείας καὶ τοῦ ἑνὸς τῶν τμημάτων της νὰ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τοῦ λοιποῦ τμήματος.

Διότι, ἂς ἀναγραφῇ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΒΔΓ (Ι.46) καὶ ἂς τμηθῇ εἰς τὸ μέσον ἡ ΑΓ κατὰ τὸ σημεῖον Ε, καὶ ἂς ἀχθῇ ἡ ΒΕ, καὶ ἂς προεκταθῇ ἡ ΓΑ μέχρι τοῦ Ζ, καὶ ἂς ληφθῇ ἡ ΕΖ ἴση πρὸς τὴν ΒΕ, καὶ ἂς ἀναγραφῇ ἀπὸ τῆς ΑΖ τετράγωνον τὸ ΖΘ, καὶ ἂς προεκταθῇ ἡ ΗΘ μέχρι τοῦ Κ· λέγω, ὅτι ἡ ΑΒ ἔχει οὕτω πως τμηθῇ κατὰ τὸ Θ, ὥστε τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΘ νὰ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΑΘ.

Διότι, ἐπειδὴ ἡ εὐθεῖα ΑΓ ἔχει τμηθῇ εἰς τὸ μέσον κατὰ τὸ Ε, πρόσκειται δὲ εἰς αὐτὴν ἡ ΖΑ, ἕπεται, ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΖ, ΖΑ μετὰ τοῦ τετραγώνου τῆς ΑΕ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΕΖ (ΙΙ.6). Εἶναι δὲ ἡ ΕΖ ἴση πρὸς τὴν ΕΒ· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΖ, ΖΑ μετὰ τοῦ τετραγώνου τῆς ΑΕ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΕΒ. Ἀλλὰ πρὸς τὸ τετράγωνον τῆς ΕΒ εἶναι ἴσα τὰ τετράγωνα τῶν ΒΑ, ΑΕ· διότι ἡ γωνία παρὰ τὸ Α εἶναι ὀρθή (Ι.47)· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΖ, ΖΑ μετὰ τοῦ τετραγώνου τῆς ΑΕ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΒΑ, ΑΕ. Ἃς ἀφαιρεθῇ ἀπὸ ἀμφότερα τὸ τετράγωνον τῆς ΑΕ· ἄρα τὸ ἀπομένον ὀρθογώνιον, τὸ περιεχόμενον ὑπὸ τῶν ΓΖ, ΖΑ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΑΒ. Καὶ εἶναι τὸ μὲν ὑπὸ τῶν ΓΖ, ΖΑ ὀρθογώνιον τὸ ΖΚ· διότι ἡ ΑΖ εἶναι ἴση πρὸς τὴν ΖΗ· τὸ δὲ τετράγωνον τῆς ΑΒ εἶναι τὸ ΑΔ· ἄρα τὸ ὀρθογώνιον ΖΚ εἶναι ἴσον πρὸς τὸ τετράγωνον ΑΔ. Ἃς ἀφαιρεθῇ ἀπὸ ἀμφότερα τὸ ΑΚ· ἄρα τὸ ἀπομένον ΖΘ εἶναι ἴσον πρὸς τὸ ΘΔ. Καὶ εἶναι τὸ μὲν ΘΔ τὸ ὀρθογώνιον τὸ ὑπὸ τῶν ΑΒ, ΒΘ· διότι ἡ ΑΒ εἶναι ἴση πρὸς τὴν ΒΔ· τὸ δὲ ΖΘ εἶναι τὸ τετράγωνον τῆς ΑΘ· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΘ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΘΑ.

Ἄρα ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ ἔχει τμηθῇ κατὰ τὸ Θ οὕτως, ὥστε τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΘ νὰ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΘΑ· ὅπερ ἔδει ποιῆσαι.

12.

Εἰς τὰ ἀμβλυγώνια τρίγωνα τὸ τετράγωνον τῆς πλευρᾶς τῆς κειμένης ἀπέναντι τῆς ἀμβλείας γωνίας εἶναι μεγαλύτερον τῶν τετραγώνων τῶν πλευρῶν αἱ ὁποῖαι περιέχουν τὴν ἀμβλεῖαν γωνίαν, κατὰ τὸ διπλάσιον ὀρθογώπερὶ τὴν ἀμβλεῖαν γωνίαν, ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ἀμβλείᾳ γωνίᾳ.



Ἔστω ἀμβλυγώνιον τρίγωνον τὸ ΑΒΓ ἀμβλεῖαν ἔχον τὴν ὑπὸ ΒΑΓ, καὶ ἤχθω ἀπὸ τοῦ Β σημείου ἐπὶ τὴν ΓΑ ἐκβληθεῖσαν κάθετος ἡ ΒΔ. λέγω, ὅτι τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον μεῖζόν ἐστι τῶν ἀπὸ τῶν ΒΑ, ΑΓ τετραγώνων τῷ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐπεὶ γὰρ εὐθεῖα ἡ ΓΔ τέτμηται, ὡς ἔτυχεν, κατὰ τὸ Α σημεῖον, τὸ ἄρα ἀπὸ τῆς ΔΓ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΓΑ, ΑΔ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ περιεχομένῳ ὀρθογωνίῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΔΒ· τὰ ἄρα ἀπὸ τῶν ΓΔ, ΔΒ ἴσα ἐστὶ τοῖς τε ἀπὸ τῶν ΓΑ, ΑΔ, ΔΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ [περιεχομένῳ ὀρθογωνίῳ]. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΓΔ, ΔΒ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΓΒ· ὀρθὴ γὰρ ἡ πρὸς τῷ Δ γωνία· τοῖς δὲ ἀπὸ τῶν ΑΔ, ΔΒ ἴσον τὸ ἀπὸ τῆς ΑΒ· τὸ ἄρα ἀπὸ τῆς ΓΒ τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΓΑ, ΑΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ περιεχομένῳ ὀρθογωνίῳ· ὥστε τὸ ἀπὸ τῆς ΓΒ τετράγωνον τῶν ἀπὸ τῶν ΓΑ, ΑΒ τετραγώνων μεῖζόν ἐστι τῷ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐν ἄρα τοῖς ἀμβλυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον μεῖζόν ἐστι τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ἀμβλεῖαν γωνίαν, ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ἀμβλείᾳ γωνίᾳ· ὅπερ ἔδει δεῖξαι.

ιγ΄.

Ἐν τοῖς ὀξυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀξεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἔλαττόν ἐστι τῶν ἀπὸ τῶν τὴν ὀξεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ὀξεῖαν γωνίαν, ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐντὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ὀξείᾳ γωνίᾳ.

Ἔστω ὀξυγώνιον τρίγωνον τὸ ΑΒΓ ὀξεῖαν ἔχον τὴν πρὸς τὸ Β γωνίαν, καὶ ἤχθω ἀπὸ τοῦ Α σημείου ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΔ· λέγω, ὅτι τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον ἔλαττόν ἐστι τῶν ἀπὸ τῶν ΓΒ, ΒΑ τετραγώνων τῷ δὶς ὑπὸ τῶν ΓΒ, ΒΔ περιεχομένῳ ὀρθογωνίῳ.



Ἐπεὶ γὰρ εὐθεῖα ἡ ΓΒ τέτμηται, ὡς ἔτυχεν, κατὰ τὸ Δ, τὰ ἄρα ἀπὸ τῶν ΓΒ, ΒΔ τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΓΒ, ΒΔ περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τῆς ΔΓ τετραγώνῳ κοινὸν προσ-

νιον τὸ περιεχόμενον ὑπὸ μιᾶς ἐκ τῶν πλευρῶν τῆς ἀμβλείας γωνίας, ἐπὶ τὴν ὁποίαν πίπτει ἡ κάθετος, καὶ τῆς λαμβανομένης ἐκτὸς ἀπὸ τῆς καθέτου μέχρι (τῆς κορυφῆς) τῆς ἀμβλείας γωνίας.

Ἔστω τὸ ἀμβλυγώνιον τρίγωνον ΑΒΓ ἔχον τὴν γωνίαν ΒΑΓ ἀμβλεῖαν, καὶ ἂς ἀχθῇ ἀπὸ τοῦ σημείου Β ἡ κάθετος ἐπὶ τὴν προεκβολὴν τῆς ΓΑ ἡ ΒΔ. Λέγω, ὅτι τὸ τετράγωνον τῆς ΒΓ εἶναι μεγαλύτερον τῶν τετραγώνων τῶν ΒΑ, ΑΓ κατὰ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΑ, ΑΔ.

Διότι, ἐπειδὴ ἡ εὐθεῖα ΓΔ ἔχει τμηθῇ, ὡς ἔτυχεν, κατὰ τὸ σημεῖον Α, ἕπεται, ὅτι τὸ τετράγωνον τῆς ΔΓ εἶναι ἴσον πρὸς τὰ τετράγωνα τῶν ΓΑ, ΑΔ καὶ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΑ, ΑΔ (II.4). Ἂς προστεθῇ εἰς ἀμφότερα τὸ τετράγωνον τῆς ΔΒ· ἄρα τὰ τετράγωνα τῶν ΓΔ, ΔΒ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΓΑ, ΑΔ, ΔΒ σὺν τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΑ, ΑΔ. Ἀλλὰ πρὸς μὲν τὰ τετράγωνα τῶν ΓΔ, ΔΒ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΓΒ· διότι ἡ γωνία Δ εἶναι ὀρθή (I.47)· πρὸς δὲ τὰ τετράγωνα τῶν ΑΔ, ΔΒ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΑΒ· ἄρα τὸ τετράγωνον τῆς ΓΒ εἶναι ἴσον πρὸς τὰ τετράγωνα τῶν ΓΑ, ΑΒ καὶ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΑ, ΑΔ· ὥστε τὸ τετράγωνον τῆς ΓΒ εἶναι μεγαλύτερον τῶν τετραγώνων τῶν ΓΑ, ΑΒ κατὰ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΑ, ΑΔ.

Εἰς τὰ ἀμβλυγώνια ἄρα τρίγωνα τὸ τετράγωνον τῆς πλευρᾶς τῆς κειμένης ἀπέναντι τῆς ἀμβλείας γωνίας εἶναι μεγαλύτερον τῶν τετραγώνων τῶν πλευρῶν αἱ ὁποῖαι περιέχουν τὴν ἀμβλεῖαν γωνίαν κατὰ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ μιᾶς πλευρᾶς τῆς ἀμβλείας γωνίας, ἐπὶ τὴν ὁποίαν πίπτει ἡ κάθετος, καὶ τῆς λαμβανομένης ἐκτὸς ἀπὸ τῆς καθέτου μέχρι (τῆς κορυφῆς) τῆς ἀμβλείας γωνίας· ὅπερ ἔδει δεῖξαι.

13.

Εἰς τὰ ὀξυγώνια τρίγωνα τὸ τετράγωνον τῆς πλευρᾶς τῆς κειμένης ἀπέναντι τῆς ὀξείας γωνίας εἶναι μικρότερον τῶν τετραγώνων τῶν πλευρῶν αἱ ὁποῖαι περιέχουν τὴν ὀξεῖαν γωνίαν κατὰ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ μιᾶς πλευρᾶς τῆς ὀξείας γωνίας, ἐπὶ τὴν ὁποίαν πίπτει ἡ κάθετος, καὶ τῆς λαμβανομένης ἐντὸς (τοῦ τριγώνου) εὐθείας ἀπὸ τῆς καθέτου μέχρι (τῆς κορυφῆς) τῆς ὀξείας γωνίας.

Ἔστω ὀξυγώνιον τρίγωνον τὸ ΑΒΓ ἔχον τὴν γωνίαν Β ὀξεῖαν, καὶ ἂς ἀχθῇ ἀπὸ τοῦ σημείου Α κάθετος ἐπὶ τὴν ΒΓ ἡ ΑΔ· λέγω, ὅτι τὸ τετράγωνον τῆς ΑΓ εἶναι μικρότερον τῶν τετραγώνων τῶν ΓΒ, ΒΑ κατὰ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΒ, ΒΔ.

Διότι, ἐπειδὴ ἡ εὐθεῖα ΓΒ ἔχει τμηθῇ, ὡς ἔτυχεν, κατὰ τὸ Δ, ἕπεται, ὅτι τὰ τετράγωνα τῶν ΓΒ, ΒΔ εἶναι ἴσα πρὸς τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΒ, ΒΔ καὶ τὸ τετράγωνον τῆς ΔΓ (II. 7). Ἂς προστεθῇ εἰς *κείσθω τὸ ἀπὸ τῆς ΔΑ τετράγωνον· τὰ ἄρα ἀπὸ τῶν ΓΒ, ΒΔ, ΔΑ τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΓΒ, ΒΔ περιεχομένῳ ὀρθογωνίῳ καὶ τοῖς ἀπὸ τῶν ΑΔ, ΔΓ τετραγώνοις. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΒΔ, ΔΑ ἴσον τὸ ἀπὸ τῆς ΑΒ· ὀρθὴ γὰρ ἡ πρὸς τῷ Δ γωνία· τοῖς δὲ ἀπὸ τῶν ΑΔ, ΔΓ ἴσον τὸ ἀπὸ τῆς ΑΓ· τὰ ἄρα ἀπὸ τῶν ΓΒ, ΒΑ ἴσα ἐστὶ τῷ τε ἀπὸ τῆς ΑΓ καὶ τῷ δὶς ὑπὸ τῶν ΓΒ, ΒΔ· ὥστε μόνον τὸ ἀπὸ τῆς ΑΓ ἔλαττόν ἐστι τῶν ἀπὸ τῶν ΓΒ, ΒΑ τετραγώνων τῷ δὶς ὑπὸ τῶν ΓΒ, ΒΔ περιεχομένῳ ὀρθογωνίῳ.*

Ἐὰν ἄρα τοῖς ὀξυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀξεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἔλαττόν ἐστι τῶν ἀπὸ τῶν τὴν ὀξεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ὀξεῖαν γωνίαν, ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐντὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ὀξείᾳ γωνίᾳ· ὅπερ ἔδει δεῖξαι.

ιδ'.

Τῷ δοθέντι εὐθυγράμμῳ ἴσον τετράγωνον συστήσασθαι.

Ἔστω τὸ δοθὲν εὐθύγραμμον τὸ Α· δεῖ δὴ τῷ Α εὐθυγράμμῳ ἴσον τετράγωνον συστήσασθαι.

Συνεστάτω γὰρ τῷ Α εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον ὀρθογώνιον τὸ ΒΔ· εἰ μὲν οὖν ἴση ἐστὶν ἡ ΒΕ τῇ ΕΔ, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν. συνέσταται γὰρ τῷ Α εὐθυγράμμῳ ἴσον τετράγωνον τὸ ΒΔ· εἰ δὲ οὔ, μία τῶν ΒΕ, ΕΔ μείζων ἐστίν. ἔστω μείζων ἡ ΒΕ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ζ, καὶ κείσθω τῇ ΕΔ ἴση ἡ ΕΖ, καὶ τετμήσθω ἡ ΒΖ δίχα κατὰ τὸ Η, καὶ κέντρῳ τῷ Η, διαστήματι δὲ ἑνὶ τῶν ΗΒ, ΗΖ ἡμικύκλιον γεγράφθω τὸ ΒΘΖ, καὶ ἐκβεβλήσθω ἡ ΔΕ ἐπὶ τὸ Θ, καὶ ἐπεζεύχθω ἡ ΗΘ.



Ἐπεὶ οὖν εὐθεῖα ἡ ΒΖ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Η, εἰς δὲ ἄνισα κατὰ τὸ Ε, τὸ ἄρα ὑπὸ τῶν ΒΕ, ΕΖ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΕΗ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΗΖ τετραγώνῳ. ἴση δὲ ἡ ΗΖ τῇ ΗΘ· τὸ ἄρα ὑπὸ τῶν ΒΕ, ΕΖ μετὰ τοῦ ἀπὸ τῆς ΗΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΗΘ. τῷ δὲ ἀπὸ τῆς ΗΘ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΘΕ, ΕΗ τετράγωνα· τὸ ἄρα ὑπὸ τῶν ΒΕ, ΕΖ μετὰ τοῦ ἀπὸ ΗΕ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΘΕ, ΕΗ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΗΕ τετράγωνον· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΒΕ, ΕΖ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΘ τετραγώνῳ. ἀλλὰ τὸ ὑπὸ τῶν ΒΕ, ΕΖ τὸ ΒΔ ἐστιν· ἴση γὰρ ἡ ΕΖ τῇ ΕΔ· τὸ ἄρα ΒΔ παραλληλόγραμμον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΘΕ τετραγώνῳ. ἴσον δὲ τὸ ΒΔ τῷ Α εὐθυγράμμῳ. καὶ τὸ Α ἄρα εὐθύγραμμον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΘ ἀναγραφησομένῳ τετραγώνῳ.

Τῷ ἄρα δοθέντι εὐθυγράμμῳ τῷ Α ἴσον τετράγωνον συνέσταται τὸ ἀπὸ τῆς ΕΘ ἀναγραφησόμενον· ὅπερ ἔδει ποιῆσαι.

ἀμφότερα τὸ τετράγωνον τῆς ΔΑ· ἄρα τὰ τετράγωνα τῶν ΓΒ, ΒΔ, ΔΑ εἶναι ἴσα πρὸς τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΒ, ΒΔ καὶ τὰ τετράγωνα τῶν ΑΔ, ΔΓ. Ἀλλὰ πρὸς μὲν τὰ τετράγωνα τῶν ΒΔ, ΔΑ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΑΒ· διότι ἡ γωνία Δ εἶναι ὀρθή (I. 47)· πρὸς δὲ τὰ τετράγωνα τῶν ΑΔ, ΔΓ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΑΓ (I. 47)· ἄρα τὰ τετράγωνα τῶν ΓΒ, ΒΑ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΑΓ καὶ τὸ διπλάσιον ὀρθογώνιον τῶν ΓΒ, ΒΔ· ὥστε μόνον τὸ τετράγωνον τῆς ΑΓ εἶναι μικρότερον τῶν τετραγώνων τῶν ΓΒ, ΒΑ κατὰ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΓΒ, ΒΔ.

Εἰς τὰ ὀξυγώνια ἄρα τρίγωνα τὸ τετράγωνον τῆς πλευρᾶς τῆς κειμένης ἀπέναντι τῆς ὀξείας γωνίας εἶναι μικρότερον τῶν τετραγώνων τῶν πλευρῶν τῆς ὀξείας γωνίας κατὰ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ μιᾶς πλευρᾶς τῆς ὀξείας γωνίας ἐπὶ τὴν ὁποίαν πίπτει ἡ κάθετος, καὶ τῆς λαμβανομένης ἐντὸς (τοῦ τριγώνου) εὐθείας, ἀπὸ τῆς καθέτου μέχρι (τῆς κορυφῆς) τῆς ὀξείας γωνίας· ὅπερ ἔδει δεῖξαι.

14.

Νὰ κατασκευασθῇ τετράγωνον ἴσον πρὸς τὸ δοθὲν εὐθύγραμμον.

Ἔστω τὸ δοθὲν εὐθύγραμμον τὸ Α· πρέπει νὰ κατασκευασθῇ τετράγωνον ἴσον πρὸς τὸ εὐθύγραμμον Α.

Διότι, ἂς κατασκευασθῇ ὀρθογώνιον παραλληλόγραμμον τὸ ΒΔ, ἴσον πρὸς τὸ εὐθύγραμμον Α (I. 45)· ἐὰν μὲν λοιπὸν ἡ ΒΕ εἶναι ἴση πρὸς τὴν ΕΔ, τότε κατεσκευάσθη τὸ ἐπιταχθέν. Διότι θὰ ἔχῃ κατασκευασθῇ τετράγωνον τὸ ΒΔ ἴσον πρὸς τὸ εὐθύγραμμον Α· ἐὰν δὲ δὲν εἶναι ἴση, μία ἐκ τῶν εὐθειῶν ΒΕ, ΕΔ εἶναι μεγαλυτέρα. Ἔστω, ὅτι ἡ ΒΕ εἶναι μεγαλυτέρα, καὶ ἂς προεκβληθῇ αὕτη μέχρι τοῦ Ζ, καὶ ἂς ληφθῇ ἡ ΕΖ ἴση πρὸς τὴν ΕΔ, καὶ ἂς τμηθῇ εἰς τὸ μέσον ἡ ΒΖ κατὰ τὸ Η (I.10), καὶ μὲ κέντρον τὸ Η ἀκτῖνα δὲ μίαν τῶν ΗΒ, ΗΖ ἂς γραφῇ ἡμικύκλιον τὸ ΒΘΖ, καὶ ἂς προεκβληθῇ ἡ ΔΕ μέχρι τοῦ Θ, καὶ ἂς ἀχθῇ ἡ ΗΘ.

Ἐπειδὴ λοιπὸν ἡ εὐθεῖα ΒΖ ἔχει τμηθῇ εἰς ἴσα μὲν κατὰ τὸ Η, εἰς ἄνισα δὲ κατὰ τὸ Ε, ἕπεται, ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΒΕ, ΕΖ μετὰ τοῦ τετραγώνου τῆς ΕΗ, εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΗΖ (II.5). Εἶναι δὲ ἴση ἡ ΗΖ πρὸς τὴν ΗΘ· ἄρα τὸ ὀρθογώνιον τῶν ΒΕ, ΕΖ μετὰ τοῦ τετραγώνου τῆς ΗΕ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΗΘ. Πρὸς δὲ τὸ τετράγωνον τῆς ΗΘ εἶναι ἴσα τὰ τετράγωνα τῶν ΘΕ, ΕΗ (I.47)· ἄρα τὸ ὀρθογώνιον τῶν ΒΕ, ΕΖ μετὰ τοῦ τετραγώνου τῆς ΗΕ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΘΕ, ΕΗ. Ἂς ἀφαιρεθῇ ἀπὸ ἀμφότερα τὸ τετράγωνον τῆς ΗΕ· τὸ ἀπομένον ἄρα ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΒΕ, ΕΖ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΕΘ. Ἀλλὰ τὸ ὀρθογώνιον τῶν ΒΕ, ΕΖ εἶναι τὸ ΒΔ· διότι ἡ ΕΖ εἶναι ἴση πρὸς τὴν ΕΔ· ἄρα τὸ παραλληλόγραμμον ΒΔ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΘΕ. Εἶναι δὲ ἴσον τὸ ΒΔ πρὸς τὸ εὐθύγραμμον Α. Ἄρα καὶ τὸ εὐθύγραμμον Α εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΕΘ.

Ἄρα πρὸς τὸ δοθὲν εὐθύγραμμον, τὸ Α, κατεσκευάσθη ἴσον τετράγωνον τὸ ἀπὸ τῆς ΕΘ ἀναγραφόμενον· ὅπερ ἔδει ποιῆσαι.

γ'.

Ὅροι.

α'. Ἴσοι κύκλοι εἰσίν, ὧν αἱ διάμετροι ἴσαι εἰσίν, ἢ ὧν αἱ ἐκ τῶν κέντρων ἴσαι εἰσίν.

β'. Εὐθεῖα κύκλου ἐφάπτεσθαι λέγεται, ἥτις ἁπτομένη τοῦ κύκλου καὶ ἐκβαλλομένη οὐ τέμνει τὸν κύκλον.

γ'. Κύκλοι ἐφάπτεσθαι ἀλλήλων λέγονται, οἵτινες ἁπτόμενοι ἀλλήλων οὐ τέμνουσιν ἀλλήλους.

δ'. Ἐν κύκλῳ ἴσον ἀπέχειν ἀπὸ τοῦ κέντρου εὐθεῖαι λέγονται, ὅταν αἱ ἀπὸ τοῦ κέντρου ἐπ' αὐτὰς κάθετοι ἀγόμεναι ἴσαι ὦσιν.

ε'. Μεῖζον δὲ ἀπέχειν λέγεται, ἐφ' ἣν ἡ μείζων κάθετος πίπτει.

ϛ'. Τμῆμα κύκλου ἐστὶ τὸ περιεχόμενον σχῆμα ὑπό τε εὐθείας καὶ κύκλου περιφερείας.

ζ'. Τμήματος δὲ γωνία ἐστὶν ἡ περιεχομένη ὑπό τε εὐθείας καὶ κύκλου περιφερείας.

η'. Ἐν τμήματι δὲ γωνία ἐστίν, ὅταν ἐπὶ τῆς περιφερείας τοῦ τμήματος ληφθῇ τι σημεῖον καὶ ἀπ' αὐτοῦ ἐπὶ τὰ πέρατα τῆς εὐθείας, ἥ ἐστι βάσις τοῦ τμήματος, ἐπιζευχθῶσιν εὐθεῖαι, ἡ περιεχομένη γωνία ὑπὸ τῶν ἐπιζευχθεισῶν εὐθειῶν.

θ'. Ὅταν δὲ αἱ περιέχουσαι τὴν γωνίαν εὐθεῖαι ἀπολαμβάνωσί τινα περιφέρειαν, ἐπ' ἐκείνης λέγεται βεβηκέναι ἡ γωνία.

ι'. Τομεὺς δὲ κύκλου ἐστίν, ὅταν πρὸς τῷ κέντρῳ τοῦ κύκλου συσταθῇ γωνία, τὸ περιεχόμενον σχῆμα ὑπό τε τῶν τὴν γωνίαν περιεχουσῶν εὐθειῶν καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῶν περιφερείας.

ια'. Ὅμοια τμήματα κύκλων ἐστὶ τὰ δεχόμενα γωνίας ἴσας, ἢ ἐν οἷς αἱ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.

α'.

Τοῦ δοθέντος κύκλου τὸ κέντρον εὑρεῖν.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ· δεῖ δὴ τοῦ ΑΒΓ κύκλου τὸ κέντρον εὑρεῖν.

Διήχθω τις εἰς αὐτόν, ὡς ἔτυχεν, εὐθεῖα ἡ ΑΒ, καὶ τετμήσθω δίχα κατὰ τὸ Δ σημεῖον, καὶ ἀπὸ τοῦ Δ τῇ ΑΒ πρὸς ὀρθὰς ἤχθω ἡ ΔΓ καὶ διήχθω ἐπὶ τὸ Ε, καὶ τετμήσθω ἡ ΓΕ δίχα κατὰ τὸ Ζ· λέγω, ὅτι τὸ Ζ κέντρον ἐστὶ τοῦ ΑΒΓ [κύκλου].

ΒΙΒΛΙΟΝ III.

Ὁρισμοί.

1. Ἴσοι κύκλοι εἶναι ἐκεῖνοι τῶν ὁποίων αἱ διάμετροι εἶναι ἴσαι ἢ ἐκεῖνοι τῶν ὁποίων αἱ ἀκτῖνες εἶναι ἴσαι.

2. Εὐθεῖα λέγεται ὅτι ἐφάπτεται κύκλου ἐκείνη, ἡ ὁποία ἁπτομένη τοῦ κύκλου καὶ προεκβαλλομένη δὲν τέμνει τὸν κύκλον.

3. Κύκλοι λέγονται ὅτι ἐφάπτονται μεταξύ των ἐκεῖνοι, οἱ ὁποῖοι ἁπτόμενοι μεταξύ των δὲν τέμνονται.

4. Εὐθεῖαι εἰς κύκλον λέγονται ὅτι ἀπέχουν ἴσον ἀπὸ τοῦ κέντρου, ὅταν αἱ ἀπὸ τοῦ κέντρου ἀγόμεναι ἐπ' αὐτὰς κάθετοι εἶναι ἴσαι.

5. Μεγαλύτερον δὲ λέγεται ὅτι ἀπέχει ἐκείνη, ἐπὶ τῆς ὁποίας πίπτει ἡ μεγαλυτέρα κάθετος.

6. Τμῆμα κύκλου εἶναι τὸ σχῆμα τὸ περιεχόμενον ὑπὸ εὐθείας καὶ τόξου κύκλου.

7. Γωνία δὲ τμήματος εἶναι ἡ περιεχομένη ὑπὸ εὐθείας καὶ τόξου κύκλου.

8. Γωνία δὲ εἶναι εἰς τμῆμα, ὅταν ἐπὶ τοῦ τόξου τοῦ τμήματος ληφθῇ σημεῖόν τι καὶ ἐξ αὐτοῦ ἀχθοῦν εὐθεῖαι μέχρι τῶν ἄκρων τῆς εὐθείας, ἡ ὁποία εἶναι βάσις τοῦ τμήματος, ἡ ὑπὸ τῶν εὐθειῶν τούτων περιεχομένη γωνία.

9. Ὅταν δὲ αἱ περιέχουσαι τὴν γωνίαν εὐθεῖαι ἀποκόπτουν τόξον τι κύκλου, λέγεται, ὅτι ἐπὶ τοῦ τόξου τούτου βαίνει ἡ γωνία.

10. Τομεὺς δὲ κύκλου εἶναι, ὅταν κατασκευασθῇ γωνία μὲ κορυφὴν τὸ κέντρον τοῦ κύκλου, τὸ σχῆμα τὸ περιεχόμενον ὑπὸ τῶν εὐθειῶν αἱ ὁποῖαι περιέχουν τὴν γωνίαν καὶ τοῦ τόξου τοῦ κύκλου τοῦ ἀποκοπτομένου ὑπὸ τῶν εὐθειῶν τούτων.

11. Ὅμοια τμήματα κύκλων εἶναι τὰ δεχόμενα γωνίας ἴσας, ἢ ἐκεῖνα εἰς τὰ ὁποῖα αἱ γωνίαι εἶναι ἴσαι μεταξύ των.

1.

Νὰ εὑρεθῇ τὸ κέντρον τοῦ δοθέντος κύκλου.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ· πρέπει νὰ εὑρεθῇ τὸ κέντρον τοῦ κύκλου ΑΒΓ.

Ἂς ἀχθῇ τυχοῦσα εὐθεῖα τέμνουσα αὐτόν, ἡ ΑΒ καὶ ἂς τμηθῇ εἰς τὸ μέσον αὐτῆς κατὰ τὸ σημεῖον Δ, καὶ ἀπὸ τοῦ Δ ἂς ἀχθῇ ἐπὶ τὴν ΑΒ κάθετος ἡ ΔΓ (I.11) καὶ ἂς προεκταθῇ αὕτη μέχρι τοῦ Ε, καὶ ἂς τμηθῇ ἡ ΓΕ εἰς τὸ μέσον κατὰ τὸ Ζ· λέγω, ὅτι τὸ Ζ εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ.

Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἔστω τὸ Η, καὶ ἐπεζεύχθωσαν αἱ ΗΑ, ΗΔ, ΗΒ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΒ, κοινὴ δὲ ἡ ΔΗ, δύο δὴ αἱ ΑΔ, ΔΗ δύο ταῖς ΗΔ, ΔΒ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ βάσις ἡ ΗΑ βάσει τῇ ΗΒ ἐστιν ἴση· ἐκ κέντρου γάρ· γωνία ἄρα ἡ ὑπὸ ΑΔΗ γωνίᾳ τῇ ὑπὸ ΗΔΒ ἴση ἐστίν. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΗΔΒ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΖΔΒ ὀρθή· ἴση ἄρα ἡ ὑπὸ ΖΔΒ τῇ ὑπὸ ΗΔΒ, ἡ μείζων τῇ ἐλάττονι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τὸ Η κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἄλλο τι πλὴν τοῦ Ζ.



Τὸ Ζ ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ [κύκλου].

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐὰν ἐν κύκλῳ εὐθεῖά τις εὐθεῖάν τινα δίχα καὶ πρὸς ὀρθὰς τέμνῃ, ἐπὶ τῆς τεμνούσης ἐστὶ τὸ κέντρον τοῦ κύκλου. — ὅπερ ἔδει ποιῆσαι.

β'.

Ἐὰν κύκλου ἐπὶ τῆς περιφερείας ληφθῇ δύο τυχόντα σημεῖα, ἡ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κύκλου.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ ἐπὶ τῆς περιφερείας αὐτοῦ εἰλήφθω δύο τυχόντα σημεῖα τὰ Α, Β· λέγω, ὅτι ἡ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κύκλου.

Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, πιπτέτω ἐκτὸς ὡς ἡ ΑΕΒ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓ κύκλου, καὶ ἔστω τὸ Δ, καὶ ἐπεζεύχθωσαν αἱ ΔΑ, ΔΒ, καὶ διήχθω ἡ ΔΖΕ.



Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΑ τῇ ΔΒ, ἴση ἄρα καὶ γωνία ἡ ὑπὸ ΔΑΕ τῇ ὑπὸ ΔΒΕ· καὶ ἐπεὶ τριγώνου τοῦ ΔΑΕ μία πλευρὰ προσεκβέβληται ἡ ΑΕΒ, μείζων ἄρα ἡ ὑπὸ ΔΕΒ γωνία τῆς ὑπὸ ΔΑΕ. ἴση δὲ ἡ ὑπὸ ΔΑΕ τῇ ὑπὸ ΔΒΕ· μείζων ἄρα ἡ ὑπὸ ΔΕΒ τῆς ὑπὸ ΔΒΕ. ὑπὸ δὲ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει· μείζων ἄρα ἡ ΔΒ τῆς ΔΕ. ἴση δὲ ἡ ΔΒ τῇ ΔΖ. μείζων ἄρα ἡ ΔΖ τῆς ΔΕ ἡ ἐλάττων τῆς μείζονος· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἡ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β ἐπιζευγνυμένη εὐθεῖα ἐκτὸς πεσεῖται τοῦ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἐπ' αὐτῆς τῆς περιφερείας· ἐντὸς ἄρα.

Ἐὰν ἄρα κύκλου ἐπὶ τῆς περιφερείας ληφθῇ δύο τυχόντα σημεῖα, ἡ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κύκλου· ὅπερ ἔδει δεῖξαι.

Διότι, ἐὰν δὲν εἶναι τοῦτο, ἀλλ' εἰ δυνατὸν νὰ εἶναι ἄλλο, ἔστω τὸ Η, ἂς ἀχθοῦν αἱ ΗΑ, ΗΔ, ΗΒ. Καὶ ἐπειδὴ ἡ ΑΔ εἶναι ἴση πρὸς τὴν ΔΒ, κοινὴ δὲ ἡ ΔΗ, ὑπάρχουν δύο εὐθεῖαι αἱ ΑΔ, ΔΗ, ἀντιστοίχως ἴσαι πρὸς τὰς δύο τὰς ΗΔ, ΔΒ καὶ ἡ βάσις ΗΑ εἶναι ἴση πρὸς τὴν βάσιν ΗΒ· διότι εἶναι ἀκτῖνες τοῦ αὐτοῦ κύκλου· ἄρα ἡ γωνία ΑΔΗ εἶναι ἴση πρὸς τὴν γωνίαν ΗΔΒ (I.8). Ὅταν δὲ εὐθεῖα ἀγομένη ἔκ τινος σημείου εὐθείας, σχηματίζῃ τὰς ἐφεξῆς γωνίας ἴσας μεταξύ των, ἑκάστη τῶν ἴσων γωνιῶν εἶναι ὀρθή (I. ὁρ. 10)· ἄρα ἡ γωνία ΗΔΒ εἶναι ὀρθή. Εἶναι δὲ καὶ ἡ ΖΔΒ ὀρθή· ἄρα ἡ ΖΔΒ εἶναι ἴση πρὸς τὴν ΗΔΒ, ἡ μεγαλυτέρα πρὸς τὴν μικροτέραν· ὅπερ ἀδύνατον. Ἄρα τὸ Η δὲν εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι οὐδὲν ἄλλο σημεῖον πλὴν τοῦ Ζ εἶναι κέντρον τοῦ κύκλου.

Ἄρα τὸ σημεῖον Ζ εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ.

Πόρισμα.

Ἐκ τούτου εἶναι φανερόν, ὅτι ἐὰν εἰς κύκλον εὐθεῖά τις τέμνῃ εὐθεῖαν εἰς τὸ μέσον καὶ εἶναι κάθετος ἐπ' αὐτήν, τὸ κέντρον τοῦ κύκλου εὑρίσκεται ἐπὶ τῆς τεμνούσης· ὅπερ ἔδει ποιῆσαι.

2.

Ἐὰν ἐπὶ τῆς περιφερείας κύκλου ληφθοῦν δύο τυχόντα σημεῖα, ἡ εὐθεῖα ἡ ἑνοῦσα τὰ σημεῖα θὰ πέσῃ ἐντὸς τοῦ κύκλου.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ ἂς ληφθοῦν ἐπὶ τῆς περιφερείας αὐτοῦ δύο τυχόντα σημεῖα τὰ Α, Β· λέγω, ὅτι ἡ ἀπὸ τοῦ Α εἰς τὸ Β ἀγομένη εὐθεῖα θὰ πέσῃ ἐντὸς τοῦ κύκλου. (Εἰς τὸ σχῆμα λείπει τὸ Γ)

Διότι, ἔστω, ὅτι δὲν θὰ πέσῃ, ἀλλ' εἰ δυνατὸν ἂς πέσῃ ἐκτός, ὅπως ἡ ΑΕΒ καὶ ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου ΑΒΓ (III. 1), καὶ ἔστω τὸ Δ, καὶ ἂς ἀχθοῦν αἱ ΔΑ, ΔΒ καὶ ἡ ΔΖΕ.

Ἐπειδὴ λοιπὸν ἡ ΔΑ εἶναι ἴση πρὸς τὴν ΔΒ, ἕπεται, ὅτι ἡ γωνία ΔΑΕ εἶναι ἴση πρὸς τὴν ΔΒΕ (I. 5)· καὶ ἐπειδὴ τοῦ τριγώνου ΔΑΕ μία πλευρὰ ἔχει προεκβληθῆ, ἡ ΑΕΒ, ἕπεται, ὅτι ἡ γωνία ΔΕΒ εἶναι μεγαλυτέρα τῆς γωνίας ΔΑΕ (I.16). Εἶναι δὲ ἡ ΔΑΕ ἴση πρὸς τὴν ΔΒΕ· ἄρα ἡ γωνία ΔΕΒ εἶναι μεγαλυτέρα τῆς ΔΒΕ. Ἀπέναντι δὲ τῆς μεγαλυτέρας γωνίας κεῖται ἡ μεγαλυτέρα πλευρά (I.19)· ἄρα ἡ ΔΒ εἶναι μεγαλυτέρα τῆς ΔΕ. Εἶναι δὲ ἴση ἡ ΔΒ πρὸς τὴν ΔΖ. Ἄρα ἡ ΔΖ εἶναι μεγαλυτέρα τῆς ΔΕ, ἤτοι ἡ μικροτέρα ἀπὸ τὴν μεγαλυτέραν· ὅπερ ἀδύνατον. Ἄρα ἡ ἐκ τοῦ Α πρὸς τὸ Β ἀγομένη εὐθεῖα δὲν θὰ πέσῃ ἐκτὸς τοῦ κύκλου. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι δὲν θὰ πέσῃ οὐδ' ἐπ' αὐτῆς τῆς περιφερείας· ἄρα θὰ πέσῃ ἐντός.

Ἐὰν ἄρα ἐπὶ τῆς περιφερείας κύκλου ληφθοῦν δύο τυχόντα σημεῖα, ἡ εὐθεῖα ἡ ἑνοῦσα τὰ σημεῖα θὰ πέσῃ ἐντὸς τοῦ κύκλου· ὅπερ ἔδει δεῖξαι.

γ'.

Ἐὰν ἐν κύκλῳ εὐθεῖά τις διὰ τοῦ κέντρου εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου δίχα τέμνῃ, καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει· καὶ ἐὰν πρὸς ὀρθὰς αὐτὴν τέμνῃ, καὶ δίχα αὐτὴν τέμνει.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ ἐν αὐτῷ εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΓΔ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΒ δίχα τεμνέτω κατὰ τὸ Ζ σημεῖον· λέγω, ὅτι καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ ΑΒΓ κύκλου, καὶ ἔστω τὸ Ε, καὶ ἐπεζεύχθωσαν αἱ ΕΑ, ΕΒ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΖ τῇ ΖΒ, κοινὴ δὲ ἡ ΖΕ, δύο δυσὶν ἴσαι [εἰσίν]· καὶ βάσις ἡ ΕΑ βάσει τῇ ΕΒ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΑΖΕ γωνίᾳ τῇ ὑπὸ ΒΖΕ ἴση ἐστίν. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν· ἑκατέρα ἄρα τῶν ὑπὸ ΑΖΕ, ΒΖΕ ὀρθή ἐστιν. ἡ ΓΔ ἄρα διὰ τοῦ κέντρου οὖσα τὴν ΑΒ μὴ διὰ τοῦ κέντρου οὖσαν δίχα έμνουστα καὶ πρὸς ὀρθὰς τέμνει.



Ἀλλὰ δὴ ἡ ΓΔ τὴν ΑΒ πρὸς ὀρθὰς τεμνέτω· λέγω, ὅτι καὶ δίχα αὐτὴν τέμνει, τουτέστιν, ὅτι ἴση ἐστὶν ἡ ΑΖ τῇ ΖΒ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ ἴση ἐστὶν ἡ ΕΑ τῇ ΕΒ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΕΑΖ τῇ ὑπὸ ΕΒΖ. ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΑΖΕ ὀρθῇ τῇ ὑπὸ ΒΖΕ ἴση· δύο ἄρα τρίγωνά ἐστι τὰ ΕΑΖ, ΕΖΒ τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην κοινὴν αὐτῶν τὴν ΕΖ ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει· ἴση ἄρα ἡ ΑΖ τῇ ΖΒ.

Ἐὰν ἄρα ἐν κύκλῳ εὐθεῖά τις διὰ τοῦ κέντρου εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου δίχα τέμνῃ, καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει· καὶ ἐὰν πρὸς ὀρθὰς αὐτὴν τέμνῃ, καὶ δίχα αὐτὴν τέμνει· ὅπερ ἔδει δεῖξαι.

δ'.

Ἐὰν ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας μὴ διὰ τοῦ κέντρου οὖσαι, οὐ τέμνουσιν ἀλλήλας δίχα.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν αὐτῷ δύο εὐθεῖαι αἱ ΑΓ, ΒΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε μὴ διὰ τοῦ κέντρου οὖσαι· λέγω, ὅτι οὐ τέμνουσιν ἀλλήλας δίχα.



Εἰ γὰρ δυνατόν, τεμνέτωσαν ἀλλήλας δίχα ὥστε ἴσην εἶναι τὴν μὲν ΑΕ τῇ ΕΓ, τὴν δὲ ΒΕ τῇ ΕΔ· καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓΔ κύκλου, καὶ ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΖΕ.

3.

Ἐὰν εἰς κύκλον εὐθεῖά τις διερχομένη διὰ τοῦ κέντρου τέμνῃ εἰς τὸ μέσον εὐθεῖάν τινα μὴ διερχομένην διὰ τοῦ κέντρου, θὰ εἶναι καὶ κάθετος ἐπ' αὐτήν· καὶ ἐὰν εἶναι κάθετος ἐπ' αὐτὴν θὰ τέμνῃ αὐτὴν εἰς τὸ μέσον.

Ἔστω ὁ κύκλος ΑΒΓ καὶ εἰς αὐτὸν εὐθεῖά τις διερχομένη διὰ τοῦ κέντρου ἡ ΓΔ, τέμνουσα εὐθεῖάν τινα μὴ διερχομένην διὰ τοῦ κέντρου τὴν ΑΒ εἰς τὸ μέσον, κατὰ τὸ σημεῖον Ζ· λέγω, ὅτι εἶναι καὶ κάθετος ἐπ' αὐτήν.

Διότι, ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου ΑΒΓ (III.1) ἔστω τὸ Ε, καὶ ἂς ἀχθοῦν αἱ ΕΑ, ΕΒ.

Καὶ ἐπειδὴ ἡ ΑΖ εἶναι ἴση πρὸς τὴν ΖΒ, ἡ δὲ ΖΕ κοινή, ὑπάρχουν δύο πλευραὶ ἴσαι πρὸς δυὸ πλευρὰς ἀντιστοίχως· καὶ ἡ βάσις ΕΑ εἶναι ἴση πρὸς τὴν βάσιν ΕΒ· ἄρα ἡ γωνία ΑΖΕ εἶναι ἴση πρὸς τὴν γωνίαν ΒΖΕ (I.8). Ὅταν δὲ εὐθεῖα ἀγομένη ἐκ σημείου εὐθείας σχηματίζῃ τὰς ἐφεξῆς γωνίας ἴσας (I, ὁρ. 10), ἑκάστη τῶν ἐφεξῆς γωνιῶν εἶναι ὀρθή· ἄρα ἑκάστη τῶν ΑΖΕ, ΒΖΕ εἶναι ὀρθή. Ἄρα ἡ ΓΔ διερχομένη διὰ τοῦ κέντρου καὶ τέμνουσα τὴν ΑΒ μὴ διερχομένην διὰ τοῦ κέντρου, εἰς τὸ μέσον, εἶναι κάθετος ἐπ' αὐτήν.

Ἂς εἶναι τώρα ἡ ΓΔ κάθετος ἐπὶ τὴν ΑΒ· λέγω, ὅτι τέμνει αὐτὴν εἰς τὸ μέσον, ὅτι δηλ. ἡ ΑΖ εἶναι ἴση πρὸς τὴν ΖΒ.

Διότι, ἀφοῦ γίνῃ ἡ αὐτὴ κατασκευή, ἐπειδὴ ἡ ΕΑ εἶναι ἴση πρὸς τὴν ΕΒ, εἶναι καὶ ἡ γωνία ΕΑΖ ἴση πρὸς τὴν ΕΒΖ (I.5). Εἶναι δὲ καὶ ἡ ὀρθὴ ἡ ΑΖΕ ἴση πρὸς τὴν ὀρθὴν τὴν ΒΖΕ· ἄρα ὑπάρχουν δύο τρίγωνα τὰ ΕΑΖ, ΕΖΒ, τὰ ὁποῖα ἔχουν δύο γωνίας ἴσας καὶ μίαν πλευρὰν ἴσην, ὡς κοινήν, τὴν ΕΖ, κειμένην ἀπέναντι μιᾶς τῶν ἴσων γωνιῶν· ἄρα θὰ ἔχουν καὶ τὰς ἄλλας πλευρὰς ἴσας ἀντιστοίχως (I.26)· ἄρα ἡ ΑΖ εἶναι ἴση πρὸς τὴν ΖΒ.

Ἐὰν ἄρα εἰς κύκλον εὐθεῖά τις διερχομένη διὰ τοῦ κέντρου τέμνῃ εὐθεῖάν τινα μὴ διερχομένην διὰ τοῦ κέντρου εἰς τὸ μέσον, εἶναι καὶ κάθετος ἐπ' αὐτήν· καὶ ἐὰν εἶναι κάθετος ἐπ' αὐτήν, θὰ τὴν τέμνῃ εἰς τὸ μέσον· ὅπερ ἔδει δεῖξαι.

4.

Ἐὰν εἰς κύκλον δύο εὐθεῖαι τέμνωνται μεταξύ των μὴ διερχόμεναι διὰ τοῦ κέντρου, δὲν τέμνονται εἰς τὸ μέσον.

Ἔστω ὁ κύκλος ΑΒΓΔ, καὶ δύο εὐθεῖαι ἐντὸς αὐτοῦ αἱ ΑΓ, ΒΔ, ἂς τέμνωνται μεταξύ των κατὰ τὸ Ε, νὰ μὴ διέρχωνται ὅμως διὰ τοῦ κέντρου· λέγω, ὅτι αἱ εὐθεῖαι δὲν τέμνονται εἰς τὸ μέσον.

Διότι, εἰ δυνατόν, ἂς τέμνωνται μεταξύ των αἱ εὐθεῖαι εἰς τὸ μέσον, ὥστε ἡ μὲν ΑΕ νὰ εἶναι ἴση πρὸς τὴν ΕΓ, ἡ δὲ ΒΕ πρὸς τὴν ΕΔ· καὶ ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου ΑΒΓΔ, καὶ ἔστω τὸ Ζ (III.1) καὶ ἂς ἀχθῇ ἡ ΖΕ.

Ἐπεὶ οὖν εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΖΕ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΓ δίχα τέμνει, καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΕΑ· πάλιν, ἐπεὶ εὐθεῖά τις ἡ ΖΕ εὐθεῖάν τινα τὴν ΒΔ δίχα τέμνει, καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει· ὀρθὴ ἄρα ἡ ὑπὸ ΖΕΒ, ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΖΕΑ ὀρθή· ἴση ἄρα ἡ ὑπὸ ΖΕΑ τῇ ὑπὸ ΖΕΒ ἡ ἐλάττων τῇ μείζονι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα αἱ ΑΓ, ΒΔ τέμνουσιν ἀλλήλας δίχα.

Ἐὰν ἄρα ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας μὴ διὰ τοῦ κέντρου οὖσαι, οὐ τέμνουσιν ἀλλήλας δίχα· ὅπερ ἔδει δεῖξαι.

ε'.

Ἐὰν δύο κύκλοι τέμνωσιν ἀλλήλους, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΓΔΗ τεμνέτωσαν ἀλλήλους κατὰ τὰ Β, Γ σημεῖα. λέγω, ὅτι οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον.



Εἰ γὰρ δυνατόν, ἔστω τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΕΓ, καὶ διήχθω ἡ ΕΖΗ, ὡς ἔτυχεν. καὶ ἐπεὶ τὸ Ε σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου, ἴση ἐστὶν ἡ ΕΓ τῇ ΕΖ. πάλιν, ἐπεὶ τὸ Ε σημεῖον κέντρον ἐστὶ τοῦ ΓΔΗ κύκλου, ἴση ἐστὶν ἡ ΕΓ τῇ ΕΗ· ἐδείχθη δὲ ἡ ΕΓ καὶ τῇ ΕΖ ἴση· καὶ ἡ ΕΖ ἄρα τῇ ΕΗ ἐστιν ἴση ἡ ἐλάσσων τῇ μείζονι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τὸ Ε σημεῖον κέντρον ἐστὶ τῶν ΑΒΓ, ΓΔΗ κύκλων.

Ἐὰν ἄρα δύο κύκλοι τέμνωσιν ἀλλήλους, οὐκ ἔστιν αὐτῶν τὸ αὐτὸ κέντρον· ὅπερ ἔδει δεῖξαι.

ϛ'.

Ἐὰν δύο κύκλοι ἐφάπτωνται ἀλλήλων, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΓΔΕ ἐφαπτέσθωσαν ἀλλήλων κατὰ τὸ Γ σημεῖον· λέγω, ὅτι οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον.

Εἰ γὰρ δυνατόν, ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΖΓ, καὶ διήχθω, ὡς ἔτυχεν, ἡ ΖΕΒ.



Ἐπεὶ οὖν τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου, ἴση ἐστὶν ἡ ΖΓ τῇ ΖΒ. πάλιν, ἐπεὶ τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ ΓΔΕ κύκλου, ἴση ἐστὶν ἡ ΖΓ τῇ ΖΕ. ἐδείχθη δὲ ἡ ΖΓ τῇ ΖΒ ἴση· καὶ ἡ ΖΕ ἄρα τῇ ΖΒ ἐστιν ἴση, ἡ ἐλάττων τῇ μείζονι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τὸ Ζ σημεῖον κέντρον ἐστὶ τῶν ΑΒΓ, ΓΔΕ κύκλων.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται ἀλλήλων, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον· ὅπερ ἔδει δεῖξαι.

Ἐπειδὴ λοιπὸν εὐθεῖά τις ἡ ΖΕ διέρχεται διὰ τοῦ κέντρου καὶ τέμνει εἰς τὸ μέσον τὴν μὴ διὰ τοῦ κέντρου διερχομένην τὴν ΑΓ, ἕπεται, ὅτι εἶναι κάθετος ἐπ' αὐτήν (III. 3)· ἄρα ἡ γωνία ΖΕΑ εἶναι ὀρθή· πάλιν, ἐπειδὴ εὐθεῖά τις ἡ ΖΕ, τέμνει εὐθεῖάν τινα τὴν ΒΔ εἰς τὸ μέσον, εἶναι κάθετος ἐπ' αὐτήν· ἄρα ἡ γωνία ΖΕΒ εἶναι ὀρθή. Ἐδείχθη δὲ ὅτι καὶ ἡ ΖΕΑ εἶναι ὀρθή· ἄρα ἡ ΖΕΑ εἶναι ἴση πρὸς τὴν ΖΕΒ, δηλ. ἡ μικροτέρα πρὸς τὴν μεγαλυτέραν· ὅπερ ἀδύνατον. Ἄρα αἱ εὐθεῖαι ΑΓ, ΒΔ δὲν τέμνονται μεταξύ των εἰς τὸ μέσον.

Ἐὰν ἄρα εἰς κύκλον δύο εὐθεῖαι μὴ διερχόμεναι διὰ τοῦ κέντρου τέμνωνται μεταξύ των, δὲν τέμνονται μεταξύ των εἰς τὸ μέσον· ὅπερ ἔδει δεῖξαι.

5.

Ἐὰν δύο κύκλοι τέμνωνται μεταξύ των δὲν θὰ ἔχουν τὸ αὐτὸ κέντρον.

Διότι, ἂς τέμνωνται μεταξύ των οἱ δύο κύκλοι ΑΒΓ, ΓΔΗ κατὰ τὰ σημεῖα Β, Γ. Λέγω, ὅτι οὗτοι δὲν θὰ ἔχουν τὸ αὐτὸ κέντρον.

Διότι, ἐὰν εἶναι δυνατόν, ἔστω ὅτι ἔχουν τὸ αὐτὸ κέντρον τὸ Ε, καὶ ἂς ἀχθῇ ἡ ΕΖΗ, ὡς ἔτυχεν. Καὶ ἐπειδὴ τὸ σημεῖον Ε εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ, ἡ ΕΓ εἶναι ἴση πρὸς τὴν ΕΖ. Πάλιν ἐπειδὴ τὸ σημεῖον Ε εἶναι κέντρον τοῦ κύκλου ΓΔΗ, ἡ ΕΓ εἶναι ἴση πρὸς τὴν ΕΗ· ἐδείχθη δέ, ὅτι ἡ ΕΓ εἶναι ἴση πρὸς τὴν ΕΖ· ἄρα καὶ ἡ ΕΖ εἶναι ἴση πρὸς τὴν ΕΗ, ἤτοι ἡ μικροτέρα εἶναι ἴση πρὸς τὴν μεγαλυτέραν· ὅπερ ἀδύνατον. Ἄρα τὸ σημεῖον Ε δὲν εἶναι κέντρον τῶν κύκλων ΑΒΓ, ΓΔΗ.

Ἐὰν ἄρα δύο κύκλοι τέμνωνται μεταξύ των, δὲν θὰ ἔχουν τὸ αὐτὸ κέντρον· ὅπερ ἔδει δεῖξαι.

6.

Ἐὰν δύο κύκλοι ἐφάπτωνται μεταξύ των δὲν θὰ ἔχουν τὸ αὐτὸ κέντρον.

Διότι, ἂς ἐφάπτωνται μεταξύ των οἱ δύο κύκλοι ΑΒΓ, ΓΔΕ κατὰ τὸ σημεῖον Γ· λέγω, ὅτι δὲν θὰ ἔχουν τὸ αὐτὸ κέντρον.

Διότι, ἐὰν εἶναι δυνατόν, ἔστω ὅτι ἔχουν τὸ αὐτὸ κέντρον τὸ Ζ, καὶ ἂς ἀχθῇ ἡ ΖΓ καὶ ἂς διαχθῇ, ὡς ἔτυχεν, ἡ ΖΕΒ. Ἐπειδὴ λοιπὸν τὸ σημεῖον Ζ εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ, ἡ ΖΓ εἶναι ἴση πρὸς τὴν ΖΒ. Πάλιν, ἐπειδὴ τὸ σημεῖον Ζ εἶναι κέντρον τοῦ κύκλου ΓΔΕ, ἡ ΖΓ εἶναι ἴση πρὸς τὴν ΖΕ. Ἐδείχθη δέ, ὅτι ἡ ΖΓ εἶναι ἴση πρὸς τὴν ΖΒ· ἄρα καὶ ἡ ΖΕ εἶναι ἴση πρὸς τὴν ΖΒ, ἤτοι ἡ μικροτέρα πρὸς τὴν μεγαλυτέραν· ὅπερ ἀδύνατον. Ἄρα τὸ σημεῖον Ζ δὲν εἶναι κέντρον τῶν κύκλων ΑΒΓ, ΓΔΕ.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται μεταξύ των, δὲν θὰ ἔχουν τὸ αὐτὸ κέντρον· ὅπερ ἔδει δεῖξαι.

ζ'.

Ἐὰν κύκλου ἐπὶ τῆς διαμέτρου ληφθῇ τι σημεῖον, ὃ μή ἐστι κέντρον τοῦ κύκλου, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσιν εὐθεῖαί τινες, μεγίστη μὲν ἔσται, ἐφ' ἧς τὸ κέντρον, ἐλαχίστη δὲ ἡ λοιπή, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν, δύο δὲ μόνον ἴσαι ἀπὸ τοῦ σημείου προσπεσοῦνται πρὸς τὸν κύκλον ἐφ' ἑκάτερα τῆς ἐλαχίστης.

Ἔστω κύκλος ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΑΔ, καὶ ἐπὶ τῆς ΑΔ εἰλήφθω τι σημεῖον τὸ Ζ, ὃ μή ἐστι κέντρον τοῦ κύκλου, κέντρον δὲ τοῦ κύκλου ἔστω τὸ Ε, καὶ ἀπὸ τοῦ Ζ πρὸς τὸν ΑΒΓΔ κύκλον προσπιπτέτωσαν εὐθεῖαί τινες αἱ ΖΒ, ΖΓ, ΖΗ· λέγω, ὅτι μεγίστη μέν ἐστιν ἡ ΖΑ, ἐλαχίστη δὲ ἡ ΖΔ, τῶν δὲ ἄλλων ἡ μὲν ΖΒ τῆς ΖΓ μείζων, ἡ δὲ ΖΓ τῆς ΖΗ.



Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΓΕ, ΗΕ. καὶ ἐπεὶ παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσιν, αἱ ἄρα ΕΒ, ΕΖ τῆς ΒΖ μείζονές εἰσιν. ἴση δὲ ἡ ΑΕ τῇ ΒΕ [αἱ ἄρα ΒΕ, ΕΖ ἴσαι εἰσὶ τῇ ΑΖ]· μείζων ἄρα ἡ ΑΖ τῆς ΒΖ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΒΕ τῇ ΓΕ, κοινὴ δὲ ἡ ΖΕ, δύο δὴ αἱ ΒΕ, ΕΖ δυσὶ ταῖς ΓΕ, ΕΖ ἴσαι εἰσίν. ἀλλὰ καὶ γωνία ἡ ὑπὸ ΒΕΖ γωνίας τῆς ὑπὸ ΓΕΖ μείζων· βάσις ἄρα ἡ ΒΖ βάσεως τῆς ΓΖ μείζων ἐστίν. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΓΖ τῆς ΖΗ μείζων ἐστίν.

Πάλιν, ἐπεὶ αἱ ΗΖ, ΖΕ τῆς ΕΗ μείζονές εἰσιν, ἴση δὲ ἡ ΕΗ τῇ ΕΔ, αἱ ἄρα ΗΖ, ΖΕ τῆς ΕΔ μείζονές εἰσιν. κοινὴ ἀφῃρήσθω ἡ ΕΖ· λοιπὴ ἄρα ἡ ΗΖ λοιπῆς τῆς ΖΔ μείζων ἐστίν. μεγίστη μὲν ἄρα ἡ ΖΑ, ἐλαχίστη δὲ ἡ ΖΔ, μείζων δὲ ἡ μὲν ΖΒ τῆς ΖΓ, ἡ δὲ ΖΓ τῆς ΖΗ.

Λέγω, ὅτι καὶ ἀπὸ τοῦ Ζ σημείου δύο μόνον ἴσαι προσπεσοῦνται πρὸς τὸν ΑΒΓΔ κύκλον ἐφ' ἑκάτερα τῆς ΖΔ ἐλαχίστης. συνεστάτω γὰρ πρὸς τῇ ΕΖ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ε τῇ ὑπὸ ΗΕΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΖΕΘ, καὶ ἐπεζεύχθω ἡ ΖΘ· ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΗΕ τῇ ΕΘ, κοινὴ δὲ ἡ ΕΖ· δύο δὴ αἱ ΗΕ, ΕΖ δυσὶ ταῖς ΘΕ, ΕΖ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΗΕΖ γωνίᾳ τῇ ὑπὸ ΘΕΖ ἴση· βάσις ἄρα ἡ ΖΗ βάσει τῇ ΖΘ ἴση ἐστίν. λέγω δή, ὅτι τῇ ΖΗ ἄλλη ἴση οὐ προσπεσεῖται πρὸς τὸν κύκλον ἀπὸ τοῦ Ζ σημείου· εἰ γὰρ δυνατόν, προσπιπτέτω ἡ ΖΚ. καὶ ἐπεὶ ἡ ΖΚ τῇ ΖΗ ἴση ἐστίν, ἀλλὰ ἡ ΖΘ τῇ ΖΗ (ἴση ἐστίν), καὶ ἡ ΖΚ ἄρα τῇ ΖΘ ἐστιν ἴση, ἡ ἔγγιον τῆς διὰ τοῦ κέντρου τῇ ἀπώτερον ἴση· ὅπερ ἀδύνατον· οὐκ ἄρα ἀπὸ τοῦ Ζ σημείου ἑτέρα τις προσπεσεῖται πρὸς τὸν κύκλον ἴση τῇ ΗΖ· μία ἄρα μόνη.

7.

Ἐὰν ἐπὶ τῆς διαμέτρου κύκλου ληφθῇ σημεῖόν τι, τὸ ὁποῖον νὰ μὴ εἶναι κέντρον τοῦ κύκλου, ἀπὸ τοῦ ληφθέντος δὲ σημείου ἀχθοῦν πρὸς τὴν περιφέρειαν εὐθεῖαί τινες, μεγίστη μὲν θὰ εἶναι ἐκείνη ἐπὶ τῆς ὁποίας κεῖται τὸ κέντρον, ἐλαχίστη δὲ ἡ ὑπόλοιπος, τῶν δὲ ἄλλων ἡ εὑρισκομένη πλησιέστερον πρὸς τὸ κέντρον θὰ εἶναι πάντοτε μεγαλυτέρα τῆς εὑρισκομένης μακρύτερον, δύο δὲ μόνον ἴσαι ἀπὸ τοῦ σημείου πρὸς τὴν περιφέρειαν θὰ προσπέσουν ἑκατέρωθεν τῆς ἐλαχίστης.

Ἔστω ὁ κύκλος ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΑΔ, καὶ ἐπὶ τῆς ΑΔ ἂς ληφθῇ σημεῖόν τι τὸ Ζ, τὸ ὁποῖον νὰ μὴ εἶναι κέντρον τοῦ κύκλου, ἂς εἶναι δὲ κέντρον τοῦ κύκλου τὸ Ε, καὶ ἀπὸ τὸ Ζ ἂς ἀχθοῦν πρὸς τὴν περιφέρειαν εὐθεῖαί τινες αἱ ΖΒ, ΖΓ, ΖΗ· λέγω, ὅτι μεγίστη μὲν εἶναι ἡ ΖΑ, ἐλαχίστη δὲ ἡ ΖΔ, τῶν δὲ ἄλλων ἡ μὲν ΖΒ εἶναι μεγαλυτέρα τῆς ΖΓ, ἡ δὲ ΖΓ εἶναι μεγαλυτέρα τῆς ΖΗ.

Διότι, ἂς ἀχθοῦν αἱ ΒΕ, ΓΕ, ΗΕ. Καὶ ἐπειδὴ παντὸς τριγώνου αἱ δύο πλευραὶ εἶναι μεγαλύτεραι τῆς τρίτης (Ι.20), ἕπεται, ὅτι αἱ ΕΒ, ΕΖ εἶναι μεγαλύτεραι τῆς ΒΖ. Εἶναι δὲ ἡ ΑΕ ἴση πρὸς τὴν ΒΕ [ἄρα αἱ ΒΕ, ΕΖ εἶναι ἴσαι πρὸς τὴν ΑΖ]· ἄρα ἡ ΑΖ εἶναι μεγαλυτέρα τῆς ΒΖ. Πάλιν, ἐπειδὴ ἡ ΒΕ εἶναι ἴση πρὸς τὴν ΓΕ, ἡ δὲ ΖΕ εἶναι κοινή, ὑπάρχουν δύο εὐθεῖαι αἱ ΒΕ, ΕΖ ἀντιστοίχως ἴσαι πρὸς δύο τὰς ΓΕ, ΕΖ. Ἀλλὰ καὶ ἡ γωνία ΒΕΖ εἶναι μεγαλυτέρα τῆς γωνίας ΓΕΖ· ἄρα ἡ βάσις ΒΖ εἶναι μεγαλυτέρα τῆς βάσεως ΓΖ (Ι,24). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΓΖ εἶναι μεγαλυτέρα τῆς ΖΗ.

Πάλιν, ἐπειδὴ αἱ ΗΖ, ΖΕ εἶναι μεγαλύτεραι τῆς ΕΗ (Ι.20), ἡ δὲ ΕΗ εἶναι ἴση πρὸς τὴν ΕΔ, ἕπεται, ὅτι αἱ ΗΖ, ΖΕ εἶναι μεγαλύτεραι τῆς ΕΔ. Ἂς ἀφαιρεθῇ ἀπὸ ἀμφότερα ἡ κοινὴ ΕΖ· ἄρα ἡ ὑπόλοιπος ΗΖ εἶναι μεγαλυτέρα τῆς ὑπολοίπου ΖΔ. Ἄρα μεγίστη μὲν εἶναι ἡ ΖΑ ἐλαχίστη δὲ ἡ ΖΔ, μεγαλυτέρα δὲ ἡ μὲν ΖΒ τῆς ΖΓ, ἡ δὲ ΖΓ τῆς ΖΗ.

Λέγω, ὅτι καὶ ἀπὸ τοῦ σημείου Ζ δύο μόνον ἴσαι εὐθεῖαι ἄγονται πρὸς τὴν περιφέρειαν ΑΒΓΔ κείμεναι ἑκατέρωθεν τῆς ἐλαχίστης ΖΔ. Διότι, ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΕΖ καὶ ἐκ τοῦ σημείου αὐτῆς Ε (ὡς κορυφῆς) ἡ γωνία ΖΕΘ ἴση πρὸς τὴν ΗΕΖ (Ι. 23), καὶ ἂς ἀχθῇ ἡ ΖΘ. Ἐπειδὴ λοιπὸν ἡ ΗΕ εἶναι ἴση πρὸς τὴν ΕΘ, ἡ δὲ ΕΖ εἶναι κοινή, ὑπάρχουν δύο εὐθεῖαι αἱ ΗΕ, ΕΖ ἴσαι ἀντιστοίχως πρὸς δύο τὰς ΘΕ, ΕΖ· καὶ ἡ γωνία ΗΕΖ εἶναι ἴση πρὸς τὴν γωνίαν ΘΕΖ· ἄρα ἡ βάσις ΖΗ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΘ. Λέγω, ὅτι ἄλλη ἴση (ἐκτὸς τῆς ΖΘ) πρὸς τὴν ΖΗ δὲν ἄγεται ἐκ τοῦ σημείου Ζ πρὸς τὴν περιφέρειαν τοῦ κύκλου. Διότι, ἐὰν εἶναι δυνατόν, ἂς ἄγεται ἡ ΖΚ. Καὶ ἐπειδὴ ἡ ΖΚ εἶναι ἴση πρὸς τὴν ΖΗ, ἀλλὰ ἡ ΖΘ εἶναι ἴση πρὸς τὴν ΖΗ, ἕπεται, ὅτι καὶ ἡ ΖΚ εἶναι ἴση πρὸς τὴν ΖΘ, δηλ. ἡ ἐγγύτερον πρὸς τὸ κέντρον ἴση μὲ τὴν μακρύτερον· ὅπερ ἀδύνατον (κατὰ τὸ α΄ μέρος τοῦ θεωρ.). Ἄρα ἐκ τοῦ σημείου Ζ δὲν ἄγεται πρὸς τὴν περιφέρειαν τοῦ κύκλου ἄλλη ἴση πρὸς τὴν ΗΖ· ἄρα μία μόνη.

Ἐὰν ἄρα κύκλου ἐπὶ τῆς διαμέτρου ληφθῇ τι σημεῖον, ὃ μή ἐστι κέντρον τοῦ κύκλου, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσιν εὐθεῖαί τινες, μεγίστη μὲν ἔσται, ἐφ' ἧς τὸ κέντρον, ἐλαχίστη δὲ ἡ λοιπή, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν, δύο δὲ μόνον ἴσαι ἀπὸ τοῦ αὐτοῦ σημείου προσπεσοῦνται πρὸς τὸν κύκλον ἐφ' ἑκάτερα τῆς ἐλαχίστης· ὅπερ ἔδει δεῖξαι.

η'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐκτός, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον διαχθῶσιν εὐθεῖαί τινες, ὧν μία μὲν διὰ τοῦ κέντρου, αἱ δὲ λοιπαί, ὡς ἔτυχεν, τῶν μὲν πρὸς τὴν κοίλην περιφέρειαν προσπιπτουσῶν εὐθειῶν μεγίστη μέν ἐστιν ἡ διὰ τοῦ κέντρου, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν, τῶν δὲ πρὸς τὴν κυρτὴν περιφέρειαν προσπιπτουσῶν εὐθειῶν ἐλαχίστη μέν ἐστιν ἡ μεταξὺ τοῦ τε σημείου καὶ τῆς διαμέτρου, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς ἐλαχίστης τῆς ἀπώτερόν ἐστιν ἐλάττων, δύο δὲ μόνον ἴσαι ἀπὸ τοῦ σημείου προσπεσοῦνται πρὸς τὸν κύκλον ἐφ' ἑκάτερα τῆς ἐλαχίστης.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπ' αὐτοῦ διήχθωσαν εὐθεῖαί τινες αἱ ΔΑ, ΔΕ, ΔΖ, ΔΓ, ἔστω δὲ ἡ ΔΑ διὰ τοῦ κέντρου. λέγω, ὅτι τῶν μὲν πρὸς τὴν ΑΕΖΓ κοίλην περιφέρειαν προσπιπτουσῶν εὐθειῶν μεγίστη μέν ἐστιν ἡ διὰ τοῦ κέντρου ἡ ΔΑ, μείζων δὲ ἡ μὲν ΔΕ τῆς ΔΖ, ἡ δὲ ΔΖ τῆς ΔΓ, τῶν δὲ πρὸς τὴν ΘΛΚΗ κυρτὴν περιφέρειαν προσπιπτουσῶν εὐθειῶν ἐλαχίστη μέν ἐστιν ἡ ΔΗ ἡ μεταξὺ τοῦ σημείου καὶ τῆς διαμέτρου τῆς ΑΗ, ἀεὶ δὲ ἡ ἔγγιον τῆς ΔΗ ἐλαχίστης ἐλάττων ἐστὶ τῆς ἀπώτερον, ἡ μὲν ΔΚ τῆς ΔΛ, ἡ δὲ ΔΛ τῆς ΔΘ.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ ΑΒΓ κύκλου καὶ ἔστω τὸ Μ· καὶ ἐπεζεύχθωσαν αἱ ΜΕ, ΜΖ, ΜΓ, ΜΚ, ΜΛ, ΜΘ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΜ τῇ ΕΜ, κοινὴ προσκείσθω ἡ ΜΔ· ἡ ἄρα ΑΔ ἴση ἐστὶ ταῖς ΕΜ, ΜΔ. ἀλλ' αἱ ΕΜ, ΜΔ τῆς ΕΔ μείζονές εἰσιν· καὶ ἡ ΑΔ ἄρα τῆς ΕΔ μείζων ἐστίν. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΜΕ τῇ ΜΖ, κοινὴ δὲ ἡ ΜΔ, αἱ ΕΜ, ΜΔ ἄρα ταῖς ΖΜ, ΜΔ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΕΜΔ γωνίας τῆς ὑπὸ ΖΜΔ μείζων ἐστίν. βάσις ἄρα ἡ ΕΔ βάσεως τῆς ΖΔ μείζων ἐστίν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΖΔ τῆς ΓΔ μείζων ἐστίν· μεγίστη μὲν ἄρα ἡ ΔΑ μείζων δὲ ἡ μὲν ΔΕ τῆς ΔΖ, ἡ δὲ ΔΖ τῆς ΔΓ.

Ἐὰν ἄρα ἐπὶ τῆς διαμέτρου κύκλου ληφθῇ σημεῖόν τι τὸ ὁποῖον νὰ μὴ εἶναι κέντρον τοῦ κύκλου, ἀπὸ τοῦ ληφθέντος δὲ σημείου ἀχθοῦν πρὸς τὴν περιφέρειαν εὐθεῖαί τινες, μεγίστη μὲν θὰ εἶναι ἐκείνη ἐπὶ τῆς ὁποίας θὰ κεῖται τὸ κέντρον. ἐλαχίστη δὲ ἡ ὑπόλοιπος, τῶν δὲ ἄλλων ἡ εὑρισκομένη πλησιέστερον πρὸς τὸ κέντρον θὰ εἶναι πάντοτε μεγαλυτέρα τῆς εὑρισκομένης μακρύτερον, δύο δὲ μόνον ἴσαι ἀπὸ τοῦ σημείου πρὸς τὴν περιφέρειαν, θὰ προσπέσουν ἑκατέρωθεν τῆς ἐλαχίστης· ὅπερ ἔδει δεῖξαι.

8.

Ἐὰν ἐκτὸς κύκλου ληφθῇ σημεῖόν τι, ἀπὸ δὲ τοῦ σημείου διαχθοῦν πρὸς τὸν κύκλον εὐθεῖαί τινες, ἐκ τῶν ὁποίων ἡ μία μὲν νὰ διέρχεται διὰ τοῦ κέντρου, αἱ ἄλλαι δὲ ὡς ἔτυχεν, τῶν μὲν εὐθειῶν αἱ ὁποῖαι προσπίπτουν εἰς τὸ κοῖλον τῆς περιφερείας, μεγίστη μὲν εἶναι ἡ διερχομένη διὰ τοῦ κέντρου, τῶν δὲ ἄλλων, πάντοτε ἡ πλησιέστερον πρὸς τὸ κέντρον εἶναι μεγαλυτέρα τῆς ἀπώτερον αὐτοῦ, τῶν δὲ εὐθειῶν αἱ ὁποῖαι προσπίπτουν πρὸς τὸ κυρτὸν μέρος τῆς περιφερείας ἐλαχίστη μὲν εἶναι ἡ μεταξὺ τοῦ σημείου καὶ τῆς διαμέτρου, τῶν δὲ ἄλλων ἡ πλησιέστερον πρὸς τὴν ἐλαχίστην εἶναι πάντοτε μικροτέρα τῆς ἀπώτερον αὐτῆς, δύο δὲ μόνον ἴσαι εὐθεῖαι θὰ προσπέσουν ἀπὸ τοῦ σημείου πρὸς τὸν κύκλον, ἑκατέρωθεν τῆς ἐλαχίστης.

Ἔστω κύκλος ὁ ΑΒΓ καὶ ἂς ληφθῇ σημεῖόν τι Δ ἐκτὸς τοῦ κύκλου ΑΒΓ καὶ ἂς διαχθοῦν ἐκ τοῦ σημείου τούτου μερικαὶ εὐθεῖαι, ὅπως αἱ ΔΑ, ΔΕ, ΔΖ, ΔΓ καὶ ἂς διέρχεται διὰ τοῦ κέντρου ἡ ΔΑ. Λέγω, ὅτι τῶν μὲν εὐθειῶν αἱ ὁποῖαι προσπίπτουν εἰς τὸ κοῖλον μέρος τῆς περιφερείας τὸ ΑΕΖΓ, μεγίστη μὲν εἶναι ἡ διὰ τοῦ κέντρου διερχομένη ἡ ΔΑ, μεγαλυτέρα δὲ ἡ μὲν ΔΕ τῆς ΔΖ, ἡ δὲ ΔΖ τῆς ΔΓ, τῶν δὲ εὐθειῶν αἱ ὁποῖαι προσπίπτουν πρὸς τὸ κυρτὸν μέρος τῆς περιφερείας τὸ ΘΛΚΗ ἐλαχίστη μὲν εἶναι ἡ ΔΗ, ἡ ὁποία εὑρίσκεται μεταξὺ τοῦ σημείου καὶ τῆς διαμέτρου τῆς ΑΗ, πάντοτε δὲ ἡ πλησιέστερον πρὸς τὴν ἐλαχίστην ΔΗ εἶναι μικροτέρα τῆς εὑρισκομένης ἀπώτερον, ἡ μὲν ΔΚ τῆς ΔΛ, ἡ δὲ ΔΛ τῆς ΔΘ.

Διότι, ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου ΑΒΓ (III. 1) καὶ ἔστω τὸ Μ· καὶ ἂς ἀχθοῦν αἱ ΜΕ, ΜΖ, ΜΓ, ΜΚ, ΜΛ, ΜΘ.

Καὶ ἐπειδὴ ἡ ΑΜ εἶναι ἴση πρὸς τὴν ΕΜ, ἂς προστεθῇ εἰς ἀμφοτέρας ἡ ΜΔ· ἄρα ἡ ΑΔ εἶναι ἴση πρὸς τὰς ΕΜ, ΜΔ. Ἀλλὰ αἱ ΕΜ, ΜΔ εἶναι μεγαλύτεραι τῆς ΕΔ (I. 20)· ἄρα καὶ ἡ ΑΔ εἶναι μεγαλυτέρα τῆς ΕΔ. Πάλιν, ἐπειδὴ ἡ ΜΕ εἶναι ἴση πρὸς ΜΖ, κοινὴ δὲ ἡ ΜΔ, ἕπεται, ὅτι αἱ ΕΜ, ΜΔ εἶναι ἴσαι πρὸς τὰς ΖΜ, ΜΔ· καὶ ἡ γωνία ΕΜΔ εἶναι μεγαλυτέρα τῆς γωνίας ΖΜΔ. Ἄρα ἡ βάσις ΕΔ εἶναι μεγαλυτέρα τῆς βάσεως ΖΔ (I.24). Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἡ ΖΔ εἶναι μεγαλυτέρα τῆς ΓΔ· ἄρα μεγίστη μὲν εἶναι ἡ ΔΑ, μεγαλυτέρα δὲ ἡ μὲν ΔΕ τῆς ΔΖ, ἡ δὲ ΔΖ τῆς ΔΓ.



Καὶ ἐπεὶ αἱ ΜΚ, ΚΔ τῆς ΜΔ μείζονές εἰσιν, ἴση δὲ ἡ ΜΗ τῇ ΜΚ, λοιπὴ ἄρα ἡ ΚΔ λοιπῆς τῆς ΗΔ μείζων ἐστίν· ὥστε ἡ ΗΔ τῆς ΚΔ ἐλάττων ἐστίν· καὶ ἐπεὶ τριγώνου τοῦ ΜΛΔ ἐπὶ μιᾶς τῶν πλευρῶν τῆς ΜΔ δύο εὐθεῖαι ἐντὸς συνεστάθησαν αἱ ΜΚ, ΚΔ, αἱ ἄρα ΜΚ, ΚΔ τῶν ΜΛ, ΛΔ ἐλάττονές εἰσιν· ἴση δὲ ἡ ΜΚ τῇ ΜΛ· λοιπὴ ἄρα ἡ ΔΚ λοιπῆς τῆς ΔΛ ἐλάττων ἐστίν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΔΛ τῆς ΔΘ ἐλάττων ἐστὶν· ἐλαχίστη μὲν ἄρα ἡ ΔΗ, ἐλάττων δὲ ἡ μὲν ΔΚ τῆς ΔΛ ἡ δὲ ΔΛ τῆς ΔΘ.

Λέγω, ὅτι καὶ δύο μόνον ἴσαι ἀπὸ τοῦ Δ σημείου προσπεσοῦνται πρὸς τὸν κύκλον ἐφ' ἑκάτερα τῆς ΔΗ ἐλαχίστης· συνεστάτω πρὸς τῇ ΜΔ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Μ τῇ ὑπὸ ΚΜΔ γωνίᾳ ἴση γωνία ἡ ὑπὸ ΔΜΒ, καὶ ἐπεζεύχθω ἡ ΔΒ· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΜΚ τῇ ΜΒ, κοινὴ δὲ ἡ ΜΔ, δύο δὴ αἱ ΚΜ, ΜΔ δύο ταῖς ΒΜ, ΜΔ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΚΜΔ γωνίᾳ τῇ ὑπὸ ΒΜΔ ἴση· βάσις ἄρα ἡ ΔΚ βάσει τῇ ΔΒ ἴση ἐστίν. λέγω [δή], ὅτι τῇ ΔΚ εὐθείᾳ ἄλλη ἴση οὐ προσπεσεῖται πρὸς τὸν κύκλον ἀπὸ τοῦ Δ σημείου· εἰ γὰρ δυνατόν, προσπιπτέτω καὶ ἔστω ἡ ΔΝ. ἐπεὶ οὖν ἡ ΔΚ τῇ ΔΝ ἐστιν ἴση, ἀλλ' ἡ ΔΚ τῇ ΔΒ ἐστιν ἴση, καὶ ἡ ΔΒ ἄρα τῇ ΔΝ ἐστιν ἴση, ἡ ἔγγιον τῆς ΔΗ ἐλαχίστης τῇ ἀπώτερον [ἐστιν] ἴση· ὅπερ ἀδύνατον ἐδείχθη· οὐκ ἄρα πλείους ἢ δύο ἴσαι πρὸς τὸν ΑΒΓ κύκλον ἀπὸ τοῦ Δ σημείου ἐφ' ἑκάτερα τῆς ΔΗ ἐλαχίστης προσπεσοῦνται.

Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐκτός, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον διαχθῶσιν εὐθεῖαί τινες, ὧν μία μὲν διὰ τοῦ κέντρου, αἱ δὲ λοιπαί, ὡς ἔτυχεν, τῶν μὲν πρὸς τὴν κοίλην περιφέρειαν προσπιπτουσῶν εὐθειῶν μεγίστη μέν ἐστιν ἡ διὰ τοῦ κέντρου, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν, τῶν δὲ πρὸς τὴν κυρτὴν περιφέρειαν προσπιπτουσῶν εὐθειῶν ἐλαχίστη μέν ἐστιν ἡ μεταξὺ τοῦ τε σημείου καὶ τῆς διαμέτρου, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς ἐλαχίστης τῆς ἀπώτερόν ἐστιν ἐλάττων, δύο δὲ μόνον ἴσαι ἀπὸ τοῦ σημείου προσπεσοῦνται πρὸς τὸν κύκλον ἐφ' ἑκάτερα τῆς ἐλαχίστης· ὅπερ ἔδει δεῖξαι.

θ'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐντός, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσι πλείους ἢ δύο ἴσαι εὐθεῖαι, τὸ ληφθὲν σημεῖον κέντρον ἐστὶ τοῦ κύκλου.

Ἔστω κύκλος ὁ ΑΒΓ, ἐντὸς δὲ αὐτοῦ σημεῖον τὸ Δ, καὶ ἀπὸ τοῦ Δ πρὸς

Καὶ ἐπειδὴ αἱ ΜΚ, ΚΔ εἶναι μεγαλύτεραι τῆς ΜΔ (I.20), ἡ δὲ ΜΗ εἶναι ἴση πρὸς τὴν ΜΚ, ἕπεται, ὅτι ἡ ὑπόλοιπος ΚΔ εἶναι μεγαλυτέρα τῆς ὑπολοίπου ΗΔ· ὥστε ἡ ΗΔ εἶναι μικροτέρα τῆς ΚΔ· καὶ ἐπειδὴ ἐκ σημείου ἐντὸς τοῦ τριγώνου ΜΛΔ ἐπὶ τὰ ἄκρα μιᾶς τῶν πλευρῶν αὐτοῦ τῆς ΜΔ ἤχθησαν δύο εὐθεῖαι αἱ ΜΚ, ΚΔ, ἕπεται, ὅτι αἱ ΜΚ, ΚΔ εἶναι μικρότεραι τῶν ΜΛ, ΛΔ (I.21)· εἶναι δὲ ἴση ἡ ΜΚ πρὸς τὴν ΜΛ· ἄρα ἡ ὑπόλοιπος ΔΚ εἶναι μικροτέρα τῆς ὑπολοίπου ΔΛ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἡ ΔΛ εἶναι μικροτέρα τῆς ΔΘ· ἄρα εἶναι ἐλαχίστη μὲν ἡ ΔΗ, μικροτέρα δὲ ἡ μὲν ΔΚ τῆς ΔΛ, ἡ δὲ ΔΛ τῆς ΔΘ.

Λέγω ἀκόμη, ὅτι ἀπὸ τοῦ σημείου Δ θὰ προσπέσουν εἰς τὸν κύκλον μόνον δύο ἴσαι ἑκατέρωθεν τῆς ἐλαχίστης ΔΗ· ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΜΔ καὶ ἐκ τοῦ σημείου Μ (ὡ κορυφῆς) ἡ γωνία ΔΜΒ ἴση πὸς τὴν ΚΜΔ (I.23), καὶ ἂς ἀχθῇ ἡ ΔΒ. Καὶ ἐπειδὴ ἡ ΜΚ εἶναι ἴση πρὸς τὴν ΜΒ, κοινὴ δὲ ἡ ΜΔ, ὑπάρχουν δύο εὐθεῖαι αἱ ΜΚ, ΜΔ ἀντιστοίχως ἴσαι πρὸς δύο τὰς ΒΜ, ΜΔ· καὶ ἡ γωνία ΚΜΔ εἶναι ἴση πρὸς τὴν ΒΜΔ· ἄρα ἡ βάσις ΔΚ εἶναι ἴση πρὸς τὴν βάσιν ΔΒ (I.4). Λέγω, ὅτι ἄλλη εὐθεῖα ἴση πρὸς τὴν ΔΚ δὲν θὰ προσπέσῃ εἰς τὸν κύκλον ἀπὸ τοῦ σημείου Δ. Διότι, ἐὰν εἶναι δυνατόν, ἂς προσπέσῃ καὶ ἄλλη, καὶ ἔστω ἡ ΔΝ. Ἐπειδὴ λοιπὸν ἡ ΔΚ εἶναι ἴση πρὸς τὴν ΔΝ, ἀλλὰ ἡ ΔΚ εἶναι ἴση πρὸς τὴν ΔΒ, ἕπεται, ὅτι ἡ ΔΒ εἶναι ἴση πρὸς τὴν ΔΝ, δηλ. ἡ πλησιέστερον πρὸς τὴν ἐλαχίστην ΔΗ εἶναι ἴση πρὸς τὴν ἀπώτερον κειμένην· ὅπερ ἐδείχθη ἀδύνατον (κατὰ τὸ α' μέρος τοῦ θεωρ.). Ἄρα δὲν θὰ προσπέσουν ἐκ τοῦ σημείου Δ πρὸς τὸν κύκλον ΑΒΓ, περισσότεραι τῶν δύο εὐθεῖαι ἴσαι κείμεναι ἑκατέρωθεν τῆς ἐλαχίστης ΔΗ.

Ἐὰν ἄρα ἐκτὸς κύκλου ληφθῇ σημεῖόν τι, ἀπὸ δὲ τοῦ σημείου διαχθοῦν πρὸς τὸν κύκλον εὐθεῖαί τινες, ἐκ τῶν ὁποίων ἡ μία μὲν νὰ διέρχεται διὰ τοῦ κέντρου, αἱ ἄλλαι δὲ ὡς ἔτυχεν, τῶν μὲν εὐθειῶν αἱ ὁποῖαι προσπίπτουν εἰς τὸ κοῖλον τῆς περιφερείας, μεγίστη μὲν εἶναι ἡ διερχομένη διὰ τοῦ κέντρου, τῶν δὲ ἄλλων, πάντοτε ἡ πλησιέστερον πρὸς τὸ κέντρον εἶναι μεγαλυτέρα τῆς ἀπώτερον αὐτοῦ, τῶν δὲ εὐθειῶν αἱ ὁποῖαι προσπίπτουν πρὸς τὸ κυρτὸν μέρος τῆς περιφερείας, ἐλαχίστη μὲν εἶναι ἡ μεταξὺ τοῦ σημείου καὶ τῆς διαμέτρου. τῶν δὲ ἄλλων ἡ πλησιέστερον πρὸς τὴν ἐλαχίστην εἶναι πάντοτε μικροτέρα τῆς ἀπώτερον αὐτῆς, δύο δὲ μόνον ἴσαι εὐθεῖαι θὰ προσπέσουν ἀπὸ τοῦ σημείου πρὸς τὸν κύκλον ἑκατέρωθεν τῆς ἐλαχίστης· ὅπερ ἔδει δεῖξαι.

9.

Ἐὰν ἐντὸς κύκλου ληφθῇ σημεῖόν τι, ἀπὸ τοῦ σημείου δὲ προσπέσουν εἰς τὴν περιφέρειαν περισσότεραι τῶν δύο ἴσαι εὐθεῖαι, τὸ ληφθὲν σημεῖον εἶναι κέντρον τοῦ κύκλου.

Ἔστω ὁ κύκλος ΑΒΓ, ἐντὸς δὲ αὐτοῦ τὸ σημεῖον Δ, καὶ ἂς προσπέσουν *τὸν ΑΒΓ κύκλον προσπιπτέτωσαν πλείους ἢ δύο ἴσαι εὐθεῖαι αἱ ΔΑ, ΔΒ, ΔΓ. λέγω, ὅτι τὸ Δ σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου.*

Ἐπεζεύχθωσαν γὰρ αἱ ΑΒ, ΒΓ καὶ τετμήσθωσαν δίχα κατὰ τὰ Ε, Ζ σημεῖα, καὶ ἐπιζευχθεῖσαι αἱ ΕΔ, ΖΔ διήχθωσαν ἐπὶ τὰ Η, Κ, Θ, Λ σημεῖα.



Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΒ, κοινὴ δὲ ἡ ΕΔ, δύο δὴ αἱ ΑΕ, ΕΔ δύο ταῖς ΒΕ, ΕΔ ἴσαι εἰσίν· καὶ βάσις ἡ ΔΑ βάσει τῇ ΔΒ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΑΕΔ γωνίᾳ τῇ ὑπὸ ΒΕΔ ἴση ἐστίν· ὀρθὴ ἄρα ἑκατέρα τῶν ὑπὸ ΑΕΔ, ΒΕΔ γωνιῶν· ἡ ΗΚ ἄρα τὴν ΑΒ τέμνει δίχα καὶ πρὸς ὀρθάς. καὶ ἐπεί, ἐὰν ἐν κύκλῳ εὐθεῖά τις εὐθεῖάν τινα δίχα τε καὶ πρὸς ὀρθὰς τέμνῃ, ἐπὶ τῆς τεμνούσης ἐστὶ τὸ κέντρον τοῦ κύκλου, ἐπὶ τῆς ΗΚ ἄρα ἐστὶ τὸ κέντρον τοῦ κύκλου. διὰ τὰ αὐτὰ δὴ καὶ ἐπὶ τῆς ΘΛ ἐστι τὸ κέντρον τοῦ ΑΒΓ κύκλου. καὶ οὐδὲν ἕτερον κοινὸν ἔχουσιν αἱ ΗΚ, ΘΛ εὐθεῖαι ἢ τὸ Δ σημεῖον· τὸ Δ ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου.

Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐντός, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσι πλείους ἢ δύο ἴσαι εὐθεῖαι, τὸ ληφθὲν σημεῖον κέντρον ἐστὶ τοῦ κύκλου· ὅπερ ἔδει δεῖξαι.

ι'.

Κύκλος κύκλον οὐ τέμνει κατὰ πλείονα σημεῖα ἢ δύο.

Εἰ γὰρ δυνατόν, κύκλος ὁ ΑΒΓ κύκλον τὸν ΔΕΖ τεμνέτω κατὰ πλείονα σημεῖα ἢ δύο τὰ Β, Η, Ζ, Θ, καὶ ἐπιζευχθεῖσαι αἱ ΒΘ, ΒΗ δίχα τεμνέσθωσαν κατὰ τὰ Κ, Λ σημεῖα· καὶ ἀπὸ τῶν Κ, Λ ταῖς ΒΘ, ΒΗ πρὸς ὀρθὰς ἀχθεῖσαι αἱ ΚΓ, ΛΜ διήχθωσαν ἐπὶ τὰ Α, Ε σημεῖα.



Ἐπεὶ οὖν ἐν κύκλῳ τῷ ΑΒΓ εὐθεῖά τις ἡ ΑΓ εὐθεῖάν τινα τὴν ΒΘ δίχα καὶ πρὸς ὀρθὰς τέμνει, ἐπὶ τῆς ΑΓ ἄρα ἐστὶ τὸ κέντρον τοῦ ΑΒΓ κύκλου. πάλιν, ἐπεὶ ἐν κύκλῳ τῷ αὐτῷ τῷ ΑΒΓ εὐθεῖά τις ἡ ΝΞ εὐθεῖάν τινα τὴν ΒΗ δίχα καὶ πρὸς ὀρθὰς τέμνει, ἐπὶ τῆς ΝΞ ἄρα ἐστὶ τὸ κέντρον τοῦ ΑΒΓ κύκλου. ἐδείχθη δὲ καὶ ἐπὶ τῆς ΑΓ, καὶ κατ' οὐδὲν συμβάλλουσιν αἱ ΑΓ, ΝΞ εὐθεῖαι ἢ κατὰ τὸ Ο· τὸ Ο ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου· ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τοῦ ΔΕΖ κύκλου κέντρον ἐστὶ τὸ Ο· δύο ἄρα κύκλων τεμνόντων ἀλλήλους τῶν ΑΒΓ, ΔΕΖ τὸ αὐτό ἐστι κέντρον τὸ Ο· ὅπερ ἐστὶν ἀδύνατον.

Οὐκ ἄρα κύκλος κύκλον τέμνει κατὰ πλείονα σημεῖα ἢ δύο· ὅπερ ἔδει δεῖξαι.

ἀπὸ τοῦ σημείου Δ εἰς τὴν περιφέρειαν ΑΒΓ περισσότεραι τῶν δύο ἴσαι εὐθεῖαι αἱ ΔΑ, ΔΒ, ΔΓ· λέγω, ὅτι τὸ σημεῖον Δ εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ.

Διότι, ἂς ἀχθοῦν αἱ ΑΒ, ΒΓ καὶ ἂς τμηθοῦν εἰς τὸ μέσον κατὰ τὰ σημεῖα Ε, Ζ καὶ ἀφοῦ ἀχθοῦν αἱ εὐθεῖαι ΕΔ, ΖΔ, ἂς διαχθοῦν αὗται μέχρι τῶν σημείων Η, Κ, Θ, Λ.

Ἐπειδὴ λοιπὸν ἡ ΑΕ εἶναι ἴση πρὸς τὴν ΕΒ, ἡ δὲ ΕΔ εἶναι κοινή, ὑπάρχουν δύο εὐθεῖαι αἱ ΑΕ, ΕΔ ἴσαι ἀντιστοίχως πρὸς δύο τὰς ΒΕ, ΕΔ· καὶ ἡ βάσις ΔΑ εἶναι ἴση πρὸς τὴν βάσιν ΔΒ· ἄρα ἡ γωνία ΑΕΔ εἶναι ἴση πρὸς τὴν ΒΕΔ (Ι.8)· ἄρα ἑκάστη τῶν γωνιῶν ΑΕΔ, ΒΕΔ εἶναι ὀρθή (Ι. ὁρ. 10)· ἄρα ἡ ΗΚ τέμνει τὴν ΑΒ εἰς τὸ μέσον καὶ εἶναι κάθετος ἐπ' αὐτήν. Καὶ ἐπειδή, ἐὰν εἰς κύκλον εὐθεῖά τις τέμνῃ εὐθεῖάν τινα εἰς τὸ μέσον καὶ εἶναι κάθετος ἐπ' αὐτήν, τὸ κέντρον τοῦ κύκλου εὑρίσκεται ἐπὶ τῆς τεμνούσης, ἕπεται, ὅτι τὸ κέντρον τοῦ κύκλου κεῖται ἐπὶ τῆς ΗΚ (πόρ. III. 1). Διὰ τοὺς αὐτοὺς λόγους τὸ κέντρον τοῦ κύκλου ΑΒΓ κεῖται καὶ ἐπὶ τῆς ΘΛ. Αἱ εὐθεῖαι ὅμως ΗΚ, ΘΛ δὲν ἔχουν ἄλλο κοινὸν σημεῖον ἢ τὸ Δ· ἄρα τὸ σημεῖον Δ εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ.

Ἐὰν ἄρα ἐντὸς κύκλου ληφθῇ σημεῖόν τι, ἀπὸ δὲ τοῦ σημείου προσπέσουν εἰς τὴν περιφέρειαν περισσότεραι τῶν δύο εὐθεῖαι ἴσαι, τὸ ληφθὲν σημεῖον εἶναι κέντρον τοῦ κύκλου· ὅπερ ἔδει δεῖξαι.

10.

Κύκλος δὲν τέμνει κύκλον εἰς περισσότερα τῶν δύο σημεῖα.

Διότι, ἐὰν εἶναι δυνατόν, ἂς τέμνῃ ὁ κύκλος ΑΒΓ τὸν κύκλον ΔΕΖ εἰς περισσότερα τῶν δύο σημεῖα, τὰ Β, Η, Ζ, Θ καὶ ἀφοῦ ἀχθοῦν αἱ ΒΘ, ΒΗ ἂς τμηθοῦν εἰς τὸ μέσον κατὰ τὰ σημεῖα Κ, Λ· καὶ ἀφοῦ ἀχθοῦν ἀπὸ τῶν σημείων Κ, Λ αἱ ΚΓ, ΛΜ κάθετοι ἐπὶ τὰς ΒΘ, ΒΗ, ἂς ἀχθοῦν αὗται μέχρι τῶν σημείων Α, Ε.

Ἐπειδὴ λοιπὸν εἰς τὸν κύκλον ΑΒΓ εὐθεῖά τις ἡ ΑΓ τέμνει εὐθεῖάν τινα τὴν ΒΘ εἰς τὸ μέσον καὶ εἶναι κάθετος ἐπ' αὐτήν, ἕπεται, ὅτι τὸ κέντρον τοῦ κύκλου ΑΒΓ κεῖται ἐπὶ τῆς ΑΓ (πόρ. III. 1). Πάλιν, ἐπειδὴ εἰς τὸν αὐτὸν κύκλον ΑΒΓ εὐθεῖά τις ἡ ΝΞ τέμνει εἰς τὸ μέσον εὐθεῖάν τινα τὴν ΒΗ καὶ εἶναι κάθετος ἐπ' αὐτήν, ἕπεται, ὅτι τὸ κέντρον τοῦ κύκλου ΑΒΓ κεῖται ἐπὶ τῆς ΝΞ. Ἐδείχθη δὲ ὅτι κεῖται καὶ ἐπὶ τῆς ΑΓ, καὶ αἱ εὐθεῖαι ΑΓ, ΝΞ δὲν ἔχουν ἄλλο κοινὸν σημεῖον ἢ τὸ Ο· ἄρα τὸ σημεῖον Ο εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ τοῦ κύκλου ΔΕΖ κέντρον εἶναι τὸ Ο· ἄρα ὅταν δύο κύκλοι οἱ ΑΒΓ, ΔΕΖ τέμνωνται μεταξύ των, ἔχουν τὸ αὐτὸ κέντρον, τὸ Ο· ὅπερ ἀδύνατον (III. 5).

Ἄρα κύκλος δὲν τέμνει κύκλον εἰς περισσότερα τῶν δύο σημεῖα· ὅπερ ἔδει δεῖξαι.

ια΄.

Ἐὰν δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐντὸς καὶ ληφθῇ αὐτῶν τὰ κέντρα, ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη εὐθεῖα καὶ ἐκβαλλομένη ἐπὶ τὴν συναφὴν πεσεῖται τῶν κύκλων.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΑΔΕ ἐφαπτέσθωσαν ἀλλήλων ἐντὸς κατὰ τὸ Α σημεῖον, καὶ εἰλήφθω τοῦ μὲν ΑΒΓ κύκλου κέντρον τὸ Ζ, τοῦ δὲ ΑΔΕ τὸ Η· λέγω, ὅτι ἡ ἀπὸ τοῦ Η ἐπὶ τὸ Ζ ἐπιζευγνυμένη εὐθεῖα ἐκβαλλομένη ἐπὶ τὸ Α πεσεῖται.

Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, πιπτέτω ὡς ἡ ΖΗΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΑΗ.



Ἐπεὶ οὖν αἱ ΑΗ, ΗΖ τῆς ΖΑ, τουτέστι τῆς ΖΘ, μείζονές εἰσιν, κοινὴ ἀφῃρήσθω ἡ ΖΗ· λοιπὴ ἄρα ἡ ΑΗ λοιπῆς τῆς ΗΘ μείζων ἐστίν. ἴση δὲ ἡ ΑΗ τῇ ΗΔ· καὶ ἡ ΗΔ ἄρα τῆς ΗΘ μείζων ἐστὶν ἡ ἐλάττων τῆς μείζονος· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Η ἐπιζευγνυμένη εὐθεῖα ἐκτὸς πεσεῖται· κατὰ τὸ Α ἄρα ἐπὶ τῆς συναφῆς πεσεῖται.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐντός [καὶ ληφθῇ αὐτῶν τὰ κέντρα], ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη εὐθεῖα [καὶ ἐκβαλλομένη] ἐπὶ τὴν συναφὴν πεσεῖται τῶν κύκλων· ὅπερ ἔδει δεῖξαι.

ιβ΄.

Ἐὰν δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐκτός, ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη διὰ τῆς ἐπαφῆς ἐλεύσεται.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΑΔΕ ἐφαπτέσθωσαν ἀλλήλων ἐκτὸς κατὰ τὸ Α σημεῖον, καὶ εἰλήφθω τοῦ μὲν ΑΒΓ κέντρον τὸ Ζ, τοῦ δὲ ΑΔΕ τὸ Η· λέγω, ὅτι ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Η ἐπιζευγνυμένη εὐθεῖα διὰ τῆς κατὰ τὸ Α ἐπαφῆς ἐλεύσεται.



Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἐρχέσθω ὡς ἡ ΖΓΔΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΑΗ.

Ἐπεὶ οὖν τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου, ἴση ἐστὶν ἡ ΖΑ τῇ ΖΓ. πάλιν, ἐπεὶ τὸ Η σημεῖον κέντρον ἐστὶ τοῦ ΑΔΕ κύκλου, ἴση ἐστὶν ἡ ΗΑ τῇ ΗΔ. ἐδείχθη δὲ καὶ ἡ ΖΑ τῇ ΖΓ ἴση· αἱ ἄρα ΖΑ, ΑΗ ταῖς ΖΓ, ΗΔ ἴσαι εἰσίν· ὥστε ὅλη ἡ ΖΗ τῶν ΖΑ, ΑΗ μείζων ἐστίν· ἀλλὰ καὶ ἐλάττων, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Η ἐπιζευγνυμένη εὐθεῖα διὰ τῆς κατὰ τὸ Α ἐπαφῆς οὐκ ἐλεύσεται· δι' αὐτῆς ἄρα.

11.

Διότι, ἐπειδὴ τὸ ΑΒ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Ε καὶ τὸ ΓΔ τοῦ Ζ, ἄρα ὅσα μεγέθη ὑπάρχουσιν εἰς τὸ ΑΒ ἴσα πρὸς τὸ Ε, ἄλλα τόσα ὑπάρχουσιν εἰς τὸ ΓΔ ἴσα πρὸς τὸ Ζ. Ἂς διαιρεθῇ τὸ μὲν ΑΒ εἰς τὰ ἴσα πρὸς τὸ Ε μεγέθη, τὰ ΑΗ, ΗΒ, τὸ δὲ ΓΔ εἰς τὰ ἴσα πρὸς τὸ Ζ μεγέθη τὰ ΓΘ, ΘΔ· τότε τὸ πλῆθος τῶν μεγεθῶν ΑΗ, ΗΒ θὰ εἶναι ἴσον πρὸς τὸ πλῆθος τῶν ΓΘ, ΘΔ. Καὶ ἐπειδὴ τὸ μὲν ΑΗ εἶναι ἴσον πρὸς τὸ Ε, τὸ δὲ ΓΘ πρὸς τὸ Ζ, ἄρα τὸ ΑΗ εἶναι ἴσον πρὸς τὸ Ε καὶ τὸ ἄθροισμα ΑΗ+ΓΘ = Ε+Ζ. Διὰ τὸν αὐτὸν λόγον εἶναι ἴσον τὸ ΗΒ πρὸς τὸ Ε καὶ τὸ ἄθροισμα ΗΒ+ΘΔ= Ε+Ζ· ὅσα ἄρα περιέχονται εἰς τὸ ΑΒ ἴσα πρὸς τὸ Ε, ἄλλα τόσα περιέχονται εἰς τὸ ἄθροισμα ΑΒ+ΓΔ, ἴσα πρὸς τὸ ἄθροισμα Ε+Ζ· ὁσαπλάσιον ἄρα εἶναι τὸ ΑΒ τοῦ Ε, τοσαυταπλάσιον εἶναι καὶ τὸ ἄθροισμα ΑΒ+ΓΔ τοῦ ἀθροίσματος Ε+Ζ.

Ἐὰν ἄρα ᾖ ὁποσαοῦν μεγέθη ὁποσωνοῦν μεγεθῶν ἴσων τὸ πλῆθος ἕκαστον ἑκάστου ἰσάκις πολλαπλάσιον, ὁσαπλάσιόν ἐστιν ἓν τῶν μεγεθῶν ἑνός, τοσαυταπλάσια ἔσται καὶ τὰ πάντα τῶν πάντων· ὅπερ ἔδει δεῖξαι.

β'.

Ἐὰν πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, ᾖ δὲ καὶ πέμπτον δευτέρου ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τετάρτου, καὶ συντεθὲν πρῶτον καὶ πέμπτον δευτέρου ἰσάκις ἔσται πολλαπλάσιον καὶ τρίτον καὶ ἕκτον τετάρτου.

Πρῶτον γὰρ τὸ ΑΒ δευτέρου τοῦ Γ ἰσάκις ἔστω πολλαπλάσιον καὶ τρίτον τὸ ΔΕ τετάρτου τοῦ Ζ, ἔστω δὲ καὶ πέμπτον τὸ ΒΗ δευτέρου τοῦ Γ ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τὸ ΕΘ τετάρτου τοῦ Ζ· λέγω, ὅτι καὶ συντεθὲν πρῶτον καὶ πέμπτον τὸ ΑΗ δευτέρου τοῦ Γ ἰσάκις ἔσται πολλαπλάσιον καὶ τρίτον καὶ ἕκτον τὸ ΔΘ τετάρτου τοῦ Ζ.



Ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ, ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ ἴσα τῷ Γ, τοσαῦτα καὶ ἐν τῷ ΔΕ ἴσα τῷ Ζ. διὰ τὰ αὐτὰ δὴ καὶ ὅσα ἐστὶν ἐν τῷ ΒΗ ἴσα τῷ Γ, τοσαῦτα καὶ ἐν τῷ ΕΘ ἴσα τῷ Ζ· ὅσα ἄρα ἐστὶν ἐν ὅλῳ τῷ ΑΗ ἴσα τῷ Γ, τοσαῦτα καὶ ἐν ὅλῳ τῷ ΔΘ ἴσα τῷ Ζ· ὁσαπλάσιον ἄρα ἐστὶ τὸ ΑΗ τοῦ Γ, τοσαυταπλάσιον ἔσται καὶ τὸ ΔΘ τοῦ Ζ· καὶ συντεθὲν ἄρα πρῶτον καὶ πέμπτον τὸ ΑΗ δευτέρου τοῦ Γ ἰσάκις ἔσται πολλαπλάσιον καὶ τρίτον καὶ ἕκτον τὸ ΔΘ τετάρτου τοῦ Ζ.

Ἐὰν ἄρα πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, ᾖ δὲ καὶ πέμπτον δευτέρου ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τετάρτου, καὶ συντεθὲν πρῶτον καὶ πέμπτον δευτέρου ἰσάκις ἔσται πολλαπλάσιον καὶ τρίτον καὶ ἕκτον τετάρτου· ὅπερ ἔδει δεῖξαι.

γ'.

Ἐὰν πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, ληφθῇ δὲ ἰσάκις πολλαπλάσια τοῦ τε πρώτου καὶ τρίτου, καὶ δι' ἴσου τῶν ληφθέντων ἑκάτερον ἑκατέρου ἰσάκις ἔσται πολλαπλάσιον τὸ μὲν τοῦ δευτέρου τὸ δὲ τοῦ τετάρτου.

Ἐὰν ἄρα ὑπάρχωσιν ὁσαδήποτε μεγέθη καὶ ἄλλα τόσα ἀκόμη, ὥστε ἕκαστον τῶν πρώτων μεγεθῶν νὰ εἶναι ἰσάκις πολλαπλάσιον ἑκάστου τῶν δευτέρων μεγεθῶν ἀντιστοίχως, ὁσαπλάσιον εἶναι ἓν τῶν μεγεθῶν ἑνὸς, τοσαυταπλάσιον θὰ εἶναι καὶ τὸ ἄθροισμα τῶν πρώτων μεγεθῶν πρὸς τὸ ἄθροισμα τῶν δευτέρων· ὅπερ ἔδει δεῖξαι.

2.

Ἐὰν πρῶτον μέγεθος εἶναι ἰσάκις πολλαπλάσιον δευτέρου καὶ τρίτον εἶναι τετάρτου, ὑπάρχῃ δὲ καὶ πέμπτον ἰσάκις πολλαπλάσιον δευτέρου καὶ ἕκτον τετάρτου, τὸ ἄθροισμα τοῦ πρώτου καὶ πέμπτου θὰ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ δευτέρου καὶ τὸ ἄθροισμα τοῦ τρίτου καὶ ἕκτου θὰ εἶναι τοῦ τετάρτου.

Διότι ἔστω πρῶτον τὸ ΑΒ, ἰσάκις πολλαπλάσιον δευτέρου τοῦ Γ, καὶ τρίτον τὸ ΔΕ, ἰσάκις πολλαπλάσιον τετάρτου τοῦ Ζ, ἔστω δὲ καὶ πέμπτον τὸ ΒΗ τοῦ δευτέρου τοῦ Γ ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τὸ ΕΘ τοῦ τετάρτου τοῦ Ζ· λέγω, ὅτι τὸ ἄθροισμα τοῦ πρώτου καὶ πέμπτου τὸ ΑΗ θὰ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ δευτέρου τοῦ Γ καὶ τὸ ἄθροισμα τοῦ τρίτου καὶ ἕκτου τὸ ΔΘ θὰ εἶναι τοῦ τετάρτου τοῦ Ζ.

Διότι, ἐπειδὴ τὸ ΑΒ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ, ἄρα ὅσα περιέχονται εἰς τὸ ΑΒ ἴσα πρὸς τὸ Γ, ἄλλα τόσα περιέχονται εἰς τὸ ΔΕ ἴσα πρὸς τὸ Ζ. Διὰ τὸν αὐτὸν λόγον καὶ ὅσα περιέχονται εἰς τὸ ΒΗ ἴσα πρὸς τὸ Γ, ἄλλα τόσα περιέχονται εἰς τὸ ΕΘ, ἴσα πρὸς τὸ Ζ. Ὅσα ἄρα ὑπάρχουσιν εἰς ὅλον τὸ ΑΗ ἴσα πρὸς τὸ Γ, ἄλλα τόσα περιέχονται εἰς ὅλον τὸ ΔΘ ἴσα πρὸς τὸ Ζ. Ὁσαπλάσιον ἄρα εἶναι τὸ ΑΗ τοῦ Γ, τοσαυταπλάσιον θὰ εἶναι καὶ τὸ ΔΘ τοῦ Ζ. Καὶ ἄρα τὸ ἄθροισμα πρώτου καὶ πέμπτου τὸ ΑΗ, θὰ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ δευτέρου τοῦ Γ, ὡς θὰ εἶναι τὸ ἄθροισμα τοῦ τρίτου καὶ ἕκτου τὸ ΔΘ, τοῦ τετάρτου τοῦ Ζ.

Ἐὰν ἄρα πρῶτον μέγεθος εἶναι ἰσάκις πολλαπλάσιον δευτέρου καὶ τρίτον τετάρτου, ὑπάρχῃ δὲ καὶ πέμπτον ἰσάκις πολλαπλάσιον δευτέρου καὶ ἕκτον τετάρτου, τὸ ἄθροισμα τοῦ πρώτου καὶ πέμπτου θά εἶναι ἰσάκις πολλαπλάσιον τοῦ δευτέρου καὶ τὸ ἄθροισμα τοῦ τρίτου καὶ ἕκτου θὰ εἶναι τοῦ τετάρτου· ὅπερ ἔδει δεῖξαι.

3.

Ἐὰν πρῶτον δευτέρου εἶναι ἰσάκις πολλαπλάσιον καὶ τρίτον τετάρτου, ληφθῶσι δὲ ἰσάκις πολλαπλάσια τοῦ πρώτου καὶ τρίτου καὶ συμφώνως πρὸς τὴν ἰσότητα τῶν ληφθέντων, ἕκαστον θὰ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ἄλλου ἀντιστοίχως, τὸ μὲν τοῦ δευτέρου τὸ δὲ τοῦ τετάρτου.

Πρῶτον γὰρ τὸ Α δευτέρου τοῦ Β ἰσάκις ἔστω πολλαπλάσιον καὶ τρίτον τὸ Γ τετάρτου τοῦ Δ, καὶ εἰλήφθω τῶν Α, Γ ἰσάκις πολλαπλάσια τὰ ΕΖ, ΗΘ· λέγω, ὅτι ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΕΖ τοῦ Β καὶ τὸ ΗΘ τοῦ Δ.



Ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΕΖ τοῦ Α καὶ τὸ ΗΘ τοῦ Γ, ὅσα ἄρα ἐστὶν ἐν τῷ ΕΖ ἴσα τῷ Α, τοσαῦτα καὶ ἐν τῷ ΗΘ ἴσα τῷ Γ. διῃρήσθω τὸ μὲν ΕΖ εἰς τὰ τῷ Α μεγέθη ἴσα τὰ ΕΚ, ΚΖ, τὸ δὲ ΗΘ εἰς τὰ τῷ Γ ἴσα τὰ ΗΛ, ΛΘ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΕΚ, ΚΖ τῷ πλήθει τῶν ΗΛ, ΛΘ. καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ Α τοῦ Β καὶ τὸ Γ τοῦ Δ, ἴσον δὲ τὸ μὲν ΕΚ τῷ Α, τὸ δὲ ΗΛ τῷ Γ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΕΚ τοῦ Β καὶ τὸ ΗΛ τοῦ Δ. διὰ τὰ αὐτὰ δὴ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΚΖ τοῦ Β καὶ τὸ ΛΘ τοῦ Δ. ἐπεὶ οὖν πρῶτον τὸ ΕΚ δευτέρου τοῦ Β ἰσάκις ἐστὶ πολλαπλάσιον καὶ τρίτον τὸ ΗΛ τετάρτου τοῦ Δ, ἔστι δὲ καὶ πέμπτον τὸ ΚΖ δευτέρου τοῦ Β ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τὸ ΛΘ τετάρτου τοῦ Δ, καὶ συντεθὲν ἄρα πρῶτον καὶ πέμπτον τὸ ΕΖ δευτέρου τοῦ Β ἰσάκις ἐστὶ πολλαπλάσιον καὶ τρίτον καὶ ἕκτον τὸ ΗΘ τετάρτου τοῦ Δ.

Ἐὰν ἄρα πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, ληφθῇ δὲ τοῦ πρώτου καὶ τρίτου ἰσάκις πολλαπλάσια, καὶ δι' ἴσου τῶν ληφθέντων ἑκάτερον ἑκατέρου ἰσάκις ἔσται πολλαπλάσιον τὸ μὲν τοῦ δευτέρου, τὸ δὲ τοῦ τετάρτου· ὅπερ ἔδει δεῖξαι.

δ΄.

Ἐὰν πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, καὶ τὰ ἰσάκις πολλαπλάσια τοῦ τε πρώτου καὶ τρίτου πρὸς τὰ ἰσάκις πολλαπλάσια τοῦ δευτέρου καὶ τετάρτου καθ' ὁποιονοῦν πολλαπλασιασμὸν τὸν αὐτὸν ἕξει λόγον ληφθέντα κατάλληλα.

Πρῶτον γὰρ τὸ Α πρὸς δεύτερον τὸ Β τὸν αὐτὸν ἐχέτω λόγον καὶ τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ, καὶ εἰλήφθω τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Ε, Ζ, τῶν δὲ Β, Δ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Η, Θ· λέγω, ὅτι ἐστὶν ὡς τὸ Ε πρὸς τὸ Η, οὕτως τὸ Ζ πρὸς τὸ Θ.

Διότι ἔστω πρῶτον τὸ Α δευτέρου τοῦ Β ἰσάκις πολλαπλάσιον, καὶ τρίτον τὸ Γ τετάρτου τοῦ Δ, καὶ ἂς ληφθῶσι τῶν Α, Γ ἰσάκις πολλαπλάσια τὰ ΕΖ, ΗΘ· λέγω, ὅτι τὸ ΕΖ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Β καὶ τὸ ΗΘ τοῦ Δ.

Διότι, ἐπειδὴ τὸ ΕΖ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Α καὶ τὸ ΗΘ τοῦ Γ, ἄρα ὅσα ἴσα πρὸς τὸ Α περιέχονται εἰς τὸ ΕΖ, ἄλλα τόσα ἴσα πρὸς τὸ Γ περιέχονται εἰς τὸ ΗΘ. Ἂς διαιρεθῇ τὸ μὲν ΕΖ εἰς τὰ ἴσα πρὸς τὸ Α μεγέθη τὰ ΕΚ, ΚΖ, τὸ δὲ ΗΘ εἰς τὰ ἴσα πρὸς τὸ Γ τὰ ΗΛ, ΛΘ· ὅθεν τὸ πλῆθος τῶν ΕΚ, ΚΖ θὰ εἶναι ἴσον πρὸς τὸ πλῆθος τῶν ΗΛ, ΛΘ. Καὶ ἐπειδὴ εἶναι ἰσάκις πολλαπλάσιον τὸ Α τοῦ Β καὶ τὸ Γ τοῦ Δ, ἴσον δὲ τὸ μὲν ΕΚ πρὸς τὸ Α, τὸ δὲ ΗΛ πρὸς τὸ Γ, ἄρα εἶναι ἰσάκις πολλαπλάσιον τὸ ΕΚ τοῦ Β καὶ τὸ ΗΛ τοῦ Δ. Διὰ τοὺς αὐτοὺς λόγους εἶναι ἰσάκις πολλαπλάσιον τὸ ΚΖ τοῦ Β καὶ τὸ ΛΘ τοῦ Δ. Ἐπειδὴ λοιπὸν πρῶτον τὸ ΕΚ δευτέρου τοῦ Β εἶναι ἰσάκις πολλαπλάσιον καὶ τρίτον τὸ ΗΛ τετάρτου τοῦ Δ, εἶναι δὲ καὶ πέμπτον τὸ ΚΖ δευτέρου τοῦ Β ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τὸ ΛΘ τετάρτου τοῦ Δ, ἄρα καὶ τὸ ἄθροισμα πρώτου καὶ πέμπτου τὸ ΕΖ εἶναι ἰσάκις πολλαπλάσιον δευτέρου τοῦ Β καὶ τὸ ἄθροισμα τρίτου καὶ ἕκτου τὸ ΗΘ εἶναι τοῦ τετάρτου τοῦ Δ.

Ἐὰν ἄρα πρῶτον εἶναι ἰσάκις πολλαπλάσιον δευτέρου καὶ τρίτον τετάρτου, ληφθῶσι δὲ ἰσάκις πολλαπλάσια τοῦ πρώτου καὶ τρίτου καὶ συμφώνως πρὸς τὴν ἰσότητα τῶν ληφθέντων, ἕκαστον θὰ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ἄλλου ἀντιστοίχως τὸ μὲν τοῦ δευτέρου, τὸ δὲ τοῦ τετάρτου· ὅπερ ἔδει δεῖξαι.

4.

Ἐὰν πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, καὶ τὰ ἰσάκις πολλαπλάσια τοῦ πρώτου καὶ τρίτου πρὸς τὰ ἰσάκις πολλαπλάσια τοῦ δευτέρου καὶ τετάρτου θὰ ἔχωσι τὸν αὐτὸν λόγον καθ' οἱονδήποτε πολλαπλασιασμόν, ἐὰν ληφθῶσι καταλλήλως.

Διότι ἂς ἔχῃ τὸν αὐτὸν λόγον πρῶτον τὸ Α πρὸς δεύτερον τὸ Β καὶ τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ, καὶ ἂς ληφθῶσι τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Ε, Ζ, τῶν δὲ Β, Δ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Η, Θ· λέγω, ὅτι εἶναι ὡς τὸ Ε πρὸς τὸ Η, οὕτως τὸ Ζ πρὸς τὸ Θ.

Εἰλήφθω γὰρ τῶν μὲν Ε, Ζ ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, τῶν δὲ Η, Θ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Μ, Ν.



[Καὶ] ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ μὲν Ε τοῦ Α, τὸ δὲ Ζ τοῦ Γ, καὶ εἴληπται τῶν Ε, Ζ ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ Κ τοῦ Α καὶ τὸ Λ τοῦ Γ. διὰ τὰ αὐτὰ δὴ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ Μ τοῦ Β καὶ τὸ Ν τοῦ Δ. καὶ ἐπεί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ εἴληπται τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, τῶν δὲ Β, Δ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Μ, Ν, εἰ ἄρα ὑπερέχει τὸ Κ τοῦ Μ, ὑπερέχει καὶ τὸ Λ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον. καί ἐστι τὰ μὲν Κ, Λ τῶν Ε, Ζ ἰσάκις πολλαπλάσια, τὰ δὲ Μ, Ν τῶν Η, Θ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Ε πρὸς τὸ Η, οὕτως τὸ Ζ πρὸς τὸ Θ.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, καὶ τὰ ἰσάκις πολλαπλάσια τοῦ τε πρώτου καὶ τρίτου πρὸς τὰ ἰσάκις πολλαπλάσια τοῦ δευτέρου καὶ τετάρτου τὸν αὐτὸν ἕξει λόγον καθ' ὁποιονοῦν πολλαπλασιασμὸν ληφθέντα κατάλληλα· ὅπερ ἔδει δεῖξαι.

ε'.

Ἐὰν μέγεθος μεγέθους ἰσάκις ᾖ πολλαπλάσιον, ὅπερ ἀφαιρεθὲν ἀφαιρεθέντος, καὶ τὸ λοιπὸν τοῦ λοιποῦ ἰσάκις ἔσται πολλαπλάσιον, ὁσαπλάσιόν ἐστι τὸ ὅλον τοῦ ὅλου.

Μέγεθος γὰρ τὸ ΑΒ μεγέθους τοῦ ΓΔ ἰσάκις ἔστω πολλαπλάσιον, ὅπερ ἀφαιρεθὲν τὸ ΑΕ ἀφαιρεθέντος τοῦ ΓΖ· λέγω, ὅτι καὶ λοιπὸν τὸ ΕΒ λοιποῦ τοῦ ΖΔ ἰσάκις ἔσται πολλαπλάσιον, ὁσαπλάσιόν ἐστιν ὅλον τὸ ΑΒ ὅλου τοῦ ΓΔ.

Ὁσαπλάσιον γάρ ἐστι τὸ ΑΕ τοῦ ΓΖ, τοσαυταπλάσιον γεγονέτω καὶ τὸ ΕΒ τοῦ ΓΗ.

Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΕΒ τοῦ ΗΓ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΑΒ τοῦ ΗΖ. κεῖται δὲ ἰσάκις πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΑΒ τοῦ ΓΔ. ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΑΒ ἑκατέρου τῶν ΗΖ, ΓΔ· ἴσον ἄρα τὸ ΗΖ τῷ ΓΔ. κοινὸν ἀφῃρήσθω τὸ ΓΖ· λοιπὸν ἄρα τὸ ΗΓ λοιπῷ τῷ ΖΔ ἴσον ἐστίν. καὶ ἐπεὶ ἰσάκις ἐστὶ



Διότι ἂς ληφθῶσι τῶν μὲν Ε, Ζ ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, τῶν δὲ Η, Θ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Μ, Ν.

Καὶ ἐπειδὴ τὸ μὲν Ε εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Α, τὸ δὲ Ζ τοῦ Γ, καὶ ἐλήφθησαν τῶν Ε, Ζ ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, ἄρα τὸ Κ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Α καὶ τὸ Λ τοῦ Γ (θεώρ. 3). Διὰ τοὺς αὐτοὺς λόγους τὸ Μ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Β καὶ τὸ Ν τοῦ Δ. Καὶ ἐπειδὴ εἶναι ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ ἐλήφθησαν τῶν μὲν ΑΓ ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, τῶν δὲ Β, Δ ἄλλα τυχόντα, ἰσάκις πολλαπλάσια τὰ Μ, Ν, ἐὰν ἄρα ὑπερέχῃ τὸ Κ τοῦ Μ, θὰ ὑπερέχῃ καὶ τὸ Λ τοῦ Ν, καὶ ἐὰν εἶναι ἴσον, θὰ εἶναι ἴσον, ἐὰν δὲ ἐλλείπῃ, θὰ ἐλλείπῃ (ὁρισμὸς 5). Καὶ εἶναι τὰ μὲν Κ, Λ ἰσάκις πολλαπλάσια τῶν Ε, Ζ, τὰ δὲ Μ, Ν ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τῶν Η, Θ· εἶναι ἄρα ὡς τὸ Ε πρὸς τὸ Η, οὕτως τὸ Ζ πρὸς τὸ Θ.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, καὶ τὰ ἰσάκις πολλαπλάσια τοῦ πρώτου καὶ τρίτου πρὸς τὰ ἰσάκις πολλαπλάσια τοῦ δευτέρου καὶ τετάρτου θὰ ἔχωσι τὸν αὐτὸν λόγον καθ' οἱονδήποτε πολλαπλασιασμόν, ἐὰν ληφθῶσι καταλλήλως· ὅπερ ἔδει δεῖξαι.

5.

Ἐὰν μέγεθος εἶναι ἰσάκις πολλαπλάσιον μεγέθους, ὅπως εἶναι ἀφαιρεθὲν μέρος τοῦ ἑνὸς μεγέθους πρὸς ἀφαιρεθὲν μέρος τοῦ ἄλλου, καὶ τὸ ὑπόλοιπον θὰ εἶναι τοῦ ὑπολοίπου ἰσάκις πολλαπλάσιον, ὅσον εἶναι τὸ ὅλον τοῦ ὅλου.

Διότι ἔστω τὸ μέγεθος ΑΒ ἰσάκις πολλαπλάσιον τοῦ μεγέθους ΓΔ, ὅπως τὸ ἀφαιρούμενον ΑΕ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ἀφαιρουμένου ΓΖ· λέγω, ὅτι καὶ τὸ ὑπόλοιπον ΕΒ θὰ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ὑπολοίπου ΖΔ, τόσον ὅσον εἶναι ὅλον τὸ ΑΒ ὅλου τοῦ ΓΔ.

Διότι ὁσαπλάσιον εἶναι τὸ ΑΕ τοῦ ΓΖ, τοσαυταπλάσιον ἂς γίνῃ τὸ ΕΒ τοῦ ΓΗ.

Καὶ ἐπειδὴ τὸ ΑΕ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΓΖ καὶ τὸ ΕΒ τοῦ ΗΓ, ἄρα τὸ ΑΕ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΓΖ καὶ τὸ ΑΒ τοῦ ΗΖ (θεώρ. 1). Ἐξ ὑποθέσεως δὲ εἶναι τὸ ΑΕ ἰσάκις πολλαπλάσιον τοῦ ΓΖ καὶ τὸ ΑΒ τοῦ ΓΔ. Ἄρα τὸ ΑΒ εἶναι ἰσάκις πολλαπλάσιον ἑκάστου τῶν ΗΖ, ΓΔ· ἄρα τὸ ΗΖ εἶναι ἴσον πρὸς τὸ ΓΔ. Ἂς ἀφαιρεθῇ τὸ κοινὸν ΓΖ· ἄρα τὸ ὑπόλοιπον ΗΓ εἶναι ἴσον πρὸς τὸ ὑπόλοιπον ΖΔ. Καὶ ἐπειδὴ τὸ ΑΕ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΓΖ καὶ τὸ ΕΒ τοῦ ΗΓ, εἶναι δὲ ἴσον τὸ ΗΓ πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΕΒ τοῦ ΗΓ, ἴσον δὲ τὸ ΗΓ τῷ ΔΖ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΕΒ τοῦ ΖΔ. ἰσάκις δὲ ὑπόκειται πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΑΒ τοῦ ΓΔ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΕΒ τοῦ ΖΔ καὶ τὸ ΑΒ τοῦ ΓΔ. καὶ λοιπὸν ἄρα τὸ ΕΒ λοιποῦ τοῦ ΖΔ ἰσάκις ἔσται πολλαπλάσιον, ὁσαπλάσιόν ἐστιν ὅλον τὸ ΑΒ ὅλου τοῦ ΓΔ.

Ἐὰν ἄρα μέγεθος μεγέθους ἰσάκις ᾖ πολλαπλάσιον, ὅπερ ἀφαιρεθὲν ἀφαιρεθέντος, καὶ τὸ λοιπὸν τοῦ λοιποῦ ἰσάκις ἔσται πολλαπλάσιον, ὁσαπλάσιόν ἐστι καὶ τὸ ὅλον τοῦ ὅλου· ὅπερ ἔδει δεῖξαι.

ς'.

Ἐὰν δύο μεγέθη δύο μεγεθῶν ἰσάκις ᾖ πολλαπλάσια, καὶ ἀφαιρεθέντα τινὰ τῶν αὐτῶν ἰσάκις ᾖ πολλαπλάσια, καὶ τὰ λοιπὰ τοῖς αὐτοῖς ἤτοι ἴσα ἐστὶν ἢ ἰσάκις αὐτῶν πολλαπλάσια.

Δύο γὰρ μεγέθη τὰ ΑΒ, ΓΔ δύο μεγεθῶν τῶν Ε, Ζ ἰσάκις ἔστω πολλαπλάσια, καὶ ἀφαιρεθέντα τὰ ΑΗ, ΓΘ τῶν αὐτῶν τῶν Ε, Ζ ἰσάκις ἔστω πολλαπλάσια· λέγω, ὅτι καὶ λοιπὰ τὰ ΗΒ, ΘΔ τοῖς Ε, Ζ ἤτοι ἴσα ἐστὶν ἢ ἰσάκις αὐτῶν πολλαπλάσια.



Ἔστω γὰρ πρότερον τὸ ΗΒ τῷ Ε ἴσον· λέγω, ὅτι καὶ τὸ ΘΔ τῷ Ζ ἴσον ἐστίν.

Κείσθω γὰρ τῷ Ζ ἴσον τὸ ΓΚ. ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΗ τοῦ Ε καὶ τὸ ΓΘ τοῦ Ζ, ἴσον δὲ τὸ μὲν ΗΒ τῷ Ε, τὸ δὲ ΚΓ τῷ Ζ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΑΒ τοῦ Ε καὶ τὸ ΚΘ τοῦ Ζ. ἰσάκις δὲ ὑπόκειται πολλαπλάσιον τὸ ΑΒ τοῦ Ε καὶ τὸ ΓΔ τοῦ Ζ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΚΘ τοῦ Ζ καὶ τὸ ΓΔ τοῦ Ζ. ἐπεὶ οὖν ἑκάτερον τῶν ΚΘ, ΓΔ τοῦ Ζ ἰσάκις ἐστὶ πολλαπλάσιον, ἴσον ἄρα ἐστὶ τὸ ΚΘ τῷ ΓΔ. κοινὸν ἀφῃρήσθω τὸ ΓΘ· λοιπὸν ἄρα τὸ ΚΓ λοιπῷ τῷ ΘΔ ἴσον ἐστίν. ἀλλὰ τὸ Ζ τῷ ΚΓ ἐστιν ἴσον· καὶ τὸ ΘΔ ἄρα τῷ Ζ ἴσον ἐστίν. ὥστε εἰ τὸ ΗΒ τῷ Ε ἴσον ἐστίν, καὶ τὸ ΘΔ ἴσον ἔσται τῷ Ζ.

Ὁμοίως δὴ δείξομεν, ὅτι, κἂν πολλαπλάσιον ᾖ τὸ ΗΒ τοῦ Ε, τοσαυταπλάσιον ἔσται καὶ τὸ ΘΔ τοῦ Ζ.

Ἐὰν ἄρα δύο μεγέθη δύο μεγεθῶν ἰσάκις ᾖ πολλαπλάσια, καὶ ἀφαιρεθέντα τινὰ τῶν αὐτῶν ἰσάκις ᾖ πολλαπλάσια, καὶ τὰ λοιπὰ τοῖς αὐτοῖς ἤτοι ἴσα ἐστὶν ἢ ἰσάκις αὐτῶν πολλαπλάσια· ὅπερ ἔδει δεῖξαι.

πρὸς τὸ ΔΖ, ἄρα τὸ ΑΕ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΓΖ καὶ τὸ ΕΒ τοῦ ΖΔ. Ἐξ ὑποθέσεως δὲ εἶναι ἰσάκις πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΑΒ τοῦ ΓΔ· ἄρα τὸ ΕΒ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΖΔ καὶ τὸ ΑΒ τοῦ ΓΔ. Ἄρα καὶ τὸ ὑπόλοιπον ΕΒ θὰ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ὑπολοίπου ΖΔ, τόσον ὅσον εἶναι ὅλον τὸ ΑΒ ὅλου τοῦ ΓΔ.

Ἐὰν ἄρα μέγεθος εἶναι ἰσάκις πολλαπλάσιον μεγέθους, ὅπως εἶναι μέρος τοῦ ἑνὸς μεγέθους πρὸς μέρος τοῦ ἄλλου, καὶ τὸ ὑπόλοιπον θὰ εἶναι τοῦ ὑπολοίπου ἰσάκις πολλαπλάσιον, ὅσον εἶναι τὸ ὅλον τοῦ ὅλου· ὅπερ ἔδει δεῖξαι.

6.

Ἐὰν δύο μεγέθη εἶναι ἰσάκις πολλαπλάσια δύο μεγεθῶν καὶ ἀφαιρεθέντα μερικὰ εἶναι ἰσάκις πολλαπλάσια τῶν αὐτῶν, καὶ τὰ ὑπόλοιπα θὰ εἶναι ἢ ἴσα πρὸς αὐτὰ ἢ ἰσάκις πολλαπλάσια αὐτῶν.

Διότι ἔστωσαν τὰ μεγέθη ΑΒ, ΓΔ ἰσάκις πολλαπλάσια τῶν δύο μεγεθῶν Ε, Ζ καὶ τὰ ἀφαιρεθέντα τὰ ΑΗ, ΓΘ ἂς εἶναι ἰσάκις πολλαπλάσια τῶν αὐτῶν τῶν Ε,Ζ· λέγω, ὅτι καὶ τὰ ὑπόλοιπα τὰ ΗΒ, ΘΔ θὰ εἶναι ἢ ἴσα πρὸς τὰ Ε,Ζ ἢ ἰσάκις πολλαπλάσια αὐτῶν.

Διότι ἂς εἶναι πρότερον τὸ ΗΒ ἴσον πρὸς τὸ Ε· λέγω, ὅτι καὶ τὸ ΘΔ εἶναι ἴσον πρὸς τὸ Ζ.

Διότι ἂς ληφθῇ τὸ ΓΚ ἴσον πρὸς τὸ Ζ. Ἐπειδὴ τὸ ΑΗ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Ε καὶ τὸ ΓΘ τοῦ Ζ, εἶναι δὲ ἴσον τὸ μὲν ΗΒ πρὸς τὸ Ε, τὸ δὲ ΚΓ πρὸς τὸ Ζ, ἄρα τὸ ΑΒ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Ε καὶ τὸ ΚΘ τοῦ Ζ (θεώρ. 2). Ἔχει δὲ ληφθῇ τὸ ΑΒ ἰσάκις πολλαπλάσιον τοῦ Ε καὶ τὸ ΓΔ τοῦ Ζ· ἄρα τὸ ΚΘ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Ζ καὶ τὸ ΓΔ τοῦ Ζ. Ἐπειδὴ λοιπὸν ἕκαστον τῶν ΚΘ, ΓΔ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Ζ, ἄρα τὸ ΚΘ εἶναι ἴσον πρὸς τὸ ΓΔ. Ἂς ἀφαιρεθῇ τὸ κοινὸν τὸ ΓΘ· ἄρα τὸ ὑπόλοιπον τὸ ΚΓ εἶναι ἴσον πρὸς τὸ ὑπόλοιπον τὸ ΘΔ. Ἀλλὰ τὸ Ζ εἶναι ἴσον πρὸς τὸ ΚΓ· ἄρα καὶ τὸ ΘΔ εἶναι ἴσον πρὸς τὸ Ζ. Ὥστε ἐὰν τὸ ΗΒ εἶναι ἴσον πρὸς τὸ Ε, καὶ τὸ ΘΔ θὰ εἶναι ἴσον πρὸς τὸ Ζ.

Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι, καὶ ἐὰν τὸ ΗΒ εἶναι πολλαπλάσιον τοῦ Ε, τοσαυταπλάσιον θὰ εἶναι καὶ τὸ ΘΔ τοῦ Ζ.

Ἐὰν ἄρα δύο μεγέθη εἶναι ἰσάκις πολλαπλάσια δύο μεγεθῶν καὶ ἀφαιρεθῶσι μερικὰ μεγέθη, ὥστε τὰ ἀφαιρεθέντα νὰ εἶναι ἰσάκις πολλαπλάσια τῶν αὐτῶν, καὶ τὰ ὑπόλοιπα θὰ εἶναι ἢ ἴσα πρὸς αὐτὰ ἢ ἰσάκις πολλαπλάσια αὐτῶν· ὅπερ ἔδει δεῖξαι.

ζ'.

Τὰ ἴσα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον καὶ τὸ αὐτὸ πρὸς τὰ ἴσα.

Ἔστω ἴσα μεγέθη τὰ Α, Β, ἄλλο δέ τι, ὃ ἔτυχεν, μέγεθος τὸ Γ· λέγω, ὅτι ἑκάτερον τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν ἔχει λόγον, καὶ τὸ Γ πρὸς ἑκάτερον τῶν Α, Β.



Εἰλήφθω γὰρ τῶν μὲν Α, Β ἰσάκις πολλαπλάσια τὰ Δ, Ε, τοῦ δὲ Γ ἄλλο, ὃ ἔτυχεν, πολλαπλάσιον τὸ Ζ.

Ἐπεὶ οὖν ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ Δ τοῦ Α καὶ τὸ Ε τοῦ Β, ἴσον δὲ τὸ Α τῷ Β, ἴσον ἄρα καὶ τὸ Δ τῷ Ε. ἄλλο δέ, ὃ ἔτυχεν, τὸ Ζ. Εἰ ἄρα ὑπερέχει τὸ Δ τοῦ Ζ, ὑπερέχει καὶ τὸ Ε τοῦ Ζ, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον· καί ἐστι τὰ μὲν Δ, Ε τῶν Α, Β ἰσάκις πολλαπλάσια, τὸ δὲ Ζ τοῦ Γ ἄλλο, ὃ ἔτυχεν, πολλαπλάσιον· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Β πρὸς τὸ Γ.

Λέγω [δή], ὅτι καὶ τὸ Γ πρὸς ἑκάτερον τῶν Α, Β τὸν αὐτὸν ἔχει λόγον.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων ὁμοίως δείξομεν, ὅτι ἴσον ἐστὶ τὸ Δ τῷ Ε· ἄλλο δέ τι τὸ Ζ· εἰ ἄρα ὑπερέχει τὸ Ζ τοῦ Δ, ὑπερέχει καὶ τοῦ Ε, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον. καί ἐστι τὸ μὲν Ζ τοῦ Γ πολλαπλάσιον, τὰ δὲ Δ, Ε τῶν Α, Β ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Α, οὕτως τὸ Γ πρὸς τὸ Β.

Τὰ ἴσα ἄρα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον καὶ τὸ αὐτὸ πρὸς τὰ ἴσα.

Π ό ρ ι σ μ α.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐὰν μεγέθη τινὰ ἀνάλογον ᾖ, καὶ ἀνάπαλιν ἀνάλογον ἔσται. ὅπερ ἔδει δεῖξαι.

η'.

Τῶν ἀνίσων μεγεθῶν τὸ μεῖζον πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει ἤπερ τὸ ἔλαττον. καὶ τὸ αὐτὸ πρὸς τὸ ἔλαττον μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ μεῖζον.

Ἔστω ἄνισα μεγέθη τὰ ΑΒ, Γ, καὶ ἔστω μεῖζον τὸ ΑΒ, ἄλλο δέ, ὃ

7.

Τὰ ἴσα πρὸς τὸ αὐτὸ ἔχουσι τὸν αὐτὸν λόγον καὶ τὸ αὐτὸ πρὸς τὰ ἴσα.

Ἔστω ἴσα μεγέθη τὰ Α, Β, τυχὸν δὲ ἄλλο μέγεθος τὸ Γ· λέγω, ὅτι ἕκαστον τῶν Α, Β πρὸς τὸ Γ ἔχει τὸν αὐτὸν λόγον, καὶ τὸ Γ πρὸς ἕκαστον τῶν Α, Β.

Διότι ἂς ληφθῶσι τῶν μὲν Α, Β ἰσάκις πολλαπλάσια τὰ Δ, Ε, τοῦ δὲ Γ ἂς ληφθῇ ἄλλο τυχὸν πολλαπλάσιον τὸ Ζ.

Ἐπειδὴ λοιπὸν τὸ Δ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Α καὶ τὸ Ε τοῦ Β, τὸ δὲ Α εἶναι ἴσον πρὸς τὸ Β, ἄρα καὶ τὸ Δ εἶναι ἴσον πρὸς τὸ Ε. Τὸ δὲ Ζ εἶναι ἄλλο τυχὸν πολλαπλάσιον (τοῦ Γ). Ἐὰν ἄρα τὸ Δ ὑπερέχῃ τοῦ Ζ, ὑπερέχει καὶ τὸ Ε τοῦ Ζ, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικρότερον. Καὶ εἶναι τὰ μὲν Δ, Ε ἰσάκις πολλαπλάσια τῶν Α, Β, τὸ δὲ Ζ ἄλλο τυχὸν πολλαπλάσιον τοῦ Γ· ἄρα εἶναι ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Β πρὸς τὸ Γ (ὁρισ. 5).

Λέγω τώρα, ὅτι καὶ τὸ Γ ἔχει τὸν αὐτὸν λόγον πρὸς ἕκαστον τῶν Α, Β (εἰς τὸ κείμενον Heiberg εἶναι Ε ἀντὶ Γ, προφανῶς ἐκ τυπ. λάθους).

Διότι, ἀφοῦ γίνῃ ἡ αὐτὴ κατασκευή, ἀποδεικνύομεν καθ' ὅμοιον τρόπον, ὅτι τὸ Δ εἶναι ἴσον πρὸς τὸ Ε· ἔχει δὲ ληφθῇ ἄλλο τυχὸν πολλαπλάσιον (τοῦ Γ) τὸ Ζ· ἐὰν ἄρα τὸ Ζ ὑπερέχῃ τοῦ Δ, ὑπερέχει καὶ τοῦ Ε, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικρότερον. Καὶ εἶναι τὸ μὲν Ζ πολλαπλάσιον τοῦ Γ, τὰ δὲ Δ,Ε, ἄλλα τυχόντα, ἰσάκις πολλαπλάσια τῶν Α, Β· ἄρα εἶναι ὡς τὸ Γ πρὸς τὸ Α, οὕτως τὸ Γ πρὸς τὸ Β (ὁρισ. 5).

Ἄρα τὰ ἴσα πρὸς τὸ αὐτὸ ἔχουσι τὸν αὐτὸν λόγον καὶ τὸ αὐτὸ πρὸς τὰ ἴσα.

Π ό ρ ι σ μ α.

Ἐκ τούτου εἶναι φανερόν, ὅτι ἐὰν μερικὰ μεγέθη εἶναι ἀνάλογα, καὶ ἀντιστρόφως θὰ εἶναι ἀνάλογα· ὅπερ ἔδει δεῖξαι.

8.

Τῶν ἀνίσων μεγεθῶν τὸ μεγαλύτερον πρὸς τὸ αὐτὸ ἔχει μεγαλύτερον λόγον ἢ τὸ μικρότερον· καὶ τὸ αὐτὸ πρὸς τὸ μικρότερον ἔχει μεγαλύτερον λόγον ἢ πρὸς τὸ μεγαλύτερον.

Ἔστω ἄνισα μεγέθη τὰ ΑΒ, Γ, καὶ ἔστω μεγαλύτερον τὸ ΑΒ, ἄλλο *ἔτυχεν, τὸ Δ· λέγω, ὅτι τὸ ΑΒ πρὸς τὸ Δ μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Δ, καὶ τὸ Δ πρὸς τὸ Γ μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ ΑΒ.*

Ἐπεὶ γὰρ μεῖζόν ἐστι τὸ ΑΒ τοῦ Γ, κείσθω τῷ Γ ἴσον τὸ ΒΕ· τὸ δὴ ἔλασσον τῶν ΑΕ, ΕΒ πολλαπλασιαζόμενον ἔσται ποτὲ τοῦ Δ μεῖζον. ἔστω πρότερον τὸ ΑΕ ἔλαττον τοῦ ΕΒ, καὶ πεπολλαπλασιάσθω τὸ ΑΕ, καὶ ἔστω αὐτοῦ πολλαπλάσιον τὸ ΖΗ μεῖζον ὂν τοῦ Δ, καὶ ὁσαπλάσιόν ἐστι τὸ ΖΗ τοῦ ΑΕ, τοσαυταπλάσιον γεγονέτω καὶ τὸ μὲν ΗΘ τοῦ ΕΒ, τὸ δὲ Κ τοῦ Γ· καὶ εἰλήφθω τοῦ Δ διπλάσιον μὲν τὸ Λ, τριπλάσιον δὲ τὸ Μ, καὶ ἑξῆς ἑνὶ πλεῖον, ἕως ἂν τὸ λαμβανόμενον πολλαπλάσιον μὲν γένηται τοῦ Δ, πρώτως δὲ μεῖζον τοῦ Κ. εἰλήφθω, καὶ ἔστω τὸ Ν τετραπλάσιον μὲν τοῦ Δ, πρώτως δὲ μεῖζον τοῦ Κ.



Ἐπεὶ οὖν τὸ Κ τοῦ Ν πρώτως ἐστὶν ἔλαττον, τὸ Κ ἄρα τοῦ Μ οὐκ ἔστιν ἔλαττον. καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ καὶ τὸ ΗΘ τοῦ ΕΒ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ καὶ τὸ ΖΘ τοῦ ΑΒ. ἰσάκις δέ ἐστι πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ καὶ τὸ Κ τοῦ Γ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΖΘ τοῦ ΑΒ καὶ τὸ Κ τοῦ Γ. τὰ ΖΘ, Κ ἄρα τῶν ΑΒ, Γ ἰσάκις ἐστὶ πολλαπλάσια. πάλιν, ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΗΘ τοῦ ΕΒ καὶ τὸ Κ τοῦ Γ, ἴσον δὲ τὸ ΕΒ τῷ Γ, ἴσον ἄρα καὶ τὸ ΗΘ τῷ Κ. τὸ δὲ Κ τοῦ Μ οὐκ ἔστιν ἔλαττον· οὐδ' ἄρα τὸ ΗΘ τοῦ Μ ἔλαττόν ἐστιν. μεῖζον δὲ τὸ ΖΗ τοῦ Δ· ὅλον ἄρα τὸ ΖΘ συναμφοτέρων τῶν Δ, Μ μεῖζόν ἐστιν. ἀλλὰ συναμφότερα τὰ Δ, Μ τῷ Ν ἐστιν ἴσα, ἐπειδήπερ τὸ Μ τοῦ Δ τριπλάσιόν ἐστιν, συναμφότερα δὲ τὰ Μ, Δ τοῦ Δ ἐστι τετραπλάσια, ἔστι δὲ καὶ τὸ Ν τοῦ Δ τετραπλάσιον· συναμφότερα ἄρα τὰ Μ, Δ τῷ Ν ἴσα ἐστίν. ἀλλὰ τὸ ΖΘ τῶν Μ, Δ μεῖζόν ἐστιν· τὸ ΖΘ ἄρα τοῦ Ν ὑπερέχει· τὸ δὲ Κ τοῦ Ν οὐχ ὑπερέχει. καί ἐστι τὰ μὲν ΖΘ, Κ τῶν ΑΒ, Γ ἰσάκις πολλαπλάσια, τὸ δὲ Ν τοῦ Δ ἄλλο, ὃ ἔτυχεν, πολλαπλάσιον· τὸ ΑΒ ἄρα πρὸς τὸ Δ μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Δ.

Λέγω δή, ὅτι καὶ τὸ Δ πρὸς τὸ Γ μείζονα λόγον ἔχει ἤπερ τὸ Δ πρὸς τὸ ΑΒ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων ὁμοίως δείξομεν, ὅτι τὸ μὲν Ν τοῦ Κ ὑπερέχει, τὸ δὲ Ν τοῦ ΖΘ οὐχ ὑπερέχει. καί ἐστι τὸ μὲν Ν τοῦ Δ πολλαπλάσιον, τὰ δὲ ΖΘ, Κ τῶν ΑΒ, Γ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· τὸ Δ ἄρα πρὸς τὸ Γ μείζονα λόγον ἔχει ἤπερ τὸ Δ πρὸς τὸ ΑΒ.

Ἀλλὰ δὴ τὸ ΑΕ τοῦ ΕΒ μεῖζον ἔστω. τὸ δὴ ἔλαττον τὸ ΕΒ πολλα-

δὲ τυχὸν μέγεθος, τὸ Δ· λέγω, ὅτι τὸ ΑΒ πρὸς τὸ Δ ἔχει μεγαλύτερον λόγον ἢ τὸ Γ πρὸς τὸ Δ, καὶ τὸ Δ πρὸς τὸ Γ ἔχει μεγαλύτερον λόγον ἢ πρὸς τὸ ΑΒ.

Διότι, ἐπειδὴ τὸ ΑΒ εἶναι μεγαλύτερον τοῦ Γ, ἂς ληφθῇ τὸ ΒΕ ἴσον πρὸς τὸ Γ· τὸ μικρότερον ὅμως ἐκ τῶν ΑΕ, ΕΒ πολλαπλασιαζόμενον θὰ γίνῃ ποτὲ μεγαλύτερον τοῦ Δ (ἀξίωμα συνεχείας, V. ὁρισ. 4). Ἔστω πρότερον τὸ ΑΕ μικρότερον τοῦ ΕΒ, καὶ ἂς πολλαπλασιασθῇ τὸ ΑΕ, καὶ ἔστω τὸ πολλαπλάσιον αὐτοῦ ΖΗ νὰ εἶναι μεγαλύτερον τοῦ Δ, καὶ ὁσαπλάσιον εἶναι τὸ ΖΗ τοῦ ΑΕ, τοσαυταπλάσιον ἂς γίνῃ τὸ μὲν ΗΘ τοῦ ΕΒ, τὸ δὲ Κ τοῦ Γ· καὶ ἂς ληφθῇ τοῦ Δ διπλάσιον μὲν τὸ Λ, τριπλάσιον δὲ τὸ Μ καὶ οὕτω καθ' ἑξῆς ἓν περισσότερον (δηλ. νὰ ληφθῇ τοῦ Δ τὸ τετραπλάσιον, πενταπλάσιον ἑξαπλάσιον κλπ.), μέχρις ὅτου τὸ λαμβανόμενον γίνῃ πολλαπλάσιον μὲν τοῦ Δ, τὸ πρῶτον δὲ πολλαπλάσιον μεγαλύτερον τοῦ Κ. Ἂς ληφθῇ, καὶ ἔστω τὸ Ν τετραπλάσιον μὲν τοῦ Δ, τὸ πρῶτον δὲ πολλαπλάσιον μεγαλύτερον τοῦ Κ.

Ἐπειδὴ λοιπὸν τὸ Κ εἶναι τὸ πρῶτον μικρότερον πολλαπλάσιον τοῦ Ν, ἄρα τὸ Κ δὲν εἶναι μικρότερον τοῦ Μ. Καὶ ἐπειδὴ τὸ ΖΗ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΑΕ καὶ τὸ ΗΘ τοῦ ΕΒ, ἄρα τὸ ΖΗ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΑΕ καὶ τὸ ΖΘ τοῦ ΑΒ (θεώρ. 1). Εἶναι δὲ ἰσάκις πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ καὶ τὸ Κ τοῦ Γ· ἄρα τὸ ΖΘ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΑΒ καὶ τὸ Κ τοῦ Γ. Ἄρα τὰ ΖΘ, Κ εἶναι ἰσάκις πολλαπλάσια τῶν ΑΒ, Γ. Πάλιν ἐπειδὴ τὸ ΗΘ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΕΒ καὶ τὸ Κ τοῦ Γ, εἶναι δὲ τὸ ΕΒ ἴσον πρὸς τὸ Γ, ἄρα τὸ ΗΘ εἶναι ἴσον πρὸς τὸ Κ. Τὸ δὲ Κ δὲν εἶναι μικρότερον τοῦ Μ· ἄρα οὔτε τὸ ΗΘ εἶναι μικρότερον τοῦ Μ. Τὸ δὲ ΖΗ εἶναι μεγαλύτερον τοῦ Δ· ἄρα ὅλον τὸ ΖΘ εἶναι μεγαλύτερον τοῦ ἀθροίσματος τῶν Δ, Μ. Ἀλλὰ τὸ ἄθροισμα τῶν Δ, Μ ἰσοῦται πρὸς τὸ Ν, διότι τὸ Μ εἶναι τριπλάσιον τοῦ Δ, τὸ ἄθροισμα δὲ τῶν Μ, Δ εἶναι τετραπλάσιον τοῦ Δ, εἶναι δὲ καὶ τὸ Ν τετραπλάσιον τοῦ Δ· ἄρα τὸ ἄθροισμα τῶν Μ, Δ εἶναι ἴσον πρὸς τὸ Ν. Ἀλλὰ τὸ ΖΘ εἶναι μεγαλύτερον τοῦ ἀθροίσματος τῶν Μ, Δ· ἄρα τὸ ΖΘ ὑπερέχει τοῦ Ν, τὸ δὲ Κ δὲν ὑπερέχει τοῦ Ν. Καὶ εἶναι τὰ μὲν ΖΘ, Κ ἰσάκις πολλαπλάσια τῶν ΑΒ, Γ, τὸ δὲ Ν ἄλλο τυχὸν πολλαπλάσιον τοῦ Δ· ἄρα τὸ ΑΒ πρὸς τὸ Δ ἔχει μεγαλύτερον λόγον ἢ τὸ Γ πρὸς τὸ Δ (ὁρισμ. 7).

Λέγω ἀκόμη, ὅτι καὶ τὸ Δ πρὸς τὸ Γ ἔχει μεγαλύτερον λόγον ἢ τὸ Δ πρὸς τὸ ΑΒ.

Διότι, ἀφοῦ γίνῃ ἡ αὐτὴ κατασκευή, θὰ ἀποδείξωμεν κατὰ τὸν αὐτὸν τρόπον, ὅτι τὸ μὲν Ν ὑπερέχει τοῦ Κ, τὸ δὲ Ν δὲν ὑπερέχει τοῦ ΖΘ. Καὶ εἶναι τὸ μὲν Ν πολλαπλάσιον τοῦ Δ, τὰ δὲ ΖΘ, Κ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τῶν ΑΒ, Γ· ἄρα τὸ Δ ἔχει μεγαλύτερον λόγον πρὸς τὸ Γ ἢ τὸ Δ πρὸς τὸ ΑΒ (ὁρισμ. 7).

Ἀλλὰ τώρα ἔστω τὸ ΑΕ μεγαλύτερον τοῦ ΕΒ. Τὸ μικρότερον ὅμως, *πλασιαζόμενον ἔσται ποτὲ τοῦ Δ μεῖζον. πεπολλαπλασιάσθω, καὶ ἔστω τὸ ΗΘ πολλαπλάσιον μὲν τοῦ ΕΒ, μεῖζον δὲ τοῦ Δ· καὶ ὁσαπλάσιόν ἐστι τὸ ΗΘ τοῦ ΕΒ, τοσαυταπλάσιον γεγονέτω καὶ τὸ μὲν ΖΗ τοῦ ΑΕ, τὸ δὲ Κ τοῦ Γ. ὁμοίως δὴ δείξομεν, ὅτι τὰ ΖΘ, Κ τῶν ΑΒ, Γ ἰσάκις ἐστὶ πολλαπλάσια· καὶ εἰλήφθω ὁμοίως τὸ Ν πολλαπλάσιον μὲν τοῦ Δ, πρώτως δὲ μεῖζον τοῦ ΖΗ· ὥστε πάλιν τὸ ΖΗ τοῦ Μ οὐκ ἔστιν ἔλασσον. μεῖζον δὲ τὸ ΗΘ τοῦ Δ· ὅλον ἄρα τὸ ΖΘ τῶν Δ, Μ, τουτέστι τοῦ Ν, ὑπερέχει. τὸ δὲ Κ τοῦ Ν οὐχ ὑπερέχει, ἐπειδήπερ καὶ τὸ ΖΗ μεῖζον ὂν τοῦ ΗΘ, τουτέστι τοῦ Κ, τοῦ Ν οὐχ ὑπερέχει. καὶ ὡσαύτως κατακολουθοῦντες τοῖς ἐπάνω περαίνομεν τὴν ἀπόδειξιν.*

Τῶν ἄρα ἀνίσων μεγεθῶν τὸ μεῖζον πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει ἤπερ τὸ ἔλαττον· καὶ τὸ αὐτὸ πρὸς τὸ ἔλαττον μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ μεῖζον· ὅπερ ἔδει δεῖξαι.

θ΄.

Τὰ πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχοντα λόγον ἴσα ἀλλήλοις ἐστίν· καὶ πρὸς ἃ τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον, ἐκεῖνα ἴσα ἐστίν.

Ἐχέτω γὰρ ἑκάτερον τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν λόγον· λέγω, ὅτι ἴσον ἐστὶ τὸ Α τῷ Β.



Εἰ γὰρ μή, οὐκ ἂν ἑκάτερον τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν εἶχε λόγον· ἔχει δέ· ἴσον ἄρα ἐστὶ τὸ Α τῷ Β.

Ἐχέτω δὴ πάλιν τὸ Γ πρὸς ἑκάτερον τῶν Α, Β τὸν αὐτὸν λόγον· λέγω, ὅτι ἴσον ἐστὶ τὸ Α τῷ Β.

Εἰ γὰρ μή, οὐκ ἂν τὸ Γ πρὸς ἑκάτερον τῶν Α, Β τὸν αὐτὸν εἶχε λόγον· ἔχει δέ· ἴσον ἄρα ἐστὶ τὸ Α τῷ Β.

Τὰ ἄρα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχοντα λόγον ἴσα ἀλλήλοις ἐστίν· καὶ πρὸς ἃ τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον, ἐκεῖνα ἴσα ἐστίν· ὅπερ ἔδει δεῖξαι.

ι΄.

Τῶν πρὸς τὸ αὐτὸ λόγον ἐχόντων τὸ μείζονα λόγον ἔχον ἐκεῖνο μεῖζόν ἐστιν· πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλαττόν ἐστιν.

Ἐχέτω γὰρ τὸ Α πρὸς τὸ Γ μείζονα λόγον ἤπερ τὸ Β πρὸς τὸ Γ· λέγω, ὅτι μεῖζόν ἐστι τὸ Α τοῦ Β.

τὸ ΕΒ, πολλαπλασιαζόμενον θὰ γίνῃ ποτὲ μεγαλύτερον τοῦ Δ (ἀξίωμα συνεχείας, ὁρισ. 4). Ἂς πολλαπλασιασθῇ, καὶ ἔστω τὸ ΗΘ πολλαπλάσιον μὲν τοῦ ΕΒ, μεγαλύτερον δὲ τοῦ Δ· καὶ ὁσαπλάσιον εἶναι τὸ ΗΘ τοῦ ΕΒ, τοσαυταπλάσιον ἂς γίνῃ καὶ τὸ μὲν ΖΗ τοῦ ΑΕ,τὸ δὲ Κ τοῦ Γ. Καθ' ὅμοιον τρόπον θὰ ἀποδείξωμεν, ὅτι τὰ ΖΘ, Κ εἶναι ἰσάκις πολλαπλάσια τῶν ΑΒ, Γ· καὶ ἂς ληφθῇ ὁμοίως τὸ Ν πολλαπλάσιον μὲν τοῦ Δ, τὸ πρῶτον δὲ μεγαλύτερον πολλαπλάσιον τοῦ ΖΗ· ὥστε πάλιν τὸ ΖΗ δὲν εἶναι μικρότερον τοῦ Μ. Εἶναι δὲ τὸ ΗΘ μεγαλύτερον τοῦ Δ· ἄρα ὅλον τὸ ΖΘ ὑπερέχει τοῦ ἀθροίσματος τῶν Δ, Μ, δηλ. τοῦ Ν. Τὸ δὲ Κ δὲν ὑπερέχει τοῦ Ν, ἐπειδὴ καὶ τὸ ΖΗ ὂν μεγαλύτερον τοῦ ΗΘ, δηλ. τοῦ Κ, δὲν ὑπερέχει τοῦ Ν. Καὶ ἀκολουθοῦντες τοὺς αὐτοὺς συλλογισμοὺς πρὸς τὰ ἀνωτέρω τελειώνομεν τὴν ἀπόδειξιν.

Ἄρα τῶν ἀνίσων μεγεθῶν τὸ μεγαλύτερον πρὸς τὸ αὐτὸ ἔχει μεγαλύτερον λόγον ἢ τὸ μικρότερον· καὶ τὸ αὐτὸ πρὸς τὸ μικρότερον ἔχει μεγαλύτερον λόγον ἢ πρὸς τὸ μεγαλύτερον· ὅπερ ἔδει δεῖξαι.

9.

Τὰ πρὸς τὸ αὐτὸ ἔχοντα τὸν αὐτὸν λόγον εἶναι μεταξύ των ἴσα· καὶ ἐκεῖνα πρὸς τὰ ὁποῖα τὸ αὐτὸ ἔχει τὸν αὐτὸν λόγον, εἶναι ἴσα.

Διότι ἂς ἔχῃ ἕκαστον τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν λόγον· λέγω, ὅτι τὸ Α εἶναι ἴσον πρὸς τὸ Β.

Διότι, ἐὰν δὲν εἶναι ἴσον, δὲν θὰ εἶχεν ἕκαστον τῶν Α, Β τὸν αὐτὸν λόγον πρὸς τὸ Γ (θ. 3)· ἔχει δέ· ἄρα τὸ Α εἶναι ἴσον πρὸς τὸ Β.

Ἂς ἔχῃ τώρα τὸ Γ πρὸς ἕκαστον τῶν Α, Β τὸν αὐτὸν λόγον· λέγω, ὅτι τὸ Α εἶναι ἴσον πρὸς τὸ Β.

Διότι, ἐὰν δὲν εἶναι, δὲν θὰ εἶχε τὸ Γ πρὸς ἕκαστον τῶν Α, Β τὸν αὐτὸν λόγον (θ. 3)· ἔχει δέ· ἄρα τὸ Α εἶναι ἴσον πρὸς τὸ Β.

Ἄρα τὰ ἔχοντα τὸν αὐτὸν λόγον πρὸς τὸ αὐτὸ εἶναι μεταξύ των ἴσα· καὶ ἐκεῖνα πρὸς τὰ ὁποῖα τὸ αὐτὸ ἔχει τὸν αὐτὸν λόγον, εἶναι ἴσα· ὅπερ ἔδει δεῖξαι.

10.

Ἐκ τῶν μεγεθῶν, ἅτινα ἔχουσι λόγον πρὸς τὸ αὐτὸ μέγεθος, μεγαλύτερον εἶναι τὸ ἔχον τὸν μεγαλύτερον λόγον· τὸ μέγεθος δὲ πρὸς τὸ ὁποῖον τὸ αὐτὸ ἔχει μεγαλύτερον λόγον, ἐκεῖνο εἶναι μικρότερον.

Διότι ἂς ἔχῃ τὸ Α πρὸς τὸ Γ μεγαλύτερον λόγον ἢ τὸ Β πρὸς τὸ Γ· λέγω, ὅτι τὸ Α εἶναι μεγαλύτερον τοῦ Β.

Εἰ γὰρ μή, ἤτοι ἴσον ἐστὶ τὸ Α τῷ Β ἢ ἔλασσον. ἴσον μὲν οὖν οὐκ ἐστι τὸ Α τῷ Β· ἑκάτερον γὰρ ἂν τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν εἶχε λόγον. οὐκ ἔχει δέ· οὐκ ἄρα ἴσον ἐστὶ τὸ Α τῷ Β. οὐδὲ μὴν ἔλασσόν ἐστι τὸ Α τοῦ Β· τὸ Α γὰρ ἂν πρὸς τὸ Γ ἐλάσσονα λόγον εἶχεν ἤπερ τὸ Β πρὸς τὸ Γ. οὐκ ἔχει δέ· οὐκ ἄρα ἔλασσόν ἐστι τὸ Α τοῦ Β. ἐδείχθη δὲ οὐδὲ ἴσον· μεῖζον ἄρα ἐστὶ τὸ Α τοῦ Β.



Ἐχέτω δὴ πάλιν τὸ Γ πρὸς τὸ Β μείζονα λόγον ἤπερ τὸ Γ πρὸς τὸ Α· λέγω, ὅτι ἔλασσόν ἐστι τὸ Β τοῦ Α.

Εἰ γὰρ μή, ἤτοι ἴσον ἐστὶν ἢ μεῖζον. ἴσον μὲν οὖν οὐκ ἐστι τὸ Β τῷ Α· τὸ Γ γὰρ ἂν πρὸς ἑκάτερον τῶν Α, Β τὸν αὐτὸν εἶχε λόγον. οὐκ ἔχει δέ· οὐκ ἄρα ἴσον ἐστὶ τὸ Α τῷ Β. οὐδὲ μὴν μεῖζόν ἐστι τὸ Β τοῦ Α· τὸ Γ γὰρ ἂν πρὸς τὸ Β ἐλάσσονα λόγον εἶχεν ἤπερ πρὸς τὸ Α. οὐκ ἔχει δέ· οὐκ ἄρα μεῖζόν ἐστι τὸ Β τοῦ Α. ἐδείχθη δέ, ὅτι οὐδὲ ἴσον· ἔλαττον ἄρα ἐστὶ τὸ Β τοῦ Α.

Τῶν ἄρα πρὸς τὸ αὐτὸ λόγον ἐχόντων τὸ μείζονα λόγον ἔχον μεῖζόν ἐστιν· καὶ πρὸς ὃ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλαττόν ἐστιν· ὅπερ ἔδει δεῖξαι.

ια΄.

Οἱ τῷ αὐτῷ λόγῳ οἱ αὐτοὶ καὶ ἀλλήλοις εἰσὶν οἱ αὐτοί.

Ἔστωσαν γὰρ ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, ὡς δὲ τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Ε πρὸς τὸ Ζ· λέγω, ὅτι ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ.



Εἰλήφθω γὰρ τῶν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Β, Δ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν.

Καὶ ἐπεί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ εἴληπται τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Δ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, εἰ ἄρα ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Θ τοῦ Μ, καὶ εἰ ἴσον ἐστίν, ἴσον, καὶ εἰ ἐλλείπει, ἐλλείπει. πάλιν, ἐπεί ἐστιν ὡς τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Ε πρὸς τὸ Ζ, καὶ εἴληπται τῶν Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Θ, Κ, τῶν δὲ Δ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλά-

Διότι, ἐὰν δὲν εἶναι, θὰ εἶναι ἢ ἴσον τὸ Α πρὸς τὸ Β ἢ μικρότερον. Ἴσον ὅμως δὲν εἶναι τὸ Α πρὸς τὸ Β· διότι τότε ἕκαστον τῶν Α, Β θὰ εἶχε τὸν αὐτὸν λόγον πρὸς τὸ Γ (θ. 7). Ἀλλὰ δὲν ἔχει· ἄρα δὲν εἶναι ἴσον τὸ Α πρὸς τὸ Β. Ἀλλὰ δὲν εἶναι οὔτε μικρότερον τὸ Α τοῦ Β· διότι τότε τὸ Α θὰ εἶχε μικρότερον λόγον πρὸς τὸ Γ ἢ τὸ Β πρὸς τὸ Γ (θ. 8). Ἀλλὰ δὲν ἔχει· ἄρα τὸ Α δὲν εἶναι μικρότερον τοῦ Β. Ἐδείχθη δὲ οὐδὲ ἴσον· ἄρα τὸ Α εἶναι μεγαλύτερον τοῦ Β.

Ἂς ἔχῃ πάλιν τὸ Γ πρὸς τὸ Β μεγαλύτερον λόγον ἢ τὸ Γ πρὸς τὸ Α· λέγω, ὅτι τὸ Β εἶναι μικρότερον τοῦ Α.

Διότι, ἐὰν δὲν εἶναι, θὰ εἶναι ἢ ἴσον ἢ μεγαλύτερον. Ἴσον ὅμως δὲν εἶναι τὸ Β πρὸς τὸ Α· διότι τότε τὸ Γ θὰ εἶχε πρὸς ἕκαστον τῶν Α, Β τὸν αὐτὸν λόγον (θ. 7). Ἀλλὰ δὲν ἔχει· ἄρα τὸ Α δὲν εἶναι ἴσον πρὸς τὸ Β. Ἀλλὰ δὲν εἶναι οὔτε μεγαλύτερον τὸ Β τοῦ Α· διότι τότε τὸ Γ θὰ εἶχε πρὸς τὸ Β μικρότερον λόγον ἢ πρὸς τὸ Α (θ. 8). Ἀλλὰ δὲν ἔχει· ἄρα τὸ Β δὲν εἶναι μεγαλύτερον τοῦ Α. Ἐδείχθη δέ, ὅτι οὐδὲ ἴσον· ἄρα τὸ Β εἶναι μικρότερον τοῦ Α.

Ἐκ τῶν μεγεθῶν ἄρα, τὰ ὁποῖα ἔχουσι λόγον πρὸς τὸ αὐτὸ μέγεθος, μεγαλύτερον εἶναι τὸ ἔχον τὸν μεγαλύτερον λόγον· τὸ μέγεθος δὲ πρὸς τὸ ὁποῖον τὸ αὐτὸ ἔχει μεγαλύτερον λόγον, ἐκεῖνο εἶναι μικρότερον· ὅπερ ἔδει δεῖξαι.

11.

Οἱ λόγοι, οἱ ὁποῖοι εἶναι οἱ αὐτοὶ πρὸς τὸν αὐτὸν λόγον, εἶναι καὶ μεταξύ των οἱ αὐτοί.

Διότι ἔστωσαν ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, ὡς δὲ τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Ε πρὸς τὸ Ζ· λέγω, ὅτι τὸ Α πρὸς τὸ Β εἶναι ὡς τὸ Ε πρὸς τὸ Ζ.

Διότι ἂς ληφθῶσι τῶν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Β, Δ, Ζ, ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια, τὰ Λ, Μ, Ν.

Καὶ ἐπειδὴ εἶναι ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ ἐλήφθησαν τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Δ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, ἐὰν ἄρα ὑπερέχῃ τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Θ τοῦ Μ, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικρότερον (ὁρισμ. 5). Πάλιν, ἐπειδὴ εἶναι ὡς τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Ε πρὸς τὸ Ζ, καὶ ἐλήφθησαν τῶν Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Θ, Κ, *σια τὰ Μ, Ν, εἰ ἄρα ὑπερέχει τὸ Θ τοῦ Μ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον· ἀλλὰ εἰ ὑπερεῖχε τὸ Θ τοῦ Μ, ὑπερεῖχε καὶ τὸ Η τοῦ Λ, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον· ὥστε καὶ εἰ ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον· καί ἐστι τὰ μὲν Η, Κ τῶν Α, Ε ἰσάκις πολλαπλάσια, τὰ δὲ Λ, Ν τῶν Β, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ.*

Οἱ ἄρα τῷ αὐτῷ λόγῳ οἱ αὐτοὶ καὶ ἀλλήλοις εἰσὶν οἱ αὐτοί· ὅπερ ἔδει δεῖξαι.

ιβ'.

Ἐὰν ᾖ ὁποσαοῦν μεγέθη ἀνάλογον, ἔσται ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα.

Ἔστωσαν ὁποσαοῦν μεγέθη ἀνάλογον τὰ Α, Β, Γ, Δ, Ε, Ζ, ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ τὸ Ε πρὸς τὸ Ζ· λέγω, ὅτι ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὰ Α, Γ, Ε πρὸς τὰ Β, Δ, Ζ.

Εἰλήφθω γὰρ τῶν μὲν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Β, Δ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν.



Καὶ ἐπεί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ τὸ Ε πρὸς τὸ Ζ, καὶ εἴληπται τῶν μὲν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ τῶν δὲ Β, Δ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν, εἰ ἄρα ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Θ τοῦ Μ, καὶ τὸ Κ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον. ὥστε καὶ εἰ ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὰ Η, Θ, Κ τῶν Λ, Μ, Ν, καὶ εἰ ἴσον, ἴσα, καὶ εἰ ἔλαττον, ἐλάττονα. καί ἐστι τὸ μὲν Η καὶ τὰ Η, Θ, Κ τοῦ Α καὶ τῶν Α, Γ, Ε ἰσάκις πολλαπλάσια, ἐπειδήπερ ἐὰν ᾖ ὁποσαοῦν μεγέθη ὁποσωνοῦν μεγεθῶν ἴσων τὸ πλῆθος ἕκαστον ἑκάστου ἰσάκις πολλαπλάσιον, ὁσαπλάσιόν ἐστιν ἓν τῶν μεγεθῶν ἑνός, τοσαυταπλάσια ἔσται καὶ τὰ πάντα τῶν πάντων. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ Λ καὶ τὰ Λ, Μ, Ν τοῦ Β καὶ τῶν Β, Δ, Ζ ἰσάκις ἐστὶ πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὰ Α, Γ, Ε πρὸς τὰ Β, Δ, Ζ.

τῶν δὲ Δ, Ζ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Μ, Ν, ἐὰν ἄρα ὑπερέχῃ τὸ Θ τοῦ Μ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικρότερον (ὁρισμ. 5). Ἀλλὰ ἐὰν ὑπερεῖχε τὸ Θ τοῦ Μ, θὰ ὑπερεῖχε καὶ τὸ Η τοῦ Λ, καὶ ἐὰν ἦτο ἴσον, θὰ ἦτο ἴσον, καὶ ἐὰν ἦτο μικρότερον, θὰ ἦτο μικρότερον· ὥστε καὶ ἐὰν ὑπερέχῃ τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικρότερον. Καὶ εἶναι τὰ μὲν Η, Κ ἰσάκις πολλαπλάσια τῶν Α, Ε, τὰ δὲ Λ, Ν ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τῶν Β, Ζ· ἄρα εἶναι ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ (κατὰ τὸν ὁρισμ. 5).

Οἱ λόγοι ἄρα, οἱ ὁποῖοι εἶναι οἱ αὐτοὶ πρὸς τὸν αὐτὸν λόγον, εἶναι καὶ μεταξύ των οἱ αὐτοί· ὅπερ ἔδει δεῖξαι.

12.

Ἐὰν ὑπάρχωσιν ὁσαδήποτε μεγέθη ἐν ἀναλογίᾳ, θὰ εἶναι ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως τὸ ἄθροισμα τῶν ἡγουμένων πρὸς τὸ ἄθροισμα τῶν ἑπομένων.

Ἔστωσαν ὁσαδήποτε μεγέθη ἐν ἀναλογίᾳ τὰ Α, Β, Γ, Δ, Ε, Ζ, ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ τὸ Ε πρὸς τὸ Ζ· λέγω, ὅτι εἶναι ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ ἄθροισμα Α + Γ + Ε πρὸς τὸ ἄθροισμα Β + Δ + Ζ.

Διότι ἂς ληφθῶσι τῶν μὲν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Β, Δ, Ζ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν.

Καὶ ἐπειδὴ εἶναι ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ τὸ Ε πρὸς τὸ Ζ, καὶ ἐλήφθησαν τῶν μὲν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Β, Δ, Ζ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν, ἐὰν ἄρα ὑπερέχῃ τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Θ τοῦ Μ καὶ τὸ Κ τοῦ Ν, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικρότερον (ὁρισμ. 5). Ὥστε καὶ ἐὰν ὑπερέχῃ τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ ἄθροισμα Η + Θ + Κ τοῦ ἀθροίσματος Λ + Μ + Ν, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικρότερον (ὁρισμ. 5). Καὶ εἶναι τὸ μὲν Η τοῦ Α, τὸ δὲ ἄθροισμα Η + Θ + Κ τοῦ ἀθροίσματος Α + Γ + Ε ἰσάκις πολλαπλάσια, διότι, ἐὰν ὑπάρχωσιν ὁσαδήποτε μεγέθη καὶ ἄλλα τόσα ἀκόμη, ὥστε ἕκαστον τῶν πρώτων μεγεθῶν νὰ εἶναι ἰσάκις πολλαπλάσιον ἑκάστου τῶν δευτέρων μεγεθῶν ἀντιστοίχως, ὁσαπλάσιον εἶναι ἓν τῶν μεγεθῶν ἑνός, τοσαυταπλάσιον θὰ εἶναι καὶ τὸ ἄθροισμα τῶν πρώτων μεγεθῶν πρὸς τὸ ἄθροισμα τῶν δευτέρων μεγεθῶν (θ. 1). Διὰ τοὺς αὐτοὺς λόγους καὶ τὸ Λ τοῦ Β καὶ τὸ ἄθροισμα Λ + Μ + Ν τοῦ ἀθροίσματος Β + Δ + Ζ εἶναι ἰσάκις πολλαπλάσια· εἶναι ἄρα ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ ἄθροισμα Α + Γ + Ε πρὸς τὸ ἄθροισμα Β + Δ + Ζ.

Ἐὰν ἄρα ᾖ ὁποσαοῦν μεγέθη ἀνάλογον, ἔσται ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα· ὅπερ ἔδει δεῖξαι.

ιγ'.

Ἐὰν πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, τρίτον δὲ πρὸς τέταρτον μείζονα λόγον ἔχῃ ἢ πέμπτον πρὸς ἕκτον, καὶ πρῶτον πρὸς δεύτερον μείζονα λόγον ἕξει ἢ πέμπτον πρὸς ἕκτον.

Πρῶτον γὰρ τὸ Α πρὸς δεύτερον τὸ Β τὸν αὐτὸν ἐχέτω λόγον καὶ τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ, τρίτον δὲ τὸ Γ πρὸς τέταρτον τὸ Δ μείζονα λόγον ἐχέτω ἢ πέμπτον τὸ Ε πρὸς ἕκτον τὸ Ζ. λέγω, ὅτι καὶ πρῶτον τὸ Α πρὸς δεύτερον τὸ Β μείζονα λόγον ἕξει ἤπερ πέμπτον τὸ Ε πρὸς ἕκτον τὸ Ζ.



Ἐπεὶ γάρ ἐστι τινὰ τῶν μὲν Γ, Ε ἰσάκις πολλαπλάσια, τῶν δὲ Δ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια, καὶ τὸ μὲν τοῦ Γ πολλαπλάσιον τοῦ τοῦ Δ πολλαπλασίου ὑπερέχει, τὸ δὲ τοῦ Ε πολλαπλάσιον τοῦ τοῦ Ζ πολλαπλασίου οὐχ ὑπερέχει, εἰλήφθω, καὶ ἔστω τῶν μὲν Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Δ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, ὥστε τὸ μὲν Η τοῦ Κ ὑπερέχειν, τὸ δὲ Θ τοῦ Λ μὴ ὑπερέχειν· καὶ ὁσαπλάσιον μέν ἐστι τὸ Η τοῦ Γ, τοσαυταπλάσιον ἔστω καὶ τὸ Μ τοῦ Α, ὁσαπλάσιον δὲ τὸ Κ τοῦ Δ, τοσαυταπλάσιον ἔστω καὶ τὸ Ν τοῦ Β.



Καὶ ἐπεί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ εἴληπται τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Μ, Η, τῶν δὲ Β, Δ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Ν, Κ, εἰ ἄρα ὑπερέχει τὸ Μ τοῦ Ν, ὑπερέχει καὶ τὸ Η τοῦ Κ· καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον. ὑπερέχει δὲ τὸ Η τοῦ Κ· ὑπερέχει ἄρα καὶ τὸ Μ τοῦ Ν. τὸ δὲ Θ τοῦ Λ οὐχ ὑπερέχει· καί ἐστι τὰ μὲν Μ, Θ τῶν Α, Ε ἰσάκις πολλαπλάσια, τὰ δὲ Ν, Λ τῶν Β, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· τὸ ἄρα Α πρὸς τὸ Β μείζονα λόγον ἔχει ἤπερ τὸ Ε πρὸς τὸ Ζ.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, τρίτον δὲ πρὸς τέταρτον μείζονα λόγον ἔχῃ ἢ πέμπτον πρὸς ἕκτον, καὶ πρῶτον πρὸς δεύτερον μείζονα λόγον ἕξει ἢ πέμπτον πρὸς ἕκτον· ὅπερ ἔδει δεῖξαι.

Ἐὰν ἄρα ὑπάρχωσιν ὁσαδήποτε μεγέθη ἐν ἀναλογίᾳ, θὰ εἶναι ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως τὸ ἄθροισμα τῶν ἡγουμένων πρὸς τὸ ἄθροισμα τῶν ἑπομένων· ὅπερ ἔδει δεῖξαι.

13.

Ἐὰν πρῶτον πρὸς δεύτερον ἔχῃ τὸν αὐτὸν λόγον, ὃν ἔχει τρίτον πρὸς τέταρτον, τρίτον δὲ πρὸς τέταρτον ἔχῃ μεγαλύτερον λόγον ἢ πέμπτον πρὸς ἕκτον, καὶ πρῶτον πρὸς δεύτερον θὰ ἔχῃ μεγαλύτερον λόγον ἢ πέμπτον πρὸς ἕκτον.

Διότι ἂς ἔχῃ πρῶτον τὸ Α πρὸς δεύτερον τὸ Β τὸν αὐτὸν λόγον, ὃν ἔχει τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ, ἂς ἔχῃ δὲ τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ μεγαλύτερον λόγον ἢ πέμπτον τὸ Ε πρὸς ἕκτον τὸ Ζ. Λέγω, ὅτι καὶ πρῶτον τὸ Α πρὸς δεύτερον τὸ Ζ θὰ ἔχῃ μεγαλύτερον λόγον ἢ πέμπτον τὸ Ε πρὸς ἕκτον τὸ Ζ.

Διότι, ἐπειδὴ ὑπάρχουσι μερικὰ τῶν μὲν Γ, Ε ἰσάκις πολλαπλάσια, τῶν δὲ Δ, Ζ ἄλλα, τυχόντα, ἰσάκις πολλαπλάσια, καὶ τὸ μὲν πολλαπλάσιον τοῦ Γ ὑπερέχει τοῦ πολλαπλασίου τοῦ Δ, τὸ δὲ πολλαπλάσιον τοῦ Ε δὲν ὑπερέχει τοῦ πολλαπλασίου τοῦ Ζ (ὁρισμ. 7), ἂς ληφθῶσι, καὶ ἔστω τῶν μὲν Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Δ, Ζ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, ὥστε τὸ μὲν Η νὰ ὑπερέχῃ τοῦ Κ, τὸ δὲ Θ νὰ μὴ ὑπερέχῃ τοῦ Λ· καὶ ὁσαπλάσιον μὲν εἶναι τὸ Η τοῦ Γ, τοσαυταπλάσιον ἔστω καὶ τὸ Μ τοῦ Α, ὁσαπλάσιον δὲ τὸ Κ τοῦ Δ, τοσαυταπλάσιον ἔστω καὶ τὸ Ν τοῦ Β.

Καὶ ἐπειδὴ εἶναι ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ ἐλήφθησαν τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Μ, Η, τῶν δὲ Β, Δ ἄλλα, τυχόντα ἰσάκις πολλαπλάσια τὰ Ν, Κ, ἐὰν ἄρα τὸ Μ ὑπερέχῃ τοῦ Ν, ὑπερέχει καὶ τὸ Η τοῦ Κ, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικρότερον (ὁρισ. 5). Ὑπερέχει δὲ τὸ Η τοῦ Κ· ἄρα ὑπερέχει καὶ τὸ Μ τοῦ Ν. Τὸ δὲ Θ δὲν ὑπερέχει τοῦ Λ· καὶ εἶναι τὰ μὲν Μ, Θ ἰσάκις πολλαπλάσια τῶν Α, Ε, τὰ δὲ Ν, Λ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τῶν Β, Ζ· ἄρα τὸ Α πρὸς τὸ Β ἔχει μεγαλύτερον λόγον ἢ τὸ Ε πρὸς τὸ Ζ.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον ἔχῃ τὸν αὐτὸν λόγον, ὃν ἔχει τρίτον πρὸς τέταρτον, τρίτον δὲ πρὸς τέταρτον ἔχῃ μεγαλύτερον λόγον ἢ πέμπτον πρὸς ἕκτον, θὰ ἔχῃ καὶ πρῶτον πρὸς δεύτερον μεγαλύτερον λόγον ἢ πέμπτον πρὸς ἕκτον· ὅπερ ἔδει δεῖξαι.

ιδ′.

Ἐὰν πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, τὸ δὲ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ δεύτερον τοῦ τετάρτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον.



Πρῶτον γὰρ τὸ Α πρὸς δεύτερον τὸ Β τὸν αὐτὸν ἐχέτω λόγον καὶ τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ, μεῖζον δὲ ἔστω τὸ Α τοῦ Γ· λέγω, ὅτι καὶ τὸ Β τοῦ Δ μεῖζόν ἐστιν.

Ἐπεὶ γὰρ τὸ Α τοῦ Γ μεῖζόν ἐστιν, ἄλλο δέ, ὃ ἔτυχεν, [μέγεθος] τὸ Β, τὸ Α ἄρα πρὸς τὸ Β μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Β. ὡς δὲ τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ· καὶ τὸ Γ ἄρα πρὸς τὸ Δ μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Β. πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλασσόν ἐστιν· ἔλασσον ἄρα τὸ Δ τοῦ Β· ὥστε μεῖζόν ἐστι τὸ Β τοῦ Δ.

Ὁμοίως δὴ δείξομεν, ὅτι κἂν ἴσον ᾖ τὸ Α τῷ Γ, ἴσον ἔσται καὶ τὸ Β τῷ Δ, κἂν ἔλασσον ᾖ τὸ Α τοῦ Γ, ἔλασσον ἔσται καὶ τὸ Β τοῦ Δ.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, τὸ δὲ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ δεύτερον τοῦ τετάρτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον· ὅπερ ἔδει δεῖξαι.

ιε′.

Τὰ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον ληφθέντα κατάλληλα.

Ἔστω γὰρ ἰσάκις πολλαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ· λέγω, ὅτι ἐστὶν ὡς τὸ Γ πρὸς τὸ Ζ, οὕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ.



Ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ, ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μεγέθη ἴσα τῷ Γ, τοσαῦτα καὶ ἐν τῷ ΔΕ ἴσα τῷ Ζ. διῃρήσθω τὸ μὲν ΑΒ εἰς τὰ τῷ Γ ἴσα τὰ ΑΗ, ΗΘ, ΘΒ, τὸ δὲ ΔΕ εἰς τὰ τῷ Ζ ἴσα τὰ ΔΚ, ΚΛ, ΛΕ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΑΗ, ΗΘ, ΘΒ τῷ πλήθει τῶν ΔΚ, ΚΛ, ΛΕ. καὶ ἐπεὶ ἴσα ἐστὶ τὰ ΑΗ, ΗΘ, ΘΒ ἀλλήλοις, ἔστι δὲ καὶ τὰ ΔΚ, ΚΛ, ΛΕ ἴσα ἀλλήλοις, ἔστιν ἄρα ὡς τὸ ΑΗ πρὸς τὸ ΔΚ, οὕτως τὸ ΗΘ πρὸς τὸ ΚΛ, καὶ τὸ ΘΒ

14.

Ἐὰν πρῶτον πρὸς δεύτερον ἔχῃ τὸν αὐτὸν λόγον, ὃν ἔχει τρίτον πρὸς τέταρτον, τὸ δὲ πρῶτον εἶναι μεγαλύτερον τοῦ τρίτου, καὶ τὸ δεύτερον θὰ εἶναι μεγαλύτερον τοῦ τετάρτου, καὶ ἂν εἶναι ἴσον, θὰ εἶναι ἴσον, καὶ ἂν εἶναι μικρότερον θὰ εἶναι μικρότερον.

Διότι ἂς ἔχῃ πρῶτον τὸ Α πρὸς δεύτερον τὸ Β τὸν αὐτὸν λόγον, ὃν ἔχει τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ, ἂς εἶναι δὲ τὸ Α μεγαλύτερον τοῦ Γ· λέγω, ὅτι καὶ τὸ Β εἶναι μεγαλύτερον τοῦ Δ.

Διότι, ἐπειδὴ τὸ Α εἶναι μεγαλύτερον τοῦ Γ, τὸ δὲ Β εἶναι ἄλλο τυχὸν μέγεθος, ἄρα τὸ Α ἔχει μεγαλύτερον λόγον πρὸς τὸ Β ἢ τὸ Γ πρὸς τὸ Β (θεώρ. 8). Εἶναι δὲ ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ· ἄρα καὶ τὸ Γ πρὸς τὸ Δ ἔχει μεγαλύτερον λόγον ἢ τὸ Γ πρὸς τὸ Β. Πρὸς ὃ δὲ τὸ αὐτὸ ἔχει μεγαλύτερον λόγον, ἐκεῖνο εἶναι μικρότερον (θεώρ. 10)· ἄρα τὸ Δ εἶναι μικρότερον τοῦ Β· ὥστε τὸ Β εἶναι μεγαλύτερον τοῦ Δ.

Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἂν τὸ Α εἶναι ἴσον πρὸς τὸ Γ, θὰ εἶναι ἴσον καὶ τὸ Β πρὸς τὸ Δ, καὶ ἂν εἶναι μικρότερον τὸ Α τοῦ Γ, θὰ εἶναι μικρότερον καὶ τὸ Β τοῦ Δ.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον ἔχῃ τὸν αὐτὸν λόγον, ὃν ἔχει τρίτον πρὸς τέταρτον, τὸ δὲ πρῶτον εἶναι μεγαλύτερον τοῦ τρίτου, καὶ τὸ δεύτερον θὰ εἶναι μεγαλύτερον τοῦ τετάρτου, καὶ ἂν εἶναι ἴσον, θὰ εἶναι ἴσον, καὶ ἂν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον· ὅπερ ἔδει δεῖξαι.

15.

Τὰ μέρη ἔχουσι τὸν αὐτὸν λόγον μεταξύ των, ὃν ἔχουσι τὰ ἰσάκις πολλαπλάσια αὐτῶν, ἀφοῦ ληφθῶσι καταλλήλως.

Διότι ἔστω ἰσάκις πολλαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ· λέγω, ὅτι ὡς τὸ Γ εἶναι πρὸς τὸ Ζ, οὕτως εἶναι τὸ ΑΒ πρὸς τὸ ΔΕ.

Διότι, ἐπειδὴ τὸ ΑΒ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ, ἄρα ὅσα μεγέθη περιέχονται εἰς τὸ ΑΒ, ἴσα πρὸς τὸ Γ, ἄλλα τόσα περιέχονται εἰς τὸ ΔΕ, ἴσα πρὸς τὸ Ζ. Ἂς διαιρεθῇ τὸ μὲν ΑΒ εἰς τὰ ἴσα πρὸς τὸ Γ, τὰ ΑΗ, ΗΘ, ΘΒ, τὸ δὲ ΔΕ εἰς τὰ ἴσα πρὸς τὸ Ζ τὰ ΔΚ, ΚΛ, ΛΕ· τὸ πλῆθος τῶν ΑΗ, ΗΘ, ΘΒ θὰ εἶναι ἴσον πρὸς τὸ πλῆθος τῶν ΔΚ, ΚΛ, ΛΕ. Καὶ ἐπειδὴ τὰ ΑΗ, ΗΘ, ΘΒ εἶναι ἴσα μεταξύ των, εἶναι δὲ καὶ τὰ ΔΚ, ΚΛ, ΛΕ ἴσα μεταξύ των, ἄρα εἶναι ὡς τὸ ΑΗ πρὸς τὸ ΔΚ, οὕτως τὸ ΗΘ πρὸς τὸ ΚΛ, καὶ τὸ ΘΒ πρὸς τὸ ΛΕ (θεώρ. 7). Ἄρα θὰ εἶναι καὶ ὡς ἓν τῶν ἡγουμένων πρὸς τὸ ΛΕ. ἔσται ἄρα καὶ ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα· ἔστιν ἄρα ὡς τὸ ΑΗ πρὸς τὸ ΔΚ, οὕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ. ἴσον δὲ τὸ μὲν ΑΗ τῷ Γ, τὸ δὲ ΔΚ τῷ Ζ· ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Ζ, οὕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ.

Τὰ ἄρα μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον ληφθέντα κατάλληλα· ὅπερ ἔδει δεῖξαι.

ιϛ'.

Ἐὰν τέσσαρα μεγέθη ἀνάλογον ᾖ, καὶ ἐναλλὰξ ἀνάλογον ἔσται.

Ἔστω τέσσαρα μεγέθη ἀνάλογον τὰ Α, Β, Γ, Δ, ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ· λέγω, ὅτι καὶ ἐναλλὰξ [ἀνάλογον] ἔσται, ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Β πρὸς τὸ Δ.

Εἰλήφθω γὰρ τῶν μὲν Α, Β ἰσάκις πολλαπλάσια τὰ Ε, Ζ, τῶν δὲ Γ, Δ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Η, Θ.



Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ Ε τοῦ Α καὶ τὸ Ζ τοῦ Β, τὰ δὲ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον, ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ. ὡς δὲ τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ· καὶ ὡς ἄρα τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Ε πρὸς τὸ Ζ. πάλιν, ἐπεὶ τὰ Η, Θ τῶν Γ, Δ ἰσάκις ἐστὶ πολλαπλάσια, ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Η πρὸς τὸ Θ. ὡς δὲ τὸ Γ πρὸς τὸ Δ, [οὕτως] τὸ Ε πρὸς τὸ Ζ· καὶ ὡς ἄρα τὸ Ε πρὸς τὸ Ζ, οὕτως τὸ Η πρὸς τὸ Θ. ἐὰν δὲ τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ δὲ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ δεύτερον τοῦ τετάρτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον· εἰ ἄρα ὑπερέχει τὸ Ε τοῦ Η, ὑπερέχει καὶ τὸ Ζ τοῦ Θ, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον· καί ἐστι τὰ μὲν Ε, Ζ τῶν Α, Β ἰσάκις πολλαπλάσια, τὰ δὲ Η, Θ τῶν Γ, Δ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Β πρὸς τὸ Δ.

Ἐὰν ἄρα τέσσαρα μεγέθη ἀνάλογον ᾖ, καὶ ἐναλλὰξ ἀνάλογον ἔσται· ὅπερ ἔδει δεῖξαι.

ιζ'.

Ἐὰν συγκείμενα μεγέθη ἀνάλογον ᾖ, καὶ διαιρεθέντα ἀνάλογον ἔσται.

πρὸς ἓν τῶν ἑπομένων, οὕτως τὸ ἄθροισμα τῶν ἡγουμένων πρὸς τὸ ἄθροισμα τῶν ἑπομένων (θεώρ. 12)· εἶναι ἄρα ὡς τὸ ΑΗ πρὸς τὸ ΔΚ, οὕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ. Εἶναι δὲ ἴσον τὸ μὲν ΑΗ πρὸς τὸ Γ, τὸ δὲ ΔΚ πρὸς τὸ Ζ· εἶναι ἄρα ὡς τὸ Γ πρὸς τὸ Ζ, οὕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ.

Ἄρα τὰ μέρη ἔχουσι τὸν αὐτὸν λόγον μεταξύ των, ὃν ἔχουσι τὰ ἰσάκις πολλαπλάσια αὐτῶν, ἀφοῦ ληφθῶσι καταλλήλως· ὅπερ ἔδει δεῖξαι.

16.

Ἐὰν τέσσαρα μεγέθη ἀποτελῶσιν ἀναλογίαν, καὶ ἐναλλὰξ θὰ ἀποτελῶσιν ἀναλογίαν.

Ἔστω τέσσαρα μεγέθη ἐν ἀναλογίᾳ, τὰ Α, Β, Γ, Δ, ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ· λέγω, ὅτι καὶ ἐναλλὰξ λαμβανόμενα θὰ ἀποτελῶσιν ἀναλογίαν, ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Β πρὸς τὸ Δ.

Διότι ἂς ληφθῶσι τῶν μὲν Α, Β ἰσάκις πολλαπλάσια τὰ Ε, Ζ, τῶν δὲ Γ,Δ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Η, Θ.

Καὶ ἐπειδὴ τὸ Ε εἶναι ἰσάκις πολλαπλάσιον τοῦ Α καὶ τὸ Ζ τοῦ Β, τὰ δὲ μέρη ἔχουσι μεταξύ των τὸν αὐτὸν λόγον, ὃν ἔχουσι τὰ ἰσάκις πολλαπλάσια αὐτῶν (θεώρ. 15), εἶναι ἄρα ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ. Ὡς δὲ τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ· καὶ ὡς ἄρα τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Ε πρὸς τὸ Ζ (θεώρ. 11). Πάλιν ἐπειδὴ τὰ Η, Θ εἶναι ἰσάκις πολλαπλάσια τῶν Γ, Δ, εἶναι ἄρα ὡς τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Η πρὸς τὸ Θ (θεώρ. 15). Ὡς δὲ τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Ε πρὸς τὸ Ζ· καὶ ὡς ἄρα τὸ Ε πρὸς τὸ Ζ, οὕτως τὸ Η πρὸς τὸ Θ (θεώρ. 11). Ἐὰν δὲ τέσσαρα μεγέθη ἀποτελῶσιν ἀναλογίαν, τὸ δὲ πρῶτον εἶναι μεγαλύτερον τοῦ τρίτου, καὶ τὸ δεύτερον θὰ εἶναι μεγαλύτερον τοῦ τετάρτου, καὶ ἐὰν εἶναι ἴσον, θὰ εἶναι ἴσον, ἐὰν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον (θεώρ. 14). Ἐὰν ἄρα ὑπερέχῃ τὸ Ε τοῦ Η, ὑπερέχει καὶ τὸ Ζ τοῦ Θ, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικρότερον. Καὶ εἶναι τὰ μὲν Ε, Ζ ἰσάκις πολλαπλάσια τῶν Α, Β, τὰ δὲ Η, Θ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τῶν Γ, Δ· εἶναι ἄρα ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Β πρὸς τὸ Δ.

Ἐὰν ἄρα τέσσαρα μεγέθη ἀποτελῶσιν ἀναλογίαν, καὶ ἐναλλὰξ θὰ ἀποτελῶσιν ἀναλογίαν· ὅπερ ἔδει δεῖξαι.

17.

Ἐὰν προστεθέντα μεγέθη ἀποτελῶσιν ἀναλογίαν καὶ διαιρεθέντα θὰ ἀποτελῶσιν ἀναλογίαν.

Ἔστω συγκείμενα μεγέθη ἀνάλογον τὰ ΑΒ, ΒΕ, ΓΔ, ΔΖ, ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΔΖ· λέγω, ὅτι καὶ διαιρεθέντα ἀνάλογον ἔσται, ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΔΖ.

Εἰλήφθω γὰρ τῶν μὲν ΑΕ, ΕΒ, ΓΖ, ΖΔ ἰσάκις πολλαπλάσια τὰ ΗΘ, ΘΚ, ΛΜ, ΜΝ, τῶν δὲ ΕΒ, ΖΔ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ ΚΞ, ΝΠ.



Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΗΘ τοῦ ΑΕ καὶ τὸ ΘΚ τοῦ ΕΒ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΗΘ τοῦ ΑΕ καὶ τὸ ΗΚ τοῦ ΑΒ. ἰσάκις δέ ἐστι πολλαπλάσιον τὸ ΗΘ τοῦ ΑΕ καὶ τὸ ΛΜ τοῦ ΓΖ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΗΚ τοῦ ΑΒ καὶ τὸ ΛΜ τοῦ ΓΖ. πάλιν, ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΛΜ τοῦ ΓΖ καὶ τὸ ΜΝ τοῦ ΖΔ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΛΜ τοῦ ΓΖ καὶ τὸ ΛΝ τοῦ ΓΔ. ἰσάκις δὲ ἦν πολλαπλάσιον τὸ ΛΜ τοῦ ΓΖ καὶ τὸ ΗΚ τοῦ ΑΒ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΗΚ τοῦ ΑΒ καὶ τὸ ΛΝ τοῦ ΓΔ. τὰ ΗΚ, ΛΝ ἄρα τῶν ΑΒ, ΓΔ ἰσάκις ἐστὶ πολλαπλάσια. πάλιν, ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΘΚ τοῦ ΕΒ καὶ τὸ ΜΝ τοῦ ΖΔ, ἔστι δὲ καὶ τὸ ΚΞ τοῦ ΕΒ ἰσάκις πολλαπλάσιον καὶ τὸ ΝΠ τοῦ ΖΔ, καὶ συντεθὲν τὸ ΘΞ τοῦ ΕΒ ἰσάκις ἐστὶ πολλαπλάσιον καὶ τὸ ΜΠ τοῦ ΖΔ. Καὶ ἐπεί ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΔΖ, καὶ εἴληπται τῶν μὲν ΑΒ, ΓΔ ἰσάκις πολλαπλάσια τὰ ΗΚ, ΛΝ, τῶν δὲ ΕΒ, ΖΔ ἰσάκις πολλαπλάσια τὰ ΘΞ, ΜΠ, εἰ ἄρα ὑπερέχει τὸ ΗΚ τοῦ ΘΞ, ὑπερέχει καὶ τὸ ΛΝ τοῦ ΜΠ, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον. ὑπερεχέτω δὴ τὸ ΗΚ τοῦ ΘΞ, καὶ κοινοῦ ἀφαιρεθέντος τοῦ ΘΚ ὑπερέχει ἄρα καὶ τὸ ΗΘ τοῦ ΚΞ. ἀλλὰ εἰ ὑπερεῖχε τὸ ΗΚ τοῦ ΘΞ, ὑπερεῖχε καὶ τὸ ΛΝ τοῦ ΜΠ· ὑπερέχει ἄρα καὶ τὸ ΛΝ τοῦ ΜΠ, καὶ κοινοῦ ἀφαιρεθέντος τοῦ ΜΝ ὑπερέχει καὶ τὸ ΛΜ τοῦ ΝΠ· ὥστε εἰ ὑπερέχει τὸ ΗΘ τοῦ ΚΞ, ὑπερέχει καὶ τὸ ΛΜ τοῦ ΝΠ. ὁμοίως δὴ δείξομεν, ὅτι κἂν ἴσον ᾖ τὸ ΗΘ τῷ ΚΞ, ἴσον ἔσται καὶ τὸ ΛΜ τῷ ΝΠ, κἂν ἔλαττον, ἔλαττον. καί ἐστι τὰ μὲν ΗΘ, ΛΜ τῶν ΑΕ, ΓΖ ἰσάκις πολλαπλάσια, τὰ δὲ ΚΞ, ΝΠ τῶν ΕΒ, ΖΔ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ.

Ἐὰν ἄρα συγκείμενα μεγέθη ἀνάλογον ᾖ, καὶ διαιρεθέντα ἀνάλογον ἔσται· ὅπερ ἔδει δεῖξαι.

ιη΄.

Ἐὰν διῃρημένα μεγέθη ἀνάλογον ᾖ, καὶ συντεθέντα ἀνάλογον ἔσται.

Ἔστω ἐν ἀναλογίᾳ τὰ προστεθέντα μεγέθη ΑΒ, ΒΕ, ΓΔ, ΔΖ, ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΔΖ· λέγω, ὅτι καὶ διαιρεθέντα θ' ἀποτελῶσιν ἀναλογίαν, ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΔΖ.[1]

Διότι ἂς ληφθῶσι τῶν μὲν ΑΕ, ΕΒ, ΓΖ, ΖΔ ἰσάκις πολλαπλάσια τὰ ΗΘ, ΘΚ, ΛΜ, ΜΝ, τῶν δὲ ΕΒ, ΖΔ ἄλλα, τυχόντα, ἰσάκις πολλαπλάσια τὰ ΚΞ, ΝΠ.

Καὶ ἐπειδὴ τὸ ΗΘ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΑΕ καὶ τὸ ΘΚ τοῦ ΕΒ, τὸ ΗΘ ἄρα εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΑΕ καὶ τὸ ΗΚ τοῦ ΑΒ (θεώρ. 1). Εἶναι δὲ ἰσάκις πολλαπλάσιον τὸ ΗΘ τοῦ ΑΕ καὶ τὸ ΛΜ τοῦ ΓΖ· τὸ ΗΚ ἄρα εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΑΒ καὶ τὸ ΛΜ τοῦ ΓΖ. Πάλιν ἐπειδὴ τὸ ΛΜ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΓΖ καὶ τὸ ΜΝ τοῦ ΖΔ, τὸ ΛΜ ἄρα εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΓΖ καὶ τὸ ΛΝ τοῦ ΓΔ (θεώρ. 1). Ἦτο δὲ ἰσάκις πολλαπλάσιον τὸ ΛΜ τοῦ ΓΖ, καὶ τὸ ΗΚ τοῦ ΑΒ· τὸ ΗΚ ἄρα εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΑΒ, καὶ τὸ ΛΝ τοῦ ΓΔ. Τὰ ΗΚ, ΛΝ ἄρα εἶναι ἰσάκις πολλαπλάσια τῶν ΑΒ, ΓΔ. Πάλιν ἐπειδὴ τὸ ΘΚ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΕΒ καὶ τὸ ΜΝ τοῦ ΖΔ, εἶναι δὲ καὶ τὸ ΚΞ ἰσάκις πολλαπλάσιον τοῦ ΕΒ καὶ τὸ ΝΠ τοῦ ΖΔ, καὶ τὸ ἄθροισμα ΘΞ εἶναι ἰσάκις πολλαπλάσιον τοῦ ΕΒ καὶ τὸ ἄθροισμα ΜΠ τοῦ ΖΔ (θεώρ. 2). Καὶ ἐπειδὴ εἶναι ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΔΖ, καὶ ἐλήφθησαν τῶν μὲν ΑΒ, ΓΔ ἰσάκις πολλαπλάσια τὰ ΗΚ, ΛΝ, τῶν δὲ ΕΒ, ΖΔ ἰσάκις πολλαπλάσια τὰ ΘΞ, ΜΠ, ἐὰν ἄρα ὑπερέχῃ τὸ ΗΚ τοῦ ΘΞ, ὑπερέχει καὶ τὸ ΛΝ τοῦ ΜΠ, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικρότερον (ὁρισμ. 5). Ἂς ὑπερέχῃ τὸ ΗΚ τοῦ ΘΞ, καὶ ἀφοῦ ἀφαιρεθῇ τὸ κοινὸν τὸ ΘΚ, καὶ τὸ ΗΘ ἄρα ὑπερέχει τοῦ ΚΞ. Ἀλλὰ ἐὰν ὑπερεῖχε τὸ ΗΚ τοῦ ΘΞ, θὰ ὑπερεῖχε καὶ τὸ ΛΝ τοῦ ΜΠ· ὑπερέχει ἄρα καὶ τὸ ΛΝ τοῦ ΜΠ, καὶ ἀφοῦ ἀφαιρεθῇ τὸ κοινὸν τὸ ΜΝ, ὑπερέχει καὶ τὸ ΛΜ τοῦ ΝΠ· ὥστε ἐὰν ὑπερέχῃ τὸ ΗΘ τοῦ ΚΞ, ὑπερέχει καὶ τὸ ΛΜ τοῦ ΝΠ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἐὰν εἶναι ἴσον τὸ ΗΘ πρὸς τὸ ΚΞ, θὰ εἶναι ἴσον καὶ τὸ ΛΜ πρὸς τὸ ΝΠ, καὶ ἐὰν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον. Καὶ εἶναι τὰ μὲν ΗΘ, ΛΜ ἰσάκις πολλαπλάσια τῶν ΑΕ, ΓΖ, τὰ δὲ ΚΞ, ΝΠ τῶν ΕΒ, ΖΔ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια· εἶναι ἄρα ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ (ὁρισ. 5).

Ἐὰν ἄρα προστεθέντα μεγέθη ἀποτελῶσιν ἀναλογίαν καὶ διαιρεθέντα θ' ἀποτελῶσιν ἀναλογίαν· ὅπερ ἔδει δεῖξαι.

18.

Ἐὰν διῃρημένα μεγέθη ἀποτελῶσιν ἀναλογίαν καὶ προστεθέντα θ' ἀποτελῶσιν ἀναλογίαν.

---

1. Εἰς τὴν ἔκδοσιν Heiberg δὲν ὑπάρχει σχῆμα. Τοῦτο ἐτέθη ἐπὶ τῇ βάσει τοῦ κειμένου.



Ἔστω διῃρημένα μεγέθη ἀνάλογον τὰ ΑΕ, ΕΒ, ΓΖ, ΖΔ, ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ· λέγω, ὅτι καὶ συντεθέντα ἀνάλογον ἔσται, ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΖΔ.

Εἰ γὰρ μή ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΔΖ, ἔσται ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ ἤτοι πρὸς ἔλασσόν τι τοῦ ΔΖ ἢ πρὸς μεῖζον.

Ἔστω πρότερον πρὸς ἔλασσον τὸ ΔΗ. καὶ ἐπεί ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΔΗ, συγκείμενα μεγέθη ἀνάλογόν ἐστιν· ὥστε καὶ διαιρεθέντα ἀνάλογον ἔσται. ἔστιν ἄρα ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΗ πρὸς τὸ ΗΔ. ὑπόκειται δὲ καὶ ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ. καὶ ὡς ἄρα τὸ ΓΗ πρὸς τὸ ΗΔ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ. μεῖζον δὲ τὸ πρῶτον τὸ ΓΗ τοῦ τρίτου τοῦ ΓΖ· μεῖζον ἄρα καὶ τὸ δεύτερον τὸ ΗΔ τοῦ τετάρτου τοῦ ΖΔ. ἀλλὰ καὶ ἔλαττον· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἐστὶν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς ἔλασσον τοῦ ΖΔ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ πρὸς μεῖζον· πρὸς αὐτὸ ἄρα.

Ἐὰν ἄρα διῃρημένα μεγέθη ἀνάλογον ᾖ, καὶ συντεθέντα ἀνάλογον ἔσται· ὅπερ ἔδει δεῖξαι.

ιθ'.

Ἐὰν ᾖ ὡς ὅλον πρὸς ὅλον, οὕτως ἀφαιρεθὲν πρὸς ἀφαιρεθέν, καὶ τὸ λοιπὸν πρὸς τὸ λοιπὸν ἔσται ὡς ὅλον πρὸς ὅλον.

Ἔστω γὰρ ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ, οὕτως ἀφαιρεθὲν τὸ ΑΕ πρὸς ἀφαιρεθὲν τὸ ΓΖ· λέγω, ὅτι καὶ λοιπὸν τὸ ΕΒ πρὸς λοιπὸν τὸ ΖΔ ἔσται ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ.



Ἐπεὶ γάρ ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ, οὕτως τὸ ΑΕ πρὸς τὸ ΓΖ, καὶ ἐναλλὰξ ὡς τὸ ΒΑ πρὸς τὸ ΑΕ, οὕτως τὸ ΔΓ πρὸς τὸ ΓΖ. καὶ ἐπεὶ συγκείμενα μεγέθη ἀνάλογόν ἐστιν, καὶ διαιρεθέντα ἀνάλογον ἔσται, ὡς τὸ ΒΕ πρὸς τὸ ΕΑ, οὕτως τὸ ΔΖ πρὸς τὸ ΓΖ· καὶ ἐναλλάξ, ὡς τὸ ΒΕ πρὸς τὸ ΔΖ, οὕτως τὸ ΕΑ πρὸς τὸ ΖΓ. ὡς δὲ τὸ ΑΕ πρὸς τὸ ΓΖ, οὕτως ὑπόκειται ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ. καὶ λοιπὸν ἄρα τὸ ΕΒ πρὸς λοιπὸν τὸ ΖΔ ἔσται ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ.

Ἐὰν ἄρα ᾖ ὡς ὅλον πρὸς ὅλον, οὕτως ἀφαιρεθὲν πρὸς ἀφαιρεθέν, καὶ

Ἔστω ἐν ἀναλογίᾳ διῃρημένα μεγέθη τὰ ΑΕ, ΕΒ, ΓΖ, ΖΔ, ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ· λέγω, ὅτι καὶ τὸ ἄθροισμα αὐτῶν θ' ἀποτελῇ ἀναλογίαν, ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΖΔ.

Διότι ἐὰν δὲν εἶναι ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΔΖ, θὰ εἶναι ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς μικρότερόν τι τοῦ ΔΖ ἢ πρὸς μεγαλύτερον.

Ἔστω πρότερον πρὸς μικρότερον τὸ ΔΗ. Καὶ ἐπειδὴ εἶναι ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΔΗ, ὑπάρχουσι προστεθέντα μεγέθη ἐν ἀναλογίᾳ (θεώρ. 17)· ὥστε καὶ διαιρεθέντα θ' ἀποτελῶσιν ἀναλογίαν. Εἶναι ἄρα ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΗ πρὸς τὸ ΗΔ. Ἔχει ληφθῆ δὲ καὶ ἐξ ὑποθέσεως, ὅτι ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ. Καὶ ὡς ἄρα τὸ ΓΗ πρὸς τὸ ΗΔ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ (θεώρ. 11). Εἶναι δὲ τὸ πρῶτον τὸ ΓΗ μεγαλύτερον τοῦ τρίτου τοῦ ΓΖ· θὰ εἶναι ἄρα μεγαλύτερον καὶ τὸ δεύτερον τὸ ΗΔ τοῦ τετάρτου τοῦ ΖΔ (θεώρ. 14). Ἀλλὰ εἶναι καὶ μικρότερον· ὅπερ ἀδύνατον· δὲν εἶναι ἄρα ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς μικρότερον τοῦ ΖΔ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι οὐδὲ πρὸς μεγαλύτερον· ἄρα πρὸς αὐτὸ (δηλ. εἶναι ΑΒ : ΒΕ = ΓΔ : ΖΔ).

Ἐὰν ἄρα διῃρημένα μεγέθη ἀποτελῶσιν ἀναλογίαν, καὶ προστεθέντα θ' ἀποτελῶσιν ἀναλογίαν· ὅπερ ἔδει δεῖξαι.

19.

Ἐὰν εἶναι ὅλον πρὸς ὅλον, οὕτως ἀφαιρεθὲν πρὸς ἀφαιρεθέν, καὶ τὸ ὑπόλοιπον θὰ εἶναι πρὸς τὸ ὑπόλοιπον ὡς ὅλον πρὸς ὅλον.

Διότι ἔστω ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ οὕτως ἀφαιρεθὲν τὸ ΑΕ πρὸς ἀφαιρεθὲν τὸ ΓΖ· λέγω, ὅτι καὶ τὸ ὑπόλοιπον τὸ ΕΒ πρὸς τὸ ὑπόλοιπον τὸ ΖΔ θὰ εἶναι ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ.

Διότι, ἐπειδὴ εἶναι ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ, οὕτως τὸ ΑΕ πρὸς τὸ ΓΖ, θὰ εἶναι καὶ ἐναλλὰξ ὡς τὸ ΒΑ πρὸς τὸ ΑΕ, οὕτως τὸ ΔΓ πρὸς τὸ ΓΖ (θεώρ. 16). Καὶ ἐπειδὴ προστεθέντα μεγέθη ἀποτελοῦσιν ἀναλογίαν, θ' ἀποτελῶσι καὶ διῃρημένα ἀναλογίαν, ὡς τὸ ΒΕ πρὸς τὸ ΕΑ, οὕτως τὸ ΔΖ πρὸς τὸ ΓΖ (θεώρ. 17), καὶ ἐναλλὰξ (θεώρ. 16) ὡς τὸ ΒΕ πρὸς τὸ ΔΖ, οὕτως τὸ ΕΑ πρὸς τὸ ΖΓ. Ὡς δὲ τὸ ΑΕ πρὸς τὸ ΓΖ, οὕτως ἔχει ληφθῆ ἐξ ὑποθέσεως ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ. Ἄρα καὶ τὸ ὑπόλοιπον τὸ ΕΒ πρὸς τὸ ὑπόλοιπον τὸ ΖΔ θὰ εἶναι ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ.

Ἐὰν ἄρα ὅλον πρὸς ὅλον εἶναι ὡς ἀφαιρεθὲν πρὸς ἀφαιρεθέν, καὶ τὸ *τὸ λοιπὸν πρὸς τὸ λοιπὸν ἔσται ὡς ὅλον πρὸς ὅλον [ὅπερ ἔδει δεῖξαι].*

[Καὶ ἐπεὶ ἐδείχθη ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ, οὕτως τὸ ΕΒ πρὸς τὸ ΖΔ, καὶ ἐναλλὰξ ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΖΔ, συγκείμενα ἄρα μεγέθη ἀνάλογόν ἐστιν· ἐδείχθη δὲ ὡς τὸ ΒΑ πρὸς τὸ ΑΕ, οὕτως τὸ ΔΓ πρὸς τὸ ΓΖ· καί ἐστιν ἀναστρέψαντι].

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐὰν συγκείμενα μεγέθη ἀνάλογον ᾖ, καὶ ἀναστρέψαντι ἀνάλογον ἔσται· ὅπερ ἔδει δεῖξαι.

κ'.

Ἐὰν ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα καὶ ἐν αὐτῷ λόγῳ, δι' ἴσου δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον.

Ἔστω τρία μεγέθη τὰ Α, Β, Γ, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Δ, Ε, Ζ, σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Δ πρὸς τὸ Ε, ὡς δὲ τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Ε πρὸς τὸ Ζ, δι' ἴσου δὲ μεῖζον ἔστω τὸ Α τοῦ Γ· λέγω, ὅτι καὶ τὸ Δ τοῦ Ζ μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον.



Ἐπεὶ γὰρ μεῖζόν ἐστι τὸ Α τοῦ Γ, ἄλλο δέ τι τὸ Β, τὸ δὲ μεῖζον πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει ἤπερ τὸ ἔλαττον, τὸ Α ἄρα πρὸς τὸ Β μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Β. ἀλλ' ὡς μὲν τὸ Α πρὸς τὸ Β, [οὕτως] τὸ Δ πρὸς τὸ Ε, ὡς δὲ τὸ Γ πρὸς τὸ Β, ἀνάπαλιν οὕτως τὸ Ζ πρὸς τὸ Ε· καὶ τὸ Δ ἄρα πρὸς τὸ Ε μείζονα λόγον ἔχει ἤπερ τὸ Ζ πρὸς τὸ Ε. τῶν δὲ πρὸς τὸ αὐτὸ λόγον ἐχόντων τὸ μείζονα λόγον ἔχον μεῖζόν ἐστιν. μεῖζον ἄρα τὸ Δ τοῦ Ζ. ὁμοίως δὴ δείξομεν, ὅτι κἂν ἴσον ᾖ τὸ Α τῷ Γ, ἴσον ἔσται καὶ τὸ Δ τῷ Ζ, κἂν ἔλαττον, ἔλαττον.

Ἐὰν ἄρα ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, δι' ἴσου δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ὑπόλοιπον θὰ εἶναι πρὸς τὸ ὑπόλοιπον ὡς ὅλον πρὸς ὅλον· ὅπερ ἔδει δεῖξαι.

[Καὶ ἐπειδὴ ἐδείχθη ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ, οὕτως τὸ ΕΒ πρὸς τὸ ΖΔ, καὶ ἐναλλὰξ ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΖΔ, ἄρα προστεθέντα μεγέθη εὑρίσκονται ἐν ἀναλογίᾳ· ἐδείχθη δὲ ὡς τὸ ΒΑ πρὸς τὸ ΑΕ, οὕτως τὸ ΔΓ πρὸς τὸ ΓΖ· καὶ εἶναι ἡ ἀναλογία αὕτη κατ' ἀναστροφὴν (ὁρισ. 16)].

Π ό ρ ι σ μ α.

Ἐκ τούτου εἶναι φανερόν, ὅτι ἐὰν προστεθέντα μεγέθη ἀποτελῶσιν ἀναλογίαν, θὰ ἀποτελῶσιν ἀναλογίαν καὶ κατ' ἀναστροφήν· ὅπερ ἔδει δεῖξαι.

20.

Ἐὰν ὑπάρχωσι τρία μεγέθη καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτὰ καὶ λαμβανόμενα ἀνὰ δύο ἔχωσι τὸν αὐτὸν λόγον, δι' ἴσου δὲ τὸ πρῶτον εἶναι μεγαλύτερον τοῦ τρίτου, καὶ τὸ τέταρτον θὰ εἶναι μεγαλύτερον τοῦ ἕκτου, καὶ ἐὰν εἶναι ἴσον, θὰ εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον.

Ἔστω τρία μεγέθη τὰ Α, Β, Γ καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτά, τὰ Δ, Ε, Ζ, καὶ λαμβανόμενα ἀνὰ δύο ἔχουσι τὸν αὐτὸν λόγον, ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Δ πρὸς τὸ Ε, ὡς δὲ τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Ε πρὸς τὸ Ζ, κατὰ τὸν σχηματισμὸν δὲ ἀναλογίας μὲ λῆψιν τῶν ἄκρων καθ' ὑπεξαίρεσιν τῶν μέσων ἔστω τὸ Α μεγαλύτερον τοῦ Γ· λέγω, ὅτι καὶ τὸ Δ θὰ εἶναι μεγαλύτερον τοῦ Ζ, καὶ ἐὰν εἶναι ἴσον, θὰ εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον.

Διότι, ἐπειδὴ τὸ Α εἶναι μεγαλύτερον τοῦ Γ, τὸ δὲ Β εἶναι τυχὸν ἄλλο μέγεθος, τὸ δὲ μεγαλύτερον πρὸς τὸ αὐτὸ ἔχει μεγαλύτερον λόγον ἢ τὸ μικρότερον (θεώρ. 8), ἄρα τὸ Α ἔχει μεγαλύτερον λόγον πρὸς τὸ Β ἢ τὸ Γ πρὸς τὸ Β. Ἀλλ' ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Δ πρὸς τὸ Ε, ὡς δὲ ἀνάπαλιν (θεώρ. 7, πόρ.) τὸ Γ πρὸς τὸ Β, οὕτως τὸ Ζ πρὸς τὸ Ε (ἀνάπαλιν, διότι ἔχει ληφθῆ $B : \Gamma = E : Z$)· ἄρα καὶ τὸ Δ πρὸς Ε ἔχει μεγαλύτερον λόγον ἢ τὸ Ζ πρὸς τὸ Ε. Ἐκ δὲ τῶν μεγεθῶν, τὰ ὁποῖα ἔχουσι λόγον πρὸς τὸ αὐτό, μεγαλύτερον εἶναι τὸ ἔχον μεγαλύτερον λόγον (θεώρ. 10). Ἄρα τὸ Δ εἶναι μεγαλύτερον τοῦ Ζ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἐὰν εἶναι ἴσον τὸ Α πρὸς τὸ Γ, θὰ εἶναι ἴσον καὶ τὸ Δ πρὸς τὸ Ζ, καὶ ἐὰν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον.

Ἐὰν ἄρα ὑπάρχωσι τρία μεγέθη καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτὰ καὶ λαμβανόμενα ἀνὰ δύο ἔχωσι τὸν αὐτὸν λόγον, δι' ἴσου δὲ τὸ *ᾖ, καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον· ὅπερ ἔδει δεῖξαι.*

κα'.

Ἐὰν ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, ᾖ δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, δι' ἴσου δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον.

Ἔστω τρία μεγέθη τὰ Α, Β, Γ καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Δ, Ε, Ζ, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἔστω δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ, ὡς δὲ τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ε, δι' ἴσου δὲ τὸ Α τοῦ Γ μεῖζον ἔστω· λέγω, ὅτι καὶ τὸ Δ τοῦ Ζ μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον.



Ἐπεὶ γὰρ μεῖζόν ἐστι τὸ Α τοῦ Γ, ἄλλο δέ τι τὸ Β, τὸ Α ἄρα πρὸς τὸ Β μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Β. ἀλλ' ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ, ὡς δὲ τὸ Γ πρὸς τὸ Β, ἀνάπαλιν οὕτως τὸ Ε πρὸς τὸ Δ. καὶ τὸ Ε ἄρα πρὸς τὸ Ζ μείζονα λόγον ἔχει ἤπερ τὸ Ε πρὸς τὸ Δ. πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλασσόν ἐστιν· ἔλασσον ἄρα ἐστὶ τὸ Ζ τοῦ Δ· μεῖζον ἄρα ἐστὶ τὸ Δ τοῦ Ζ. ὁμοίως δὴ δείξομεν, ὅτι κἂν ἴσον ᾖ τὸ Α τῷ Γ, ἴσον ἔσται καὶ τὸ Δ τῷ Ζ, κἂν ἔλαττον, ἔλαττον.

Ἐὰν ἄρα ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, ᾖ δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, δι' ἴσου δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον· ὅπερ ἔδει δεῖξαι.

κβ'.

Ἐὰν ᾖ ὁποσαοῦν μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται.

πρῶτον εἶναι μεγαλύτερον τοῦ τρίτου, καὶ τὸ τέταρτον θὰ εἶναι μεγαλύτερον τοῦ ἕκτου, καὶ ἐὰν εἶναι ἴσον, θὰ εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον· ὅπερ ἔδει δεῖξαι.

21.

Ἐὰν ὑπάρχωσι τρία μεγέθη καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτὰ καὶ λαμβανόμενα ἀνὰ δύο ἔχωσι τὸν αὐτὸν λόγον, εἶναι δὲ ἡ ἀναλογία αὐτῶν τεταραγμένη, δι' ἴσου δὲ τὸ πρῶτον εἶναι μεγαλύτερον τοῦ τρίτου, καὶ τὸ τέταρτον θὰ εἶναι μεγαλύτερον τοῦ ἕκτου, καὶ ἐὰν εἶναι ἴσον θὰ εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον.

Ἔστω τρία μεγέθη τὰ Α, Β, Γ καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτὰ καὶ λαμβανόμενα ἀνὰ δύο ἔχουσι τὸν αὐτὸν λόγον, ἔστω δὲ τεταραγμένη ἡ ἀναλογία αὐτῶν, ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ, ὡς δὲ τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ε, δι' ἴσου δὲ ἔστω τὸ Α μεγαλύτερον τοῦ Γ· λέγω, ὅτι καὶ τὸ Δ θὰ εἶναι μεγαλύτερον τοῦ Ζ, καὶ ἐὰν εἶναι ἴσον, θὰ εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον.

Διότι, ἐπειδὴ τὸ Α εἶναι μεγαλύτερον τοῦ Γ, τὸ δὲ Β εἶναι ἄλλο τυχὸν μέγεθος, ἄρα τὸ Α πρὸς τὸ Β ἔχει μεγαλύτερον λόγον ἢ τὸ Γ πρὸς τὸ Β (θεώρ. 8). Ἀλλ' ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ, ὡς δὲ τὸ Γ πρὸς τὸ Β, ἀνάπαλιν οὕτως τὸ Ε πρὸς τὸ Δ (θεώρ. 7, πόρ.) Ἄρα καὶ τὸ τὸ Ε πρὸς τὸ Ζ ἔχει μεγαλύτερον λόγον ἢ τὸ Ε πρὸς τὸ Δ. Πρὸς ὃ δὲ τὸ αὐτὸ ἔχει μεγαλύτερον λόγον, ἐκεῖνο εἶναι μικρότερον (θεώρ. 10)· ἄρα τὸ Ζ εἶναι μικρότερον τοῦ Δ· ἄρα τὸ Δ εἶναι μεγαλύτερον τοῦ Ζ. Καθ'ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἐὰν εἶναι ἴσον τὸ Α πρὸς τὸ Γ, θὰ εἶναι ἴσον καὶ τὸ Δ πρὸς τὸ Ζ, καὶ ἐὰν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον.

Ἐὰν ἄρα ὑπάρχωσι τρία μεγέθη καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτὰ καὶ λαμβανόμενα ἀνὰ δύο ἔχωσι τὸν αὐτὸν λόγον, εἶναι δὲ ἡ ἀναλογία αὐτῶν τεταραγμένη, δι' ἴσου δὲ τὸ πρῶτον εἶναι μεγαλύτερον τοῦ τρίτου, καὶ τὸ τέταρτον θὰ εἶναι μεγαλύτερον τοῦ ἕκτου, καὶ ἐὰν εἶναι ἴσον, θὰ εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον· ὅπερ ἔδει δεῖξαι.

22.

Ἐὰν ὑπάρχωσιν ὁσαδήποτε μεγέθη καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτὰ καὶ λαμβανόμενα ἀνὰ δύο ἔχωσι τὸν αὐτὸν λόγον, καὶ δι' ἴσου θὰ ἔχωσι τὸν αὐτὸν λόγον.

Ἔστω ὁποσαοῦν μεγέθη τὰ Α, Β, Γ καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Δ, Ε, Ζ, σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Δ πρὸς τὸ Ε, ὡς δὲ τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Ε πρὸς τὸ Ζ· λέγω, ὅτι καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται.



Εἰλήφθω γὰρ τῶν μὲν Α, Δ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Ε ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, καὶ ἔτι τῶν Γ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Μ, Ν.

Καὶ ἐπεί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Δ πρὸς τὸ Ε, καὶ εἴληπται τῶν μὲν Α, Δ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Ε ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, ἔστιν ἄρα ὡς τὸ Η πρὸς τὸ Κ, οὕτως τὸ Θ πρὸς τὸ Λ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς τὸ Κ πρὸς τὸ Μ, οὕτως τὸ Λ πρὸς τὸ Ν. ἐπεὶ οὖν τρία μεγέθη ἐστὶ τὰ Η, Κ, Μ, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Θ, Λ, Ν, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, δι' ἴσου ἄρα, εἰ ὑπερέχει τὸ Η τοῦ Μ, ὑπερέχει καὶ τὸ Θ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον. καί ἐστι τὰ μὲν Η, Θ τῶν Α, Δ ἰσάκις πολλαπλάσια, τὰ δὲ Μ, Ν τῶν Γ, Ζ ἄλλα ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια. ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ζ.

Ἐὰν ἄρα ᾖ ὁποσαοῦν μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται· ὅπερ ἔδει δεῖξαι.

κγ'.

Ἐὰν ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ᾖ δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται.

Ἔστω τρία μεγέθη τὰ Α, Β, Γ καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ τὰ Δ, Ε, Ζ, ἔστω δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ, ὡς δὲ τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ε· λέγω, ὅτι ἐστὶν ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ζ.



Εἰλήφθω τῶν μὲν Α, Β, Δ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Γ, Ε, Ζ, ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν.

Ἔστω ὁσαδήποτε μεγέθη τὰ Α, Β, Γ καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτὰ τὰ Δ, Ε, Ζ καὶ λαμβανόμενα ἀνὰ δύο ἔχουσι τὸν αὐτὸν λόγον, ἤτοι ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Δ πρὸς τὸ Ε, ὡς δὲ τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Ε πρὸς τὸ Ζ· λέγω, ὅτι καὶ δι' ἴσου θὰ ἔχωσι τὸν αὐτὸν λόγον.

Διότι ἂς ληφθῶσι τῶν μὲν Α, Δ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Ε ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, καὶ ἀκόμη τῶν Γ, Ζ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Μ, Ν.

Καὶ ἐπειδὴ εἶναι ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Δ πρὸς τὸ Ε, καὶ ἐλήφθησαν τῶν μὲν Α, Δ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Ε ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, ἄρα εἶναι ὡς τὸ Η πρὸς τὸ Κ, οὕτως τὸ Θ πρὸς τὸ Λ (θεώρ. 4). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὡς τὸ Κ πρὸς τὸ Μ, οὕτως τὸ Λ πρὸς τὸ Ν. Ἐπειδὴ λοιπὸν ὑπάρχουσι τρία μεγέθη τὰ Η, Κ, Μ καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτά, τὰ Θ, Λ, Ν καὶ λαμβανόμενα ἀνὰ δύο ἔχουσι τὸν αὐτὸν λόγον, ἄρα δι' ἴσου ἐὰν ὑπερέχῃ τὸ Η τοῦ Μ, θὰ ὑπερέχῃ καὶ τὸ Θ τοῦ Ν, καὶ ἐὰν εἶναι ἴσον, θὰ εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, θὰ εἶναι μικρότερον (θεώρ. 20). Καὶ εἶναι τὰ μὲν Η, Θ τῶν Α, Δ ἰσάκις πολλαπλάσια, τὰ δὲ Μ, Ν τῶν Γ, Ζ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια. Ἄρα εἶναι ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ζ (ὁρισμ. 5).

Ἐὰν ἄρα ὑπάρχωσιν ὁσαδήποτε μεγέθη καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτὰ καὶ λαμβανόμενα ἀνὰ δύο ἔχωσι τὸν αὐτὸν λόγον, καὶ δι' ἴσου θὰ ἔχωσι τὸν αὐτὸν λόγον· ὅπερ ἔδει δεῖξαι.

23.

Ἐὰν ὑπάρχωσι τρία μεγέθη καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτά, λαμβανόμενα δὲ ἀνὰ δύο ἔχωσι τὸν αὐτὸν λόγον, ἡ δὲ ἀναλογία αὐτῶν εἶναι τεταραγμένη, καὶ δι' ἴσου θὰ ἔχωσι τὸν αὐτὸν λόγον.

Ἔστω τρία μεγέθη τὰ Α, Β, Γ καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτά, τὰ Δ, Ε, Ζ, καὶ ἀνὰ δύο λαμβανόμενα ἔχουσι τὸν αὐτὸν λόγον, ἔστω δὲ ἡ ἀναλογία αὐτῶν τεταραγμένη, ἤτοι ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ, ὡς δὲ τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ε· λέγω, ὅτι εἶναι ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ζ.

Ἂς ληφθῶσι τῶν μὲν Α, Β, Δ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Γ, Ε, Ζ ἄλλα τυχόντα ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν.

Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσια τὰ Η, Θ τῶν Α, Β, τὰ δὲ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον, ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Η πρὸς τὸ Θ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς τὸ Ε πρὸς τὸ Ζ, οὕτως τὸ Μ πρὸς τὸ Ν· καί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ· καὶ ὡς ἄρα τὸ Η πρὸς τὸ Θ, οὕτως τὸ Μ πρὸς τὸ Ν. καὶ ἐπεί ἐστιν ὡς τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ε, καὶ ἐναλλὰξ ὡς τὸ Β πρὸς τὸ Δ, οὕτως τὸ Γ πρὸς τὸ Ε. καὶ ἐπεὶ τὰ Θ, Κ τῶν Β,Δ ἰσάκις ἐστὶ πολλαπλάσια, τὰ δὲ μέρη τοῖς ἰσάκις πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον, ἔστιν ἄρα ὡς τὸ Β πρὸς τὸ Δ, οὕτως τὸ Θ πρὸς τὸ Κ. ἀλλ' ὡς τὸ Β πρὸς τὸ Δ, οὕτως τὸ Γ πρὸς τὸ Ε· καὶ ὡς ἄρα τὸ Θ πρὸς τὸ Κ, οὕτως τὸ Γ πρὸς τὸ Ε. πάλιν, ἐπεὶ τὰ Λ, Μ τῶν Γ, Ε ἰσάκις ἐστὶ πολλαπλάσια, ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Ε, οὕτως τὸ Λ πρὸς τὸ Μ. ἀλλ' ὡς τὸ Γ πρὸς τὸ Ε, οὕτως τὸ Θ πρὸς τὸ Κ· καὶ ὡς ἄρα τὸ Θ πρὸς τὸ Κ, οὕτως τὸ Λ πρὸς τὸ Μ, καὶ ἐναλλὰξ ὡς τὸ Θ πρὸς τὸ Λ, τὸ Κ πρὸς τὸ Μ. ἐδείχθη δὲ καὶ ὡς τὸ Η πρὸς τὸ Θ, οὕτως τὸ Μ πρὸς τὸ Ν. ἐπεὶ οὖν τρία μεγέθη ἐστὶ τὰ Η, Θ, Λ, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Κ, Μ, Ν σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, καὶ ἔστιν αὐτῶν τεταραγμένη ἡ ἀναλογία, δι' ἴσου ἄρα, εἰ ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον. καί ἐστι τὰ μὲν Η, Κ τῶν Α, Δ ἰσάκις πολλαπλάσια, τὰ δὲ Λ, Ν τῶν Γ, Ζ. ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ζ.

Ἐὰν ἄρα ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ᾖ δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται· ὅπερ ἔδει δεῖξαι.

κδ'.

Ἐὰν πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, ἔχῃ δὲ καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν λόγον καὶ ἕκτον πρὸς τέταρτον, καὶ συντεθὲν πρῶτον καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν ἕξει λόγον καὶ τρίτον καὶ ἕκτον πρὸς τέταρτον.

Πρῶτον γὰρ τὸ ΑΒ πρὸς δεύτερον τὸ Γ τὸν αὐτὸν ἐχέτω λόγον καὶ τρίτον τὸ ΔΕ πρὸς τέταρτον τὸ Ζ, ἐχέτω δὲ καὶ πέμπτον τὸ ΒΗ πρὸς δεύτερον τὸ Γ τὸν αὐτὸν λόγον καὶ ἕκτον τὸ ΕΘ πρὸς τέταρτον τὸ Ζ· λέγω, ὅτι καὶ συντεθὲν πρῶτον καὶ πέμπτον τὸ ΑΗ πρὸς δεύτερον τὸ Γ τὸν αὐτὸν ἕξει λόγον, καὶ τρίτον καὶ ἕκτον τὸ ΔΘ πρὸς τέταρτον τὸ Ζ.



Καὶ ἐπειδὴ τὰ Η, Θ εἶναι ἰσάκις πολλαπλάσια τῶν Α, Β, τὰ δὲ μέρη τῶν ἰσάκις πολλαπλασίων ἔχουσι τὸν αὐτὸν λόγον, ἄρα εἶναι ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Η πρὸς τὸ Θ (θεώρ. 15). Διὰ τοὺς αὐτοὺς λόγους θὰ εἶναι καὶ ὡς τὸ Ε πρὸς τὸ Ζ, οὕτως τὸ Μ πρὸς τὸ Ν· καὶ εἶναι ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ· ἄρα καὶ ὡς τὸ Η πρὸς τὸ Θ, οὕτως τὸ Μ πρὸς τὸ Ν (θεώρ. 11). Καὶ ἐπειδὴ εἶναι ὡς τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ε, καὶ ἐναλλὰξ ὡς τὸ Β πρὸς τὸ Δ, οὕτως τὸ Γ πρὸς τὸ Ε (θεώρ. 16). Καὶ ἐπειδὴ τὰ Θ, Κ εἶναι ἰσάκις πολλαπλάσια τῶν Β, Δ, τὰ δὲ μέρη τῶν ἰσάκις πολλαπλασίων ἔχουσι τὸν αὐτὸν λόγον, ἄρα εἶναι ὡς τὸ Β πρὸς τὸ Δ, οὕτως τὸ Θ πρὸς τὸ Κ (θεώρ. 15). Ἀλλ' ὡς τὸ Β πρὸς τὸ Δ, οὕτως τὸ Γ πρὸς τὸ Ε· καὶ ὡς ἄρα τὸ Θ πρὸς τὸ Κ, οὕτως τὸ Γ πρὸς τὸ Ε (θεώρ. 11). Πάλιν ἐπειδὴ τὰ Λ, Μ εἶναι ἰσάκις πολλαπλάσια τῶν Γ, Ε, ἄρα εἶναι ὡς τὸ Γ πρὸς τὸ Ε, οὕτως τὸ Λ πρὸς τὸ Μ (θεώρ. 15). Ἀλλ' ὡς τὸ Γ πρὸς τὸ Ε, οὕτως τὸ Θ πρὸς τὸ Κ· καὶ ὡς ἄρα τὸ Θ πρὸς τὸ Κ, οὕτως τὸ Λ πρὸς τὸ Μ (θεώρ. 11), καὶ ἐναλλὰξ ὡς τὸ Θ πρὸς τὸ Λ, οὕτως τὸ Κ πρὸς τὸ Μ (θεώρ. 16). Ἐδείχθη δὲ καὶ ὡς τὸ Η πρὸς τὸ Θ, οὕτως τὸ Μ πρὸς τὸ Ν. Ἐπειδὴ λοιπὸν ὑπάρχουσι τρία μεγέθη τὰ Η, Θ, Λ καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτὰ τὰ Κ, Μ, Ν, λαμβανόμενα ἀνὰ δύο εἰς τὸν αὐτὸν λόγον, καὶ ἡ ἀναλογία αὐτῶν εἶναι τεταραγμένη (ὅρ. 18), ἄρα δι' ἴσου (δηλ. συμφώνως πρὸς τὴν ἰσότητα τῶν λόγων) ἐὰν ὑπερέχῃ τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικρότερον (θεώρ. 21). Καὶ εἶναι τὰ μὲν Η, Κ ἰσάκις πολλαπλάσια τῶν Α, Δ, τὰ δὲ Λ, Ν τῶν Γ, Ζ. Εἶναι ἄρα ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ζ (ὅρ. 5).

Ἐὰν ἄρα ὑπάρχωσι τρία μεγέθη καὶ ἄλλα ἴσα κατὰ τὸ πλῆθος πρὸς αὐτά, λαμβανόμενα δὲ ἀνὰ δύο ἔχωσι τὸν αὐτὸν λόγον, εἶναι δὲ ἡ ἀναλογία αὐτῶν τεταραγμένη, καὶ δι' ἴσου θὰ ἔχωσι τὸν αὐτὸν λόγον· ὅπερ ἔδει δεῖξαι.

24.

Ἐὰν πρῶτον πρὸς δεύτερον ἔχῃ τὸν αὐτὸν λόγον καὶ τρίτον πρὸς τέταρτον, ἔχῃ δὲ καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν λόγον καὶ ἕκτον πρὸς τέταρτον, καὶ τὸ ἄθροισμα πρώτου καὶ πέμπτου πρὸς δεύτερον θὰ ἔχῃ τὸν αὐτὸν λόγον, ὃν ἔχει τὸ ἄθροισμα τρίτου καὶ ἕκτου πρὸς τέταρτον.

Διότι ἂς ἔχῃ πρῶτον τὸ ΑΒ πρὸς δεύτερον τὸ Γ τὸν αὐτὸν λόγον καὶ τρίτον τὸ ΔΕ πρὸς τέταρτον τὸ Ζ, ἂς ἔχῃ δὲ καὶ πέμπτον τὸ ΒΗ πρὸς δεύτερον τὸ Γ τὸν αὐτὸν λόγον καὶ ἕκτον τὸ ΕΘ πρὸς τέταρτον τὸ Ζ· λέγω, ὅτι καὶ τὸ ἄθροισμα πρώτου καὶ πέμπτου τὸ ΑΗ πρὸς δεύτερον τὸ Γ θὰ ἔχῃ τὸν αὐτὸν λόγον, ὃν ἔχει καὶ τὸ ἄθροισμα τρίτου καὶ ἕκτου τὸ ΔΘ πρὸς τέταρτον τὸ Ζ.

Ἐπεὶ γάρ ἐστιν ὡς τὸ ΒΗ πρὸς τὸ Γ, οὕτως τὸ ΕΘ πρὸς τὸ Ζ, ἀνάπαλιν ἄρα ὡς τὸ Γ πρὸς τὸ ΒΗ, οὕτως τὸ Ζ πρὸς τὸ ΕΘ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ Γ, οὕτως τὸ ΔΕ πρὸς τὸ Ζ, ὡς δὲ τὸ Γ πρὸς τὸ ΒΗ, οὕτως τὸ Ζ πρὸς τὸ ΕΘ, δι' ἴσου ἄρα ἐστὶν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΗ, οὕτως τὸ ΔΕ πρὸς τὸ ΕΘ. καὶ ἐπεὶ διῃρημένα μεγέθη ἀνάλογόν ἐστιν, καὶ συντεθέντα ἀνάλογον ἔσται· ἔστιν ἄρα ὡς τὸ ΑΗ πρὸς τὸ ΗΒ, οὕτως τὸ ΔΘ πρὸς τὸ ΘΕ. ἔστι δὲ καὶ ὡς τὸ ΒΗ πρὸς τὸ Γ, οὕτως τὸ ΕΘ πρὸς τὸ Ζ· δι' ἴσου ἄρα ἐστὶν ὡς τὸ ΑΗ πρὸς τὸ Γ, οὕτως τὸ ΔΘ πρὸς τὸ Ζ.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, ἔχῃ δὲ καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν λόγον καὶ ἕκτον πρὸς τέταρτον, καὶ συντεθὲν πρῶτον καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν ἕξει λόγον καὶ τρίτον καὶ ἕκτον πρὸς τέταρτον· ὅπερ ἔδει δεῖξαι.

κε΄.

Ἐὰν τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ μέγιστον [αὐτῶν] καὶ τὸ ἐλάχιστον δύο τῶν λοιπῶν μείζονά ἐστιν.

Ἔστω τέσσαρα μεγέθη ἀνάλογον τὰ ΑΒ, ΓΔ, Ε, Ζ, ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ, οὕτως τὸ Ε πρὸς τὸ Ζ, ἔστω δὲ μέγιστον μὲν αὐτῶν τὸ ΑΒ, ἐλάχιστον δὲ τὸ Ζ· λέγω, ὅτι τὰ ΑΒ, Ζ τῶν ΓΔ, Ε μείζονά ἐστιν.



Κείσθω γὰρ τῷ μὲν Ε ἴσον τὸ ΑΗ, τῷ δὲ Ζ ἴσον τὸ ΓΘ.

Ἐπεὶ [οὖν] ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ, οὕτως τὸ Ε πρὸς τὸ Ζ, ἴσον δὲ τὸ μὲν Ε τῷ ΑΗ, τὸ δὲ Ζ τῷ ΓΘ, ἔστιν ἄρα ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ, οὕτως τὸ ΑΗ πρὸς τὸ ΓΘ. καὶ ἐπεί ἐστιν ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ, οὕτως ἀφαιρεθὲν τὸ ΑΗ πρὸς ἀφαιρεθὲν τὸ ΓΘ, καὶ λοιπὸν ἄρα τὸ ΗΒ πρὸς λοιπὸν τὸ ΘΔ ἔσται ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ. μεῖζον δὲ τὸ ΑΒ τοῦ ΓΔ· μεῖζον ἄρα καὶ τὸ ΗΒ τοῦ ΘΔ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ μὲν ΑΗ τῷ Ε, τὸ δὲ ΓΘ τῷ Ζ, τὰ ἄρα ΑΗ, Ζ ἴσα ἐστὶ τοῖς ΓΘ, Ε. Καὶ [ἐπεὶ] ἐὰν [ἀνίσοις ἴσα προστεθῇ, τὰ ὅλα ἄνισά ἐστιν, ἐὰν ἄρα] τῶν ΗΒ, ΘΔ ἀνίσων ὄντων καὶ μείζονος τοῦ ΗΒ τῷ μὲν ΗΒ προστεθῇ τὰ ΑΗ, Ζ, τῷ δὲ ΘΔ προστεθῇ τὰ ΓΘ, Ε, συνάγεται τὰ ΑΒ, Ζ μείζονα τῶν ΓΔ, Ε.

Διότι, ἐπειδὴ εἶναι ὡς τὸ ΒΗ πρὸς τὸ Γ, οὕτως τὸ ΕΘ πρὸς τὸ Ζ, ἄρα κατ' ἀνάπαλιν λόγον θὰ εἶναι ὡς τὸ Γ πρὸς τὸ ΒΗ, οὕτως τὸ Ζ πρὸς τὸ ΕΘ (θεώρ. 7, πόρ.). Ἐπειδὴ λοιπὸν εἶναι ὡς τὸ ΑΒ πρὸς τὸ Γ, οὕτως τὸ ΔΕ πρὸς τὸ Ζ, ὡς δὲ τὸ Γ πρὸς τὸ ΒΗ, οὕτως τὸ Ζ πρὸς τὸ ΕΘ, ἄρα δι' ἴσου θὰ εἶναι ὡς τὸ ΑΒ πρὸς τὸ ΒΗ, οὕτως τὸ ΔΕ πρὸς τὸ ΕΘ (θεώρ. 22). Καὶ ἐπειδὴ διῃρημένα μεγέθη εὑρίσκονται ἐν ἀναλογίᾳ, θὰ εἶναι καὶ τὸ ἄθροισμα αὐτῶν ἐν ἀναλογίᾳ (θεώρ. 18)· ἄρα εἶναι ὡς τὸ ΑΗ πρὸς τὸ ΗΒ, οὕτως τὸ ΔΘ πρὸς τὸ ΘΕ. Εἶναι δὲ καὶ ὡς τὸ ΒΗ πρὸς τὸ Γ, οὕτως τὸ ΕΘ πρὸς τὸ Ζ· δι' ἴσου ἄρα εἶναι ὡς τὸ ΑΗ πρὸς τὸ Γ, οὕτως τὸ ΔΘ πρὸς τὸ Ζ (θεώρ. 22).

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον ἔχῃ τὸν αὐτὸν λόγον καὶ τρίτον πρὸς τέταρτον, ἔχῃ δὲ καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν λόγον καὶ ἕκτον πρὸς τέταρτον, καὶ τὸ ἄθροισμα τοῦ πρώτου καὶ πέμπτου πρὸς δεύτερον θὰ ἔχῃ τὸν αὐτὸν λόγον, ὃν ἔχει τὸ ἄθροισμα τρίτου καὶ ἕκτου πρὸς τέταρτον· ὅπερ ἔδει δεῖξαι.

25.

Ἐὰν τέσσαρα μεγέθη εὑρίσκωνται ἐν ἀναλογίᾳ, τὸ ἄθροισμα τοῦ μεγίστου καὶ τοῦ ἐλαχίστου ἐξ αὐτῶν εἶναι μεγαλύτερον τοῦ ἀθροίσματος τῶν δύο ἄλλων.

Ἔστω τέσσαρα μεγέθη ἐν ἀναλογίᾳ τὰ ΑΒ, ΓΔ, Ε, Ζ, ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ, οὕτως τὸ Ε πρὸς τὸ Ζ, ἔστω δὲ μέγιστον μὲν αὐτῶν τὸ ΑΒ, ἐλάχιστον δὲ τὸ Ζ· λέγω, ὅτι τὸ ἄθροισμα ΑΒ σὺν Ζ εἶναι μεγαλύτερον τοῦ ἀθροίσματος ΓΔ σὺν Ε.

Διότι ἂς ληφθῇ πρὸς μὲν τὸ Ε ἴσον τὸ ΑΗ, πρὸς δὲ τὸ Ζ ἴσον τὸ ΓΘ.

Ἐπειδὴ λοιπὸν εἶναι ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ, οὕτως τὸ Ε πρὸς τὸ Ζ, εἶναι δὲ ἴσον τὸ μὲν Ε πρὸς τὸ ΑΗ, τὸ δὲ Ζ πρὸς τὸ ΓΘ, ἄρα εἶναι ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ, οὕτως τὸ ΑΗ πρὸς τὸ ΓΘ. Καὶ ἐπειδὴ εἶναι ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ, οὕτως τὸ ἀφαιρεθὲν ΑΗ πρὸς τὸ ἀφαιρεθὲν ΓΘ (θεώρ. 19), ἄρα καὶ τὸ ὑπόλοιπον ΗΒ πρὸς τὸ ὑπόλοιπον ΘΔ θὰ εἶναι ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ. Εἶναι δὲ τὸ ΑΒ μεγαλύτερον τοῦ ΓΔ· ἄρα καὶ τὸ ΗΒ εἶναι μεγαλύτερον τοῦ ΘΔ. Καὶ ἐπειδὴ εἶναι ἴσον τὸ μὲν ΑΗ πρὸς τὸ Ε, τὸ δὲ ΓΘ πρὸς τὸ Ζ, ἄρα τὸ ἄθροισμα ΑΗ σὺν Ζ εἶναι ἴσον πρὸς τὸ ἄθροισμα ΓΘ σὺν Ε. Καὶ ἐπειδή, ἐὰν εἰς ἄνισα προστεθῶσιν ἴσα, τὰ ὅλα εἶναι ἄνισα, ἐὰν ἄρα, ἐν ᾧ τὰ ΗΒ, ΘΔ εἶναι ἄνισα καὶ τὸ ΗΒ εἶναι μεγαλύτερον, προστεθῇ εἰς μὲν τὸ ΗΒ τὸ ἄθροισμα ΑΗ σὺν Ζ, εἰς δὲ τὸ ΘΔ προστεθῇ τὸ ἄθροισμα ΓΘ σὺν Ε, συνάγεται, ὅτι τὸ ἄθροισμα ΑΒ σὺν Ζ εἶναι μεγαλύτερον τοῦ ἀθροίσματος ΓΔ σὺν Β (Ι. κοιναὶ ἔν. 4).

Ἐὰν ἄρα τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ μέγιστον αὐτῶν καὶ τὸ ἐλάχιστον δύο τῶν λοιπῶν μείζονά ἐστιν· ὅπερ ἔδει δεῖξαι.

Ἐὰν ἄρα τέσσαρα μεγέθη εὑρίσκωνται ἐν ἀναλογίᾳ, τὸ ἄθροισμα τοῦ μεγίστου καὶ τοῦ ἐλαχίστου ἐξ αὐτῶν εἶναι μεγαλύτερον τοῦ ἀθροίσματος τῶν δύο ἄλλων· ὅπερ ἔδει δεῖξαι.

ϛ΄.

Ὅροι.

α΄. Ὅμοια σχήματα εὐθύγραμμά ἐστιν, ὅσα τάς τε γωνίας ἴσας ἔχει κατὰ μίαν καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον.

[β΄. Ἀντιπεπονθότα δὲ σχήματά ἐστιν, ὅταν ἐν ἑκατέρῳ τῶν σχημάτων ἡγούμενοί τε καὶ ἑπόμενοι λόγοι ὦσιν].

γ΄. Ἄκρον καὶ μέσον λόγον εὐθεῖα τετμῆσθαι λέγεται, ὅταν ᾖ ὡς ἡ ὅλη πρὸς τὸ μεῖζον τμῆμα, οὕτως τὸ μεῖζον πρὸς τὸ ἔλαττον.

δ΄. Ὕψος ἐστὶ παντὸς σχήματος ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν κάθετος ἀγομένη.

[ε΄. Λόγος ἐκ λόγων συγκεῖσθαι λέγεται, ὅταν αἱ τῶν λόγων πηλικότητες ἐφ' ἑαυτὰς πολλαπλασιασθεῖσαι ποιῶσί τινα].

α΄.

Τὰ τρίγωνα καὶ τὰ παραλληλόγραμμα τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις.

Ἔστω τρίγωνα μὲν τὰ ΑΒΓ, ΑΓΔ, παραλληλόγραμμα δὲ τὰ ΕΓ, ΓΖ ὑπὸ τὸ αὐτὸ ὕψος τὸ ΑΓ· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον, καὶ τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον.



Ἐκβεβλήσθω γὰρ ἡ ΒΔ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Θ, Λ σημεῖα, καὶ κείσθωσαν τῇ μὲν ΒΓ βάσει ἴσαι [ὁσαιδηποτοῦν] αἱ ΒΗ, ΗΘ, τῇ δὲ ΓΔ βάσει ἴσαι ὁσαιδηποτοῦν αἱ ΔΚ, ΚΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ, ΑΘ, ΑΚ, ΑΛ.

Καὶ ἐπεὶ ἴσαι εἰσὶν αἱ ΓΒ, ΒΗ, ΗΘ ἀλλήλαις, ἴσα ἐστὶ καὶ τὰ ΑΘΗ, ΑΗΒ, ΑΒΓ τρίγωνα ἀλλήλοις. ὁσαπλασίων ἄρα ἐστὶν ἡ ΘΓ βάσις τῆς ΒΓ βάσεως, τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΒΓ τριγώνου.

ΒΙΒΛΙΟΝ VI.

Ὁ ρ ι σ μ ο ί.

1. Ὅμοια σχήματα εὐθύγραμμα εἶναι ὅσα ἔχουσι καὶ τὰς γωνίας ἴσας ἀνὰ μίαν καὶ τὰς πλευράς, αἱ ὁποῖαι περιέχουσι τὰς ἴσας γωνίας ἀναλόγους.

[2. Ἀντιστρόφως δὲ ἀνάλογα σχήματα εἶναι, ὅταν εἰς ἕκαστον τῶν σχημάτων ὑπάρχωσιν ἡγούμενοι καὶ ἑπόμενοι λόγοι].

3. Εὐθεῖα λέγεται, ὅτι ἔχει τμηθῆ εἰς ἄκρον καὶ μέσον λόγον, ὅταν εἶναι ὡς ἡ ὅλη πρὸς τὸ μεγαλύτερον τμῆμα, οὕτως τὸ μεγαλύτερον πρὸς τὸ μικρότερον.

4. Ὕψος εἶναι παντὸς σχήματος ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν ἀγομένη κάθετος.

[5. Λόγος λέγεται, ὅτι σύγκειται ἐκ λόγων, ὅταν αἱ πηλικότητες (τὰ μέτρα) τῶν λόγων πολλαπλασιασθεῖσαι ἐφ' ἑαυτὰς σχηματίζωσι λόγον τινά].

1.

Τὰ τρίγωνα καὶ τὰ παραλληλόγραμμα, τὰ ὁποῖα εἶναι ὑπὸ τὸ αὐτὸ ὕψος, εἶναι μεταξύ των ὡς αἱ βάσεις.

Ἔστω τρίγωνα μὲν τὰ ΑΒΓ, ΑΓΔ, παραλληλόγραμμα δὲ τὰ ΕΓ, ΓΖ ὑπὸ τὸ αὐτὸ ὕψος τὸ ΑΓ· λέγω, ὅτι ὡς εἶναι ἡ βάσις ΒΓ πρὸς τὴν βάσιν ΓΔ, οὕτως εἶναι τὸ τρίγωνον ΑΒΓ πρὸς τὸ τρίγωνον ΑΓΔ καὶ τὸ παραλληλόγραμμον ΕΓ πρὸς τὸ παραλληλόγραμμον ΓΖ.

Διότι ἂς προεκβληθῇ ἡ ΒΔ καὶ ἀπὸ τὰ δύο μέρη αὐτῆς μέχρι τῶν σημείων Θ,Λ, καὶ ἂς ληφθῶσι πρὸς μὲν τὴν βάσιν ΒΓ ὁσαιδήποτε ἴσαι αἱ ΒΗ, ΗΘ, πρὸς δὲ τὴν βάσιν ΓΔ ὁσαιδήποτε ἴσαι αἱ ΔΚ, ΚΛ, καὶ ἂς ἀχθῶσιν αἱ ΑΗ, ΑΘ, ΑΚ, ΑΛ.

Καὶ ἐπειδὴ αἱ ΓΒ, ΒΗ, ΗΘ εἶναι ἴσαι μεταξύ των, εἶναι καὶ τὰ τρίγωνα ΑΘΗ, ΑΗΒ, ΑΒΓ ἴσα μεταξύ των (Ι. 38). Ὁσαπλασία ἄρα εἶναι ἡ βάσις ΘΓ τῆς βάσεως ΒΓ, τοσαυταπλάσιον εἶναι καὶ τὸ τρίγωνον ΑΘΓ *διὰ τὰ αὐτὰ δὴ ὁσαπλασίων ἐστὶν ἡ ΛΓ βάσις τῆς ΓΔ βάσεως, τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΑΛΓ τρίγωνον τοῦ ΑΓΔ τριγώνου· καὶ εἰ ἴση ἐστὶν ἡ ΘΓ βάσις τῇ ΓΛ βάσει, ἴσον ἐστὶ καὶ τὸ ΑΘΓ τρίγωνον τῷ ΑΓΛ τριγώνῳ, καὶ εἰ ὑπερέχει ἡ ΘΓ βάσις τῆς ΓΛ βάσεως, ὑπερέχει καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΓΛ τριγώνου, καὶ εἰ ἐλάσσων, ἔλασσον. τεσσάρων δὴ ὄντων μεγεθῶν δύο μὲν βάσεων τῶν ΒΓ, ΓΔ, δύο δὲ τριγώνων τῶν ΑΒΓ, ΑΓΔ εἴληπται ἰσάκις πολλαπλάσια τῆς μὲν ΒΓ βάσεως καὶ τοῦ ΑΒΓ τριγώνου ἥ τε ΘΓ βάσις καὶ τὸ ΑΘΓ τρίγωνον, τῆς δὲ ΓΔ βάσεως καὶ τοῦ ΑΔΓ τριγώνου ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια ἥ τε ΛΓ βάσις καὶ τὸ ΑΛΓ τρίγωνον· καὶ δέδεικται, ὅτι, εἰ ὑπερέχει ἡ ΘΓ βάσις τῆς ΓΛ βάσεως, ὑπερέχει καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΛΓ τριγώνου, καὶ εἰ ἴση, ἴσον, καὶ εἰ ἐλάσσων, ἔλασσον· ἔστιν ἄρα ὡς ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν , οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον.*

Καὶ ἐπεὶ τοῦ μὲν ΑΒΓ τριγώνου διπλάσιόν ἐστι τὸ ΕΓ παραλληλόγραμμον, τοῦ δὲ ΑΓΔ τριγώνου διπλάσιόν ἐστι τὸ ΖΓ παραλληλόγραμμον, τὰ δὲ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον, ἔστιν ἄρα ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον, οὕτως τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΖΓ παραλληλόγραμμον. ἐπεὶ οὖν ἐδείχθη, ὡς μὲν ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον, ὡς δὲ τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον, οὕτως τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον, καὶ ὡς ἄρα ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΖΓ παραλληλόγραμμον.

Τὰ ἄρα τρίγωνα καὶ τὰ παραλληλόγραμμα τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις· ὅπερ ἔδει δεῖξαι.

βʹ.

Ἐὰν τριγώνου παρὰ μίαν τῶν πλευρῶν ἀχθῇ τις εὐθεῖα, ἀνάλογον τεμεῖ τὰς τοῦ τριγώνου πλευράς· καὶ ἐὰν αἱ τοῦ τριγώνου πλευραὶ ἀνάλογον τμηθῶσιν, ἡ ἐπὶ τὰς τομὰς ἐπιζευγνυμένη εὐθεῖα παρὰ τὴν λοιπὴν ἔσται τοῦ τριγώνου πλευράν.

Τριγώνου γὰρ τοῦ ΑΒΓ παράλληλος μιᾷ τῶν πλευρῶν τῇ ΒΓ ἤχθω ἡ ΔΕ· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΓΔ.

τοῦ τριγώνου ΑΒΓ. Διὰ τοὺς αὐτοὺς λόγους ὁσαπλασία εἶναι ἡ βάσις ΛΓ τῆς βάσεως ΓΔ, τοσαυταπλάσιον εἶναι καὶ τὸ τρίγωνον ΑΛΓ τοῦ τριγώνου ΑΓΔ· καὶ ἐὰν ἡ βάσις ΘΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΓΛ, εἶναι ἴσον καὶ τὸ τρίγωνον ΑΘΓ πρὸς τὸ τρίγωνον ΑΓΛ (I. 38), καὶ ἐὰν ἡ βάσις ΘΓ ὑπερέχῃ τῆς βάσεως ΓΛ, ὑπερέχει καὶ τὸ τρίγωνον ΑΘΓ τοῦ τριγώνου ΛΓΛ, καὶ ἐὰν εἶναι μικροτέρα, εἶναι μικρότερον. Ἐν ᾧ λοιπὸν ὑπάρχουσι τέσσαρα μεγέθη, ἤτοι δύο μὲν βάσεις αἱ ΒΓ, ΓΔ, δύο δὲ τρίγωνα τὰ ΑΒΓ, ΑΓΔ ἐλήφθησαν ἰσάκις πολλαπλάσια τῆς μὲν βάσεως ΒΓ καὶ τοῦ τριγώνου ΑΒΓ καὶ ἡ βάσις ΘΓ καὶ τὸ τρίγωνον ΑΘΓ, τῆς δὲ βάσεως ΓΔ καὶ τοῦ τριγώνου ΑΔΓ ἄλλα, τυχόντα, ἰσάκις πολλαπλάσια καὶ ἡ βάσις ΛΓ καὶ τὸ τρίγωνον ΑΛΓ· καὶ ἔχει ἀποδειχθῆ, ὅτι, ἐὰν ἡ βάσις ΘΓ ὑπερέχῃ τῆς βάσεως ΓΛ, ὑπερέχει καὶ τὸ τρίγωνον ΑΘΓ τοῦ τριγώνου ΑΛΓ, καὶ ἐὰν εἶναι ἴση, εἶναι ἴσον, καὶ ἐὰν εἶναι μικροτέρα, εἶναι μικρότερον· ἄρα εἶναι ὡς ἡ βάσις ΒΓ πρὸς τὴν βάσιν ΓΔ, οὕτως τὸ τρίγωνον ΑΒΓ πρὸς τὸ τρίγωνον ΑΓΔ (V. ὁρισ. 5).

Καὶ ἐπειδὴ τοῦ μὲν τριγώνου ΑΒΓ τὸ παραλληλόγραμμον ΕΓ εἶναι διπλάσιον, τοῦ δὲ τριγώνου ΑΓΔ εἶναι διπλάσιον τὸ παραλληλόγραμμον ΖΓ (I. 34), τὰ δὲ μέρη τῶν ἰσάκις πολλαπλασίων ἔχουσι τὸν αὐτὸν λόγον (V. 15), εἶναι ἄρα ὡς τὸ τρίγωνον ΑΒΓ πρὸς τὸ τρίγωνον ΑΓΔ, οὕτως τὸ παραλληλόγραμμον ΕΓ πρὸς τὸ παραλληλόγραμμον ΖΓ (V. 11). Ἐπειδὴ λοιπὸν ἐδείχθη, ὅτι ὡς μὲν εἶναι ἡ βάσις ΒΓ πρὸς τὴν βάσιν ΓΔ, οὕτως τὸ τρίγωνον ΑΒΓ πρὸς τὸ τρίγωνον ΑΓΔ, ὡς δὲ τὸ τρίγωνον ΑΒΓ πρὸς τὸ τρίγωνον ΑΓΔ, οὕτως τὸ παραλληλόγραμμον ΕΓ πρὸς τὸ παραλληλόγραμμον ΓΖ, καὶ ὡς ἄρα ἡ βάσις ΒΓ πρὸς τὴν βάσιν ΓΔ, οὕτως τὸ παραλληλόγραμμον ΕΓ πρὸς τὸ παραλληλόγραμμον ΖΓ (V. 11).

Ἄρα τὰ τρίγωνα καὶ τὰ παραλληλόγραμμα, τὰ ὁποῖα εἶναι ὑπὸ τὸ αὐτὸ ὕψος, εἶναι μεταξύ των ὡς αἱ βάσεις· ὅπερ ἔδει δεῖξαι.

2.

Ἐὰν εἰς τρίγωνον ἀχθῇ εὐθεῖά τις παράλληλος πρὸς μίαν τῶν πλευρῶν, θὰ τέμνῃ τὰς πλευρὰς τοῦ τριγώνου εἰς μέρη ἀνάλογα· καὶ ἐὰν αἱ πλευραὶ τοῦ τριγώνου τμηθῶσιν εἰς μέρη ἀνάλογα, ἡ εὐθεῖα ἡ ἑνοῦσα τὰ σημεῖα τῶν τομῶν θὰ εἶναι παράλληλος πρὸς τὴν ἄλλην πλευρὰν τοῦ τριγώνου.

Διότι ἂς ἀχθῇ εἰς τὸ τρίγωνον ΑΒΓ ἡ ΔΕ παράλληλος πρὸς μίαν τῶν πλευρῶν τοῦ τριγώνου τὴν ΒΓ· λέγω, ὅτι εἶναι ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ.

Διότι ἂς ἀχθῶσιν αἱ ΒΕ, ΓΔ.



Ἴσον ἄρα ἐστὶ τὸ ΒΔΕ τρίγωνον τῷ ΓΔΕ τριγώνῳ· ἐπὶ γὰρ τῆς αὐτῆς βάσεώς ἐστι τῆς ΔΕ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΔΕ, ΒΓ· ἄλλο δέ τι τὸ ΑΔΕ τρίγωνον. τὰ δὲ ἴσα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον· ἔστιν ἄρα ὡς τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ [τρίγωνον], οὕτως τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον. ἀλλ' ὡς μὲν τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ, οὕτως ἡ ΒΔ πρὸς τὴν ΔΑ· ὑπὸ γὰρ τὸ αὐτὸ ὕψος ὄντα τὴν ἀπὸ τοῦ Ε ἐπὶ τὴν ΑΒ κάθετον ἀγομένην πρὸς ἄλληλά εἰσιν ὡς αἱ βάσεις. διὰ τὰ αὐτὰ δὴ ὡς τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ· καὶ ὡς ἄρα ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ.

Ἀλλὰ δὴ αἱ τοῦ ΑΒΓ τριγώνου πλευραὶ αἱ ΑΒ, ΑΓ ἀνάλογον τετμήσθωσαν, ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ, καὶ ἐπεζεύχθω ἡ ΔΕ· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΔΕ τῇ ΒΓ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεί ἐστιν ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ, ἀλλ' ὡς μὲν ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον, ὡς δὲ ἡ ΓΕ πρὸς τὴν ΕΑ, οὕτως τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον, καὶ ὡς ἄρα τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον, οὕτως τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον. ἑκάτερον ἄρα τῶν ΒΔΕ, ΓΔΕ τριγώνων πρὸς τὸ ΑΔΕ τὸν αὐτὸν ἔχει λόγον. ἴσον ἄρα ἐστὶ τὸ ΒΔΕ τρίγωνον τῷ ΓΔΕ τριγώνῳ· καί εἰσιν ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΔΕ. τὰ δὲ ἴσα τρίγωνα καὶ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. παράλληλος ἄρα ἐστὶν ἡ ΔΕ τῇ ΒΓ.

Ἐὰν ἄρα τριγώνου παρὰ μίαν τῶν πλευρῶν ἀχθῇ τις εὐθεῖα, ἀνάλογον τεμεῖ τὰς τοῦ τριγώνου πλευράς· καὶ ἐὰν αἱ τοῦ τριγώνου πλευραὶ ἀνάλογον τμηθῶσιν, ἡ ἐπὶ τὰς τομὰς ἐπιζευγνυμένη εὐθεῖα παρὰ τὴν λοιπὴν ἔσται τοῦ τριγώνου πλευράν· ὅπερ ἔδει δεῖξαι.

γ'.

Ἐὰν τριγώνου ἡ γωνία δίχα τμηθῇ, ἡ δὲ τέμνουσα τὴν γωνίαν εὐθεῖα τέμνῃ καὶ τὴν βάσιν, τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἕξει λόγον ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς· καὶ ἐὰν τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἔχῃ λόγον ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς, ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν τομὴν ἐπιζευγνυμένη εὐθεῖα δίχα τεμεῖ τὴν τοῦ τριγώνου γωνίαν.

Ἔστω τρίγωνον τὸ ΑΒΓ, καὶ τετμήσθω ἡ ὑπὸ ΒΑΓ γωνία δίχα ὑπὸ

Ἄρα τὸ τρίγωνον ΒΔΕ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΓΔΕ· διότι εἶναι ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΔΕ καὶ μεταξὺ τῶν αὐτῶν παραλλήλων τῶν ΔΕ, ΒΓ (I. 38)· τὸ δὲ τρίγωνον ΑΔΕ εἶναι ἄλλο τι. Τὰ δὲ ἴσα ἔχουσι πρὸς τὸ αὐτὸ τὸν αὐτὸν λόγον (V. 7)· ἄρα εἶναι ὡς τὸ τρίγωνον ΒΔΕ πρὸς τὸ τρίγωνον ΑΔΕ, οὕτως τὸ τρίγωνον ΓΔΕ πρὸς τὸ τρίγωνον ΑΔΕ. Ἀλλ' ὡς μὲν εἶναι τὸ τρίγωνον ΒΔΕ πρὸς τὸ ΑΔΕ, οὕτως εἶναι ἡ ΒΔ πρὸς τὴν ΔΑ· διότι ὄντα ὑπὸ τὸ αὐτὸ ὕψος, δηλ. τὴν ἀπὸ τοῦ Ε ἐπὶ τὴν ΑΒ ἀγομένην κάθετον, εἶναι μεταξύ των ὡς αἱ βάσεις (θεώρ. 1). Διὰ τοὺς αὐτοὺς λόγους ὡς εἶναι τὸ τρίγωνον ΓΔΕ πρὸς τὸ ΑΔΕ, οὕτως εἶναι ἡ ΓΕ πρὸς τὴν ΕΑ· ἄρα καὶ ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ (V. 11).

Ἀλλ' ἂς τμηθῶσι τώρα τοῦ τριγώνου ΑΒΓ αἱ πλευραὶ αἱ ΑΒ, ΑΓ εἰς μέρη ἀνάλογα, ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ, καὶ ἂς ἀχθῇ ἡ ΔΕ· λέγω, ὅτι ἡ ΔΕ εἶναι παράλληλος πρὸς τὴν ΒΓ.

Διότι, ἀφοῦ γίνῃ ἡ προηγουμένη κατασκευή, ἐπειδὴ εἶναι ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ, ἀλλ' ὡς μὲν ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως τὸ τρίγωνον ΒΔΕ πρὸς τὸ τρίγωνον ΑΔΕ, ὡς δὲ ἡ ΓΕ πρὸς τὴν ΕΑ, οὕτως τὸ τρίγωνον ΓΔΕ πρὸς τὸ τρίγωνον ΑΔΕ (θεώρ. 1), καὶ ὡς ἄρα τὸ τρίγωνον ΒΔΕ πρὸς τὸ τρίγωνον ΑΔΕ, οὕτως τὸ τρίγωνον ΓΔΕ πρὸς τὸ τρίγωνον ΑΔΕ (V. 11). Ἄρα ἕκαστον τῶν τριγώνων ΒΔΕ, ΓΔΕ ἔχει τὸν αὐτὸν λόγον πρὸς τὸ ΑΔΕ. Ἄρα τὸ τρίγωνον ΒΔΕ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΓΔΕ (V. 9)· καὶ εἶναι ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΔΕ. Τὰ δὲ ἴσα τρίγωνα τὰ ἔχοντα τὴν αὐτὴν βάσιν εὑρίσκονται καὶ μεταξὺ τῶν αὐτῶν παραλλήλων (I. 39). Ἄρα ἡ ΔΕ εἶναι παράλληλος πρὸς τὴν ΒΓ.

Ἐὰν ἄρα εἰς τρίγωνον ἀχθῇ εὐθεῖά τις παράλληλος πρὸς μίαν τῶν πλευρῶν, θὰ τέμνῃ τὰς πλευρὰς τοῦ τριγώνου εἰς μέρη ἀνάλογα· καὶ ἐὰν αἱ πλευραὶ τοῦ τριγώνου τμηθῶσιν εἰς μέρη ἀνάλογα, ἡ εὐθεῖα ἡ ἑνοῦσα τὰ σημεῖα τῶν τομῶν θὰ εἶναι παράλληλος πρὸς τὴν ἄλλην πλευρὰν τοῦ τριγώνου· ὅπερ ἔδει δεῖξαι.

3.

Ἐὰν τριγώνου διχοτομηθῇ ἡ γωνία, ἡ δὲ τέμνουσα τὴν γωνίαν εὐθεῖα τέμνῃ καὶ τὴν βάσιν, τὰ τμήματα τῆς βάσεως θὰ ἔχωσι τὸν αὐτὸν λόγον πρὸς τὰς ἄλλας πλευρὰς τοῦ τριγώνου· καὶ ἐὰν τὰ τμήματα τῆς βάσεως ἔχωσι τὸν αὐτὸν λόγον πρὸς τὰς ἄλλας πλευρὰς τοῦ τριγώνου, ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν τομὴν ἀγομένη εὐθεῖα θὰ διχοτομῇ τὴν γωνίαν τοῦ τριγώνου.

Ἔστω τρίγωνον τὸ ΑΒΓ, καὶ ἂς διχοτομηθῇ ἡ γωνία ΒΑΓ ὑπὸ τῆς

τῆς ΑΔ εὐθείας· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΒΔ πρὸς τὴν ΓΔ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ.



Ἤχθω γὰρ διὰ τοῦ Γ τῇ ΔΑ παράλληλος ἡ ΓΕ, καὶ διαχθεῖσα ἡ ΒΑ συμπιπτέτω αὐτῇ κατὰ τὸ Ε.

Καὶ ἐπεὶ εἰς παραλλήλους τὰς ΑΔ, ΕΓ εὐθεῖα ἐνέπεσεν ἡ ΑΓ, ἡ ἄρα ὑπὸ ΑΓΕ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΓΑΔ. ἀλλ' ἡ ὑπὸ ΓΑΔ τῇ ὑπὸ ΒΑΔ ὑπόκειται ἴση· καὶ ἡ ΒΑΔ ἄρα τῇ ὑπὸ ΑΓΕ ἐστιν ἴση. πάλιν, ἐπεὶ εἰς παραλλήλους τὰς ΑΔ, ΕΓ εὐθεῖα ἐνέπεσεν ἡ ΒΑΕ, ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΒΑΔ ἴση ἐστὶ τῇ ἐντὸς τῇ ὑπὸ ΑΕΓ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΑΓΕ τῇ ὑπὸ ΒΑΔ ἴση· καὶ ἡ ὑπὸ ΑΓΕ ἄρα γωνία τῇ ὑπὸ ΑΕΓ ἐστιν ἴση· ὥστε καὶ πλευρὰ ἡ ΑΕ πλευρᾷ τῇ ΑΓ ἐστιν ἴση. καὶ ἐπεὶ τριγώνου τοῦ ΒΓΕ παρὰ μίαν τῶν πλευρῶν τὴν ΕΓ ἦκται ἡ ΑΔ, ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΕ. ἴση δὲ ἡ ΑΕ τῇ ΑΓ· ὡς ἄρα ἡ ΒΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ.

Ἀλλὰ δὴ ἔστω ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ, καὶ ἐπεζεύχθω ἡ ΑΔ· λέγω, ὅτι δίχα τέτμηται ἡ ὑπὸ ΒΑΓ γωνία ὑπὸ τῆς ΑΔ εὐθείας.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεί ἐστιν ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ, ἀλλὰ καὶ ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ, οὕτως ἐστὶν ἡ ΒΑ πρὸς τὴν ΑΕ· τριγώνου γὰρ τοῦ ΒΓΕ παρὰ μίαν τὴν ΕΓ ἦκται ἡ ΑΔ· καὶ ὡς ἄρα ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΕ. ἴση ἄρα ἡ ΑΓ τῇ ΑΕ· ὥστε καὶ γωνία ἡ ὑπὸ ΑΕΓ τῇ ὑπὸ ΑΓΕ ἐστιν ἴση. ἀλλ' ἡ μὲν ὑπὸ ΑΕΓ τῇ ἐκτὸς τῇ ὑπὸ ΒΑΔ [ἐστιν] ἴση, ἡ δὲ ὑπὸ ΑΓΕ τῇ ἐναλλὰξ τῇ ὑπὸ ΓΑΔ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΒΑΔ ἄρα τῇ ὑπὸ ΓΑΔ ἐστιν ἴση. ἡ ἄρα ὑπὸ ΒΑΓ γωνία δίχα τέτμηται ὑπὸ τῆς ΑΔ εὐθείας.

Ἐὰν ἄρα τριγώνου ἡ γωνία δίχα τμηθῇ, ἡ δὲ τέμνουσα τὴν γωνίαν εὐθεῖα τέμνῃ καὶ τὴν βάσιν, τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἕξει λόγον ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς· καὶ ἐὰν τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἔχῃ λόγον ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς, ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν τομὴν ἐπιζευγνυμένη εὐθεῖα δίχα τέμνει τὴν τοῦ τριγώνου γωνίαν· ὅπερ ἔδει δεῖξαι.

δ'.

Τῶν ἰσογωνίων τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι.

εὐθείας ΑΔ· λέγω, ὅτι εἶναι ὡς ἡ ΒΔ πρὸς τὴν ΓΔ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ.

Διότι ἂς ἀχθῇ διὰ τοῦ Γ ἡ ΓΕ παράλληλος πρὸς τὴν ΔΑ, καὶ ἀφοῦ προεκταθῇ ἡ ΒΑ, ἂς συναντήσῃ αὐτὴν κατὰ τὸ Ε (I. αἴτ. 5).

Καὶ ἐπειδὴ ἡ εὐθεῖα ΑΓ τέμνει τὰς παραλλήλους ΑΔ, ΕΓ, ἄρα ἡ γωνία ΑΓΕ εἶναι ἴση πρὸς τὴν ΓΑΔ (I. 29). Ἀλλὰ ἡ ΓΑΔ εἶναι ἐξ ὑποθέσεως ἴση πρὸς τὴν ΒΑΔ· ἄρα καὶ ἡ ΒΑΔ εἶναι ἴση πρὸς τὴν ΑΓΕ. Πάλιν, ἐπειδὴ αἱ παράλληλοι ΑΔ, ΕΓ τέμνονται ὑπὸ τῆς εὐθείας ΒΑΕ, ἡ ἐκτὸς γωνία ἡ ΒΑΔ εἶναι ἴση πρὸς τὴν ἐντὸς τὴν ΑΕΓ (I. 29). Ἐδείχθη δέ, ὅτι καὶ ἡ ΑΓΕ εἶναι ἴση πρὸς τὴν ΒΑΔ· ἄρα καὶ ἡ γωνία ΑΓΕ εἶναι ἴση πρὸς τὴν ΑΕΓ· ὥστε καὶ ἡ πλευρὰ ΑΕ εἶναι ἴση πρὸς τὴν πλευρὰν ΑΓ (I. 6). Καὶ ἐπειδὴ εἰς τρίγωνον τὸ ΒΓΕ ἤχθη ἡ ΑΔ παράλληλος πρὸς μίαν τῶν πλευρῶν τὴν ΕΓ, ἄρα αἱ πλευραὶ τοῦ τριγώνου τέμνονται εἰς μέρη ἀνάλογα, ἤτοι εἶναι ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΕ (θεώρ. 2). Εἶναι δὲ ἴση ἡ ΑΕ πρὸς τὴν ΑΓ· ὡς ἄρα ἡ ΒΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ.

Ἀλλ' ἔστω τώρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ, καὶ ἄς ἀχθῇ ἡ ΑΔ· λέγω, ὅτι ἡ γωνία ΒΑΓ διχοτομεῖται ὑπὸ τῆς εὐθείας ΑΔ.

Διότι, ἀφοῦ γίνῃ ἡ προηγουμένη κατασκευή, ἐπειδὴ εἶναι ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ, ἀλλὰ καὶ ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ, οὕτως εἶναι ἡ ΒΑ πρὸς τὴν ΑΕ· διότι εἰς τρίγωνον τὸ ΒΓΕ ἤχθη ἡ ΑΔ παράλληλος πρὸς μίαν τῶν πλευρῶν τὴν ΕΓ (θεώρ. 2)· καὶ ὡς ἄρα ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΕ (V. 11). Ἄρα ἡ ΑΓ εἶναι ἴση πρὸς τὴν ΑΕ (V. 9)· ὥστε καὶ ἡ γωνία ΑΕΓ εἶναι ἴση πρὸς τὴν ΑΓΕ (I. 5). Ἀλλὰ ἡ μὲν ΑΕΓ εἶναι ἴση πρὸς τὴν ἐκτὸς τὴν ΒΑΔ (I. 29), ἡ δὲ ΑΓΕ εἶναι ἴση πρὸς τὴν ἐναλλὰξ τὴν ΓΑΔ· ἄρα καὶ ἡ ΒΑΔ εἶναι ἴση πρὸς τὴν ΓΑΔ. Ἄρα ἡ γωνία ΒΑΓ ἔχει διχοτομηθῇ ὑπὸ τῆς εὐθείας ΑΔ.

Ἐὰν ἄρα διχοτομηθῇ ἡ γωνία τριγώνου, ἡ δὲ τέμνουσα τὴν γωνίαν εὐθεῖα τέμνῃ καὶ τὴν βάσιν, τὰ τμήματα τῆς βάσεως θὰ ἔχωσι τὸν αὐτὸν λόγον πρὸς τὰς ἄλλας πλευρὰς τοῦ τριγώνου· καὶ ἐὰν τὰ τμήματα τῆς βάσεως ἔχωσι τὸν αὐτὸν λόγον πρὸς τὰς ἄλλας πλευρὰς τοῦ τριγώνου, ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν τομὴν ἀγομένη εὐθεῖα θὰ διχοτομῇ τὴν γωνίαν τοῦ τριγώνου· ὅπερ ἔδει δεῖξαι.

4.

Τῶν ἰσογωνίων τριγώνων αἱ πλευραὶ αἱ περιέχουσαι τὰς ἴσας γωνίας εἶναι ἀνάλογοι καὶ αἱ πλευραὶ αἱ κείμεναι ἀπέναντι τῶν ἴσων γωνιῶν ὁμόλογοι.

Ἔστω ἰσογώνια τρίγωνα τὰ ΑΒΓ, ΔΓΕ ἴσην ἔχοντα τὴν μὲν ὑπὸ ΑΒΓ γωνίαν τῇ ὑπὸ ΔΓΕ, τὴν δὲ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΓΔΕ καὶ ἔτι τὴν ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΓΕΔ· λέγω, ὅτι τῶν ΑΒΓ, ΔΓΕ τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι.



Κείσθω γὰρ ἐπ' εὐθείας ἡ ΒΓ τῇ ΓΕ. καὶ ἐπεὶ αἱ ὑπὸ ΑΒΓ, ΑΓΒ γωνίαι δύο ὀρθῶν ἐλάττονές εἰσιν, ἴση δὲ ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΕΓ, αἱ ἄρα ὑπὸ ΑΒΓ, ΔΕΓ δύο ὀρθῶν ἐλάττονές εἰσιν· αἱ ΒΑ, ΕΔ ἄρα ἐκβαλλόμεναι συμπεσοῦνται. ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ Ζ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔΓΕ γωνία τῇ ὑπὸ ΑΒΓ, παράλληλός ἐστιν ἡ ΒΖ τῇ ΓΔ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΕΓ, παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΖΕ. παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΖΑΓΔ· ἴση ἄρα ἡ μὲν ΖΑ τῇ ΔΓ, ἡ δὲ ΑΓ τῇ ΖΔ. καὶ ἐπεὶ τριγώνου τοῦ ΖΒΕ παρὰ μίαν τὴν ΖΕ ἧκται ἡ ΑΓ, ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΖ, οὕτως ἡ ΒΓ πρὸς τὴν ΓΕ. ἴση δὲ ἡ ΑΖ τῇ ΓΔ· ὡς ἄρα ἡ ΒΑ πρὸς τὴν ΓΔ, οὕτως ἡ ΒΓ πρὸς τὴν ΓΕ, καὶ ἐναλλὰξ ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΕ. πάλιν, ἐπεὶ παράλληλός ἐστιν ἡ ΓΔ τῇ ΒΖ, ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ ΖΔ πρὸς τὴν ΔΕ. ἴση δὲ ἡ ΖΔ τῇ ΑΓ· ὡς ἄρα ἡ ΒΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΔΕ, καὶ ἐναλλὰξ ὡς ἡ ΒΓ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ. ἐπεὶ οὖν ἐδείχθη ὡς μὲν ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΕ, ὡς δὲ ἡ ΒΓ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ, δι' ἴσου ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΓΔ πρὸς τὴν ΔΕ.

Τῶν ἄρα ἰσογωνίων τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι· ὅπερ ἔδει δεῖξαι.

ε'.

Ἐὰν δύο τρίγωνα τὰς πλευρὰς ἀνάλογον ἔχῃ, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰς πλευρὰς ἀνάλογον ἔχοντα, ὡς μὲν τὴν ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὴν ΔΕ τὴν πρὸς ΕΖ, ὡς δὲ τὴν ΒΓ πρὸς τὴν ΓΑ, οὕτως τὴν ΕΖ πρὸς τὴν ΖΔ, καὶ ἔτι ὡς τὴν ΒΑ πρὸς τὴν ΑΓ, Ἔστω ἰσογώνια τρίγωνα τὰ ΑΒΓ, ΔΓΕ ἔχοντα τὴν μὲν γωνίαν ΑΒΓ ἴσην πρὸς τὴν ΔΓΕ, τὴν δὲ ΒΑΓ πρὸς τὴν ΓΔΕ καὶ ἀκόμη τὴν ΑΓΒ πρὸς τὴν ΓΕΔ· λέγω, ὅτι τῶν τριγώνων ΑΒΓ, ΔΓΕ αἱ πλευραὶ αἱ περιέχουσαι τὰς ἴσας γωνίας εἶναι ἀνάλογοι καὶ αἱ κείμεναι ἀπέναντι τῶν ἴσων γωνιῶν ὁμόλογοι.

Διότι ἂς κεῖνται ἐπὶ τῆς αὐτῆς εὐθείας ἡ ΒΓ καὶ ἡ ΓΕ. Καὶ ἐπειδὴ αἱ γωνίαι ΑΒΓ, ΑΓΒ εἶναι μικρότεραι δύο ὀρθῶν (I. 17), εἶναι δὲ ἴση ἡ ΑΓΒ πρὸς τὴν ΔΕΓ, ἄρα αἱ ΑΒΓ, ΔΕΓ εἶναι μικρότεραι δύο ὀρθῶν· ἄρα αἱ ΒΑ, ΕΔ προεκβαλλόμεναι θὰ συμπέσωσιν (I. αἴτ. 5). Ἂς προεκβληθῶσι καὶ ἂς συμπέσωσι κατὰ τὸ Ζ.

Καὶ ἐπειδὴ ἡ γωνία ΔΓΕ εἶναι ἴση πρὸς τὴν ΑΒΓ, ἡ ΒΖ εἶναι παράλληλος πρὸς τὴν ΓΔ (I. 28). Πάλιν, ἐπειδὴ ἡ ΑΓΒ εἶναι ἴση πρὸς τὴν ΔΕΓ, ἡ ΑΓ εἶναι παράλληλος πρὸς τὴν ΖΕ (I. 28). Ἄρα τὸ ΖΑΓΔ εἶναι παραλληλόγραμμον· ἄρα ἡ μὲν ΖΑ εἶναι ἴση πρὸς τὴν ΔΓ, ἡ δὲ ΑΓ πρὸς τὴν ΖΔ (I. 34). Καὶ ἐπειδὴ εἰς τρίγωνον τὸ ΖΒΕ ἤχθη πρὸς τὴν πλευρὰν ΖΕ παράλληλος ἡ ΑΓ, εἶναι ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΖ, οὕτως ἡ ΒΓ πρὸς τὴν ΓΕ (θεώρ. 2). Εἶναι δὲ ἴση ἡ ΑΖ πρὸς τὴν ΓΔ· ὡς ἄρα εἶναι ἡ ΒΑ πρὸς τὴν ΓΔ, οὕτως εἶναι ἡ ΒΓ πρὸς τὴν ΓΕ, καὶ ἐναλλὰξ ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΕ. Πάλιν, ἐπειδὴ ἡ ΓΔ εἶναι παράλληλος πρὸς τὴν ΒΖ, εἶναι ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ ΖΔ πρὸς τὴν ΔΕ (θεώρ. 2). Εἶναι δὲ ἴση ἡ ΖΔ πρὸς τὴν ΑΓ· ὡς ἄρα εἶναι ἡ ΒΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΔΕ, καὶ ἐναλλὰξ ὡς ἡ ΒΓ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ (V. 16). Ἐπειδὴ λοιπὸν ἐδείχθη, ὅτι ὡς μὲν εἶναι ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΕ, ὡς δὲ ἡ ΒΓ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ, δι' ἴσου ἄρα εἶναι ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΓΔ πρὸς τὴν ΔΕ (V. 22).

Ἄρα τῶν ἰσογωνίων τριγώνων αἱ πλευραὶ αἱ περιέχουσαι τὰς ἴσας γωνίας εἶναι ἀνάλογοι καὶ αἱ ἀπέναντι τῶν ἴσων γωνιῶν πλευραὶ ὁμόλογοι· ὅπερ ἔδει δεῖξαι.

5.

Ἐὰν δύο τρίγωνα ἔχωσι τὰς πλευρὰς ἀναλόγους, θὰ εἶναι τὰ τρίγωνα ἰσογώνια καὶ θὰ ἔχωσιν ἴσας τὰς γωνίας, ἀπέναντι τῶν ὁποίων κεῖνται αἱ ὁμόλογοι πλευραί.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ ἔχοντα τὰς πλευρὰς ἀναλόγους, ὡς μὲν τὴν ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὴν ΔΕ πρὸς τὴν ΕΖ, ὡς δὲ τὴν ΒΓ πρὸς τὴν ΓΑ, οὕτως τὴν ΕΖ πρὸς τὴν ΖΔ, καὶ ἀκόμη ὡς τὴν ΒΑ πρὸς *οὕτως τὴν ΕΔ πρὸς τὴν ΔΖ. λέγω, ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ καὶ ἴσας ἕξουσι τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν, τὴν μὲν ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ, τὴν δὲ ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΕΖΔ καὶ ἔτι τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ.*



Συνεστάτω γὰρ πρὸς τῇ ΕΖ εὐθείᾳ καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Ε, Ζ τῇ μὲν ὑπὸ ΑΒΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΖΕΗ, τῇ δὲ ὑπὸ ΑΓΒ ἴση ἡ ὑπὸ ΕΖΗ· λοιπὴ ἄρα ἡ πρὸς τῷ Α λοιπῇ τῇ πρὸς τῷ Η ἐστιν ἴση.

Ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΕΗΖ [τριγώνῳ]. τῶν ἄρα ΑΒΓ, ΕΗΖ τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, [οὕτως] ἡ ΗΕ πρὸς τὴν ΕΖ. ἀλλ' ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ὑπόκειται ἡ ΔΕ πρὸς τὴν ΕΖ· ὡς ἄρα ἡ ΔΕ πρὸς τὴν ΕΖ, οὕτως ἡ ΗΕ πρὸς τὴν ΕΖ. ἑκατέρα ἄρα τῶν ΔΕ, ΗΕ πρὸς τὴν ΕΖ τὸν αὐτὸν ἔχει λόγον· ἴση ἄρα ἐστὶν ἡ ΔΕ τῇ ΗΕ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΔΖ τῇ ΗΖ ἐστιν ἴση. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΕ τῇ ΕΗ, κοινὴ δὲ ἡ ΕΖ, δύο δὴ αἱ ΔΕ, ΕΖ δυσὶ ταῖς ΗΕ, ΕΖ ἴσαι εἰσίν· καὶ βάσις ἡ ΔΖ βάσει τῇ ΖΗ [ἐστιν] ἴση· γωνία ἄρα ἡ ὑπὸ ΔΕΖ γωνίᾳ τῇ ὑπὸ ΗΕΖ ἐστιν ἴση, καὶ τὸ ΔΕΖ τρίγωνον τῷ ΗΕΖ τριγώνῳ ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἐστὶ καὶ ἡ μὲν ὑπὸ ΔΖΕ γωνία τῇ ὑπὸ ΗΖΕ, ἡ δὲ ὑπὸ ΕΔΖ τῇ ὑπὸ ΕΗΖ. καὶ ἐπεὶ ἡ μὲν ὑπὸ ΖΕΔ τῇ ὑπὸ ΗΕΖ ἐστιν ἴση, ἀλλ' ἡ ὑπὸ ΗΕΖ τῇ ὑπὸ ΑΒΓ, καὶ ἡ ὑπὸ ΑΒΓ ἄρα γωνία τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΖΕ ἐστιν ἴση, καὶ ἔτι ἡ πρὸς τῷ Α τῇ πρὸς τῷ Δ· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς πλευρὰς ἀνάλογον ἔχῃ, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν· ὅπερ ἔδει δεῖξαι.

ϛʹ.

Ἐὰν δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχῃ, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ μίαν γωνίαν τὴν ὑπὸ ΒΑΓ μιᾷ γω-

τὴν ΑΓ, οὕτως τὴν ΕΔ πρὸς τὴν ΔΖ. Λέγω, ὅτι τὸ τρίγωνον ΑΒΓ εἶναι ἰσογώνιον πρὸς τὸ τρίγωνον ΔΕΖ καὶ ὅτι θὰ ἔχωσιν ἴσας τὰς γωνίας, ἀπέναντι τῶν ὁποίων κεῖνται αἱ ὁμόλογοι πλευραί, τὴν μὲν ΑΒΓ πρὸς τὴν ΔΕΖ, τὴν δὲ ΒΓΑ πρὸς τὴν ΕΖΔ καὶ ἀκόμη τὴν ΒΑΓ πρὸς τὴν ΕΔΖ.

Διότι ἂς κατασκευασθῇ ἀπὸ τῆς εὐθείας ΕΖ καὶ ἐκ τῶν ἐπ' αὐτῆς σημείων τῶν Ε,Ζ πρὸς μὲν τὴν γωνίαν ΑΒΓ ἴση ἡ ΖΕΗ, πρὸς δὲ τὴν ΑΓΒ ἴση ἡ ΕΖΗ (I. 23)· ἄρα ἡ ἄλλη γωνία ἡ παρὰ τὸ Α θὰ εἶναι ἴση πρὸς τὴν ἄλλην τὴν παρὰ τὸ Η (I. 32).

Ἄρα τὸ τρίγωνον ΑΒΓ εἶναι ἰσογώνιον πρὸς τὸ τρίγωνον ΕΗΖ. Ἄρα τῶν τριγώνων ΑΒΓ, ΕΗΖ αἱ πλευραὶ αἱ περιέχουσαι τὰς ἴσας γωνίας εἶναι ἀνάλογοι καὶ αἱ κείμεναι ἀπέναντι τῶν ἴσων γωνιῶν εἶναι ὁμόλογοι (θεώρ. 4)· εἶναι ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΗΕ πρὸς τὴν ΕΖ. Ἀλλ' ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἐλήφθη ἡ ΔΕ πρὸς τὴν ΕΖ· ὡς ἄρα ἡ ΔΕ πρὸς τὴν ΕΖ, οὕτως ἡ ΗΕ πρὸς τὴν ΕΖ (V. 11). Ἄρα ἑκάστη τῶν ΔΕ, ΗΕ ἔχει τὸν αὐτὸν λόγον πρὸς τὴν ΕΖ· εἶναι ἄρα ἴση ἡ ΔΕ πρὸς τὴν ΗΕ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΔΖ εἶναι ἴση πρὸς τὴν ΗΖ. Ἐπειδὴ λοιπὸν ἡ ΔΕ εἶναι ἴση πρὸς τὴν ΕΗ, κοινὴ δὲ ἡ ΕΖ, ὑπάρχουσι δύο πλευραὶ αἱ ΔΕ, ΕΖ ἴσαι πρὸς δύο τὰς ΗΕ, ΕΖ· καὶ ἡ βάσις ΔΖ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΗ· ἄρα ἡ γωνία ΔΕΖ εἶναι ἴση πρὸς τὴν ΗΕΖ (I, 8) καὶ τὸ τρίγωνον ΔΕΖ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΗΕΖ καὶ αἱ λοιπαὶ γωνίαι εἶναι ἴσαι πρὸς τὰς λοιπάς, ἐκεῖναι, ἀπέναντι τῶν ὁποίων κεῖνται αἱ ἴσαι πλευραὶ (I. 4). Εἶναι ἄρα ἴση καὶ ἡ μὲν γωνία ΔΖΕ πρὸς τὴν ΗΖΕ, ἡ δὲ ΕΔΖ πρὸς τὴν ΕΗΖ. Καὶ ἐπειδὴ ἡ μὲν ΖΕΔ εἶναι ἴση πρὸς τὴν ΗΕΖ, ἀλλὰ ἡ ΗΕΖ πρὸς τὴν ΑΒΓ, ἄρα καὶ ἡ γωνία ΑΒΓ εἶναι ἴση πρὸς τὴν ΔΕΖ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΑΓΒ εἶναι ἴση πρὸς τὴν ΔΖΕ, καὶ ἀκόμη ἡ παρὰ τὸ Α ἴση πρὸς τὴν παρὰ τὸ Δ· ἄρα τὸ τρίγωνον ΑΒΓ εἶναι ἰσογώνιον πρὸς τὸ τρίγωνον ΔΕΖ.

Ἐὰν ἄρα δύο τρίγωνα ἔχωσι τὰς πλευρὰς ἀναλόγους, θὰ εἶναι τὰ τρίγωνα ἰσογώνια καὶ θὰ ἔχωσι τὰς γωνίας ἴσας, ἀπέναντι τῶν ὁποίων κεῖνται αἱ ὁμόλογοι πλευραί· ὅπερ ἔδει δεῖξαι.

6.

Ἐὰν δύο τρίγωνα ἔχωσι μίαν γωνίαν ἴσην πρὸς μίαν γωνίαν, τὰς δὲ περιεχούσας τὰς ἴσας γωνίας πλευρὰς ἀναλόγους, θὰ εἶναι τὰ τρίγωνα ἰσογώνια καὶ θὰ ἔχωσιν ἴσας τὰς γωνίας, ἀπέναντι τῶν ὁποίων κεῖνται αἱ ὁμόλογοι πλευραί.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ ἔχοντα μίαν γωνίαν τὴν ΒΑΓ *νίᾳ τῇ ὑπὸ ΕΔΖ ἴσην ἔχοντα, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον, ὡς τὴν ΒΑ πρὸς τὴν ΑΓ, οὕτως τὴν ΕΔ πρὸς τὴν ΔΖ· λέγω, ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ καὶ ἴσην ἕξει τὴν ὑπὸ ΑΒΓ γωνίαν τῇ ὑπὸ ΔΕΖ, τὴν δὲ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΖΕ.*



Συνεστάτω γὰρ πρὸς τῇ ΔΖ εὐθείᾳ καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Δ, Ζ ὁποτέρᾳ μὲν τῶν ὑπὸ ΒΑΓ, ΕΔΖ ἴση ἡ ὑπὸ ΖΔΗ, τῇ δὲ ὑπὸ ΑΓΒ ἴση ἡ ὑπὸ ΔΖΗ· λοιπὴ ἄρα ἡ πρὸς τῷ Β γωνία λοιπῇ τῇ πρὸς τῷ Η ἴση ἐστίν.

Ἐπεὶ οὖν ἴσαι εἰσὶν αἱ ΒΓ, ΓΚ, ΚΛ περιφέρειαι ἀλλήλαις, ἴσαι εἰσὶ καὶ αἱ ὑπὸ ΒΗΓ, ΓΗΚ, ΚΗΛ γωνίαι ἀλλήλαις· ὁσαπλασίων ἄρα ἐστὶν ἡ ΒΛ περιφέρεια τῆς ΒΓ, τοσαυταπλασίων ἐστὶ καὶ ἡ ὑπὸ ΒΗΛ γωνία τῆς ὑπὸ ΒΗΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ὁσαπλασίων ἐστὶν ἡ ΝΕ περιφέρεια τῆς ΕΖ, τοσαυταπλασίων ἐστὶ καὶ ἡ ὑπὸ ΝΘΕ γωνία τῆς ὑπὸ ΕΘΖ. εἰ ἄρα ἴση ἐστὶν ἡ ΒΛ περιφέρεια τῇ ΕΝ περιφερείᾳ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΒΗΛ τῇ ὑπὸ ΕΘΝ, καὶ εἰ μείζων ἐστὶν ἡ ΒΛ περιφέρεια τῆς ΕΝ περιφερείας, μείζων ἐστὶ καὶ ἡ ὑπὸ ΒΗΛ γωνία τῆς ὑπὸ ΕΘΝ, καὶ εἰ ἐλάσσων, ἐλάσσων. τεσσάρων δὴ ὄντων μεγεθῶν, δύο μὲν περιφερειῶν τῶν ΒΓ, ΕΖ, δύο δὲ γωνιῶν τῶν ὑπὸ ΒΗΓ, ΕΘΖ, εἴληπται τῆς μὲν ΒΓ περιφερείας καὶ τῆς ὑπὸ ΒΗΓ γωνίας ἰσάκις πολλαπλασίων ἥ τε ΒΛ περιφέρεια καὶ ἡ ὑπὸ ΒΗΛ γωνία, τῆς δὲ ΕΖ περιφερείας καὶ τῆς ὑπὸ ΕΘΖ γωνίας ἥ τε ΕΝ περιφέρεια καὶ ἡ ὑπὸ ΕΘΝ γωνία. καὶ δέδεικται, ὅτι εἰ ὑπερέχει ἡ ΒΛ περιφέρεια τῆς ΕΝ περιφερείας, ὑπερέχει καὶ ἡ ὑπὸ ΒΗΛ γωνία τῆς ὑπὸ ΕΘΝ γωνίας, καὶ εἰ ἴση, ἴση, καὶ εἰ ἐλάσσων, ἐλάσσων. ἔστιν ἄρα, ὡς ἡ ΒΓ περιφέρεια πρὸς τὴν ΕΖ, οὕτως ἡ ὑπὸ ΒΗΓ γωνία πρὸς τὴν ὑπὸ ΕΘΖ. ἀλλʼ ὡς ἡ ὑπὸ ΒΗΓ γωνία πρὸς τὴν ὑπὸ ΕΘΖ, οὕτως ἡ ὑπὸ ΒΑΓ πρὸς τὴν ὑπὸ ΕΔΖ· διπλασία γὰρ ἑκατέρα ἑκατέρας. καὶ ὡς ἄρα ἡ ΒΓ περιφέρεια πρὸς τὴν ΕΖ περιφέρειαν, οὕτως ἥ τε ὑπὸ ΒΗΓ γωνία πρὸς τὴν ὑπὸ ΕΘΖ καὶ ἡ ὑπὸ ΒΑΓ πρὸς τὴν ὑπὸ ΕΔΖ.

Ἐν ἄρα τοῖς ἴσοις κύκλοις αἱ γωνίαι τὸν αὐτὸν ἔχουσι λόγον ταῖς περιφερείαις, ἐφʼ ὧν βεβήκασιν, ἐάν τε πρὸς τοῖς κέντροις ἐάν τε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι· ὅπερ ἔδει δεῖξαι.

ἐκ τῶν κέντρων Η, Θ ἔστωσαν αἱ ΒΗΓ, ΕΘΖ, ἐγγεγραμμέναι δὲ αἱ ΒΑΓ, ΕΔΖ· λέγω, ὅτι εἶναι ὡς τὸ τόξον ΒΓ πρὸς τὸ τόξον ΕΖ, οὕτως καὶ ἡ γωνία ΒΗΓ πρὸς τὴν ΕΘΖ καὶ ἡ ΒΑΓ πρὸς τὴν ΕΔΖ.

Διότι, ἃς ληφθῶσιν ἐν συνεχείᾳ τοῦ τόξου ΒΓ ὁσαδήποτε τόξα ἴσα πρὸς τοῦτο τὰ ΓΚ, ΚΛ, τοῦ τόξου δὲ ΕΖ ἐν συνεχείᾳ ὁσαδήποτε τόξα ἴσα πρὸς τοῦτο τὰ ΖΜ, ΜΝ καὶ ἃς ἐπιζευχθῶσιν αἱ ΗΚ, ΗΛ, ΘΜ, ΘΝ.

Ἐπειδὴ λοιπὸν τὰ τόξα ΒΓ, ΓΚ, ΚΛ εἶναι μεταξύ των ἴσα, εἶναι ἴσαι μεταξύ των καὶ αἱ γωνίαι ΒΗΓ, ΓΗΚ, ΚΗΛ (III. 27)· ὁσαπλάσιον ἄρα εἶναι τὸ τόξον ΒΛ τοῦ τόξου ΒΓ, τοσαπλασία εἶναι καὶ ἡ γωνία ΒΗΛ τῆς ΒΗΓ. Διὰ τοὺς αὐτοὺς λόγους ὁσαπλάσιον εἶναι τὸ τόξον ΝΕ τοῦ τόξου ΕΖ, τοσαπλασία εἶναι καὶ ἡ γωνία ΝΘΕ τῆς ΕΘΖ. Ἐὰν ἄρα τὸ τόξον ΒΛ εἶναι ἴσον πρὸς τὸ τόξον ΕΝ, καὶ ἡ γωνία ΒΗΛ εἶναι ἴση πρὸς τὴν γωνίαν ΕΘΝ, καὶ ἐὰν τὸ τόξον ΒΛ εἶναι μεγαλύτερον τοῦ τόξου ΕΝ, καὶ ἡ γωνία ΒΗΛ εἶναι μεγαλυτέρα τῆς γωνίας ΕΘΝ, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικροτέρα. Ἐν ᾧ λοιπὸν ὑπάρχουσι τέσσαρα μεγέθη, δύο μὲν τόξα τὰ ΒΓ, ΕΖ, δύο δὲ γωνίαι αἱ ΒΗΓ, ΕΘΖ, ἐλήφθησαν τοῦ μὲν τόξου ΒΓ καὶ τῆς γωνίας ΒΗΓ ἰσάκις πολλαπλάσια καὶ τὸ τόξον ΒΛ καὶ ἡ γωνία ΒΗΛ, τοῦ δὲ τόξου ΕΖ καὶ τῆς γωνίας ΕΘΖ καὶ τὸ τόξον ΕΝ καὶ ἡ γωνία ΕΘΝ. Καὶ ἀπεδείχθη, ὅτι, ἐὰν τὸ τόξον ΒΛ ὑπερέχῃ τοῦ τόξου ΕΝ, ὑπερέχει καὶ ἡ γωνία ΒΗΛ τῆς γωνίας ΕΘΝ, καὶ ἐὰν εἶναι ἴσον, εἶναι ἴση, καὶ ἐὰν εἶναι μικρότερον, εἶναι μικροτέρα. Εἶναι ἄρα ὡς τὸ τόξον ΒΓ πρὸς τὸ ΕΖ, οὕτως ἡ γωνία ΒΗΓ πρὸς τὴν ΕΘΖ (V. ὁρ. 5). Ἀλλ' ὡς ἡ γωνία ΒΗΓ πρὸς τὴν ΕΘΖ, οὕτως ἡ ΒΑΓ πρὸς τὴν ΕΔΖ (V. 15)· διότι ἑκάστη (τῶν ΒΗΓ, ΕΘΖ) εἶναι διπλασία ἑκάστης (τῶν ΒΑΓ, ΕΔΖ) (III. 20). Καὶ ὡς ἄρα τὸ τόξον ΒΓ πρὸς τὸ τόξον ΕΖ, οὕτως καὶ ἡ γωνία ΒΗΓ πρὸς τὴν ΕΘΖ καὶ ἡ ΒΑΓ πρὸς τὴν ΕΔΖ.

Ἄρα εἰς τοὺς ἴσους κύκλους αἱ γωνίαι ἔχουσι τὸν αὐτὸν λόγον πρὸς τὰ τόξα, ἐπὶ τῶν ὁποίων βαίνουσιν, εἴτε εἶναι ἐπίκεντροι εἴτε ἐγγεγραμμέναι· ὅπερ ἔδει δεῖξαι.

ζʹ.

Ὅροι.

αʹ. Μονάς ἐστιν, καθ' ἣν ἕκαστον τῶν ὄντων ἓν λέγεται.

βʹ. Ἀριθμὸς δὲ τὸ ἐκ μονάδων συγκείμενον πλῆθος.

γʹ. Μέρος ἐστὶν ἀριθμὸς ἀριθμοῦ ὁ ἐλάσσων τοῦ μείζονος, ὅταν καταμετρῇ τὸν μείζονα.

δʹ. Μέρη δέ, ὅταν μὴ καταμετρῇ.

εʹ. Πολλαπλάσιος δὲ ὁ μείζων τοῦ ἐλάσσονος, ὅταν καταμετρῆται ὑπὸ τοῦ ἐλάσσονος.

ϛʹ. Ἄρτιος ἀριθμός ἐστιν ὁ δίχα διαιρούμενος.

ζʹ. Περισσὸς δὲ ὁ μὴ διαιρούμενος δίχα ἢ [ὁ] μονάδι διαφέρων ἀρτίου ἀριθμοῦ.

ηʹ. Ἀρτιάκις ἄρτιος ἀριθμός ἐστιν ὁ ὑπὸ ἀρτίου ἀριθμοῦ μετρούμενος κατὰ ἄρτιον ἀριθμόν.

θʹ. Ἀρτιάκις δὲ περισσός ἐστιν ὁ ὑπὸ ἀρτίου ἀριθμοῦ μετρούμενος κατὰ περισσὸν ἀριθμόν.

[ιʹ. Περισσάκις ἄρτιός ἐστιν ὁ ὑπὸ περισσοῦ ἀριθμοῦ μετρούμενος κατὰ ἄρτιον ἀριθμόν].

ιαʹ. Περισσάκις δὲ περισσὸς ἀριθμός ἐστιν ὁ ὑπὸ περισσοῦ ἀριθμοῦ μετρούμενος κατὰ περισσὸν ἀριθμόν.

ιβʹ. Πρῶτος ἀριθμός ἐστιν ὁ μονάδι μόνῃ μετρούμενος.

ιγʹ. Πρῶτοι πρὸς ἀλλήλους ἀριθμοί εἰσιν οἱ μονάδι μόνῃ μετρούμενοι κοινῷ μέτρῳ.

ιδʹ. Σύνθετος ἀριθμός ἐστιν ὁ ἀριθμῷ τινι μετρούμενος.

ιεʹ. Σύνθετοι δὲ πρὸς ἀλλήλους ἀριθμοί εἰσιν οἱ ἀριθμῷ τινι μετρούμενοι κοινῷ μέτρῳ.

ιϛʹ. Ἀριθμὸς ἀριθμὸν πολλαπλασιάζειν λέγεται, ὅταν, ὅσαι εἰσὶν ἐν αὐτῷ μονάδες, τοσαυτάκις συντεθῇ ὁ πολλαπλασιαζόμενος, καὶ γένηταί τις.

ιζʹ. Ὅταν δὲ δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινα, ὁ γενόμενος ἐπίπεδος καλεῖται, πλευραὶ δὲ αὐτοῦ οἱ πολλαπλασιάσαντες ἀλλήλους ἀριθμοί.

ιηʹ. Ὅταν δὲ τρεῖς ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινα,

Βιβλίον VII.

Ὁρισμοί.

1. Μονὰς εἶναι καθ' ἣν ἕκαστον τῶν ὄντων ἓν λέγεται.

2. Ἀριθμὸς δὲ τὸ ἐκ μονάδων συγκείμενον πλῆθος.

3. Μέρος εἶναι ἀριθμὸς ἀριθμοῦ ὁ μικρότερος τοῦ μεγαλυτέρου, ὅταν καταμετρῇ τὸν μεγαλύτερον.

4. Μέρη δὲ, ὅταν δὲν καταμετρῇ.

5. Πολλαπλάσιος δὲ ὁ μεγαλύτερος τοῦ μικροτέρου, ὅταν καταμετρῆται ὑπὸ τοῦ μικροτέρου.

6. Ἄρτιος ἀριθμὸς εἶναι ὁ διαιρούμενος διὰ δύο.

7. Περιττὸς δὲ ὁ μὴ διαιρούμενος διὰ δύο ἢ ὁ διαφέρων ἀρτίου ἀριθμοῦ κατὰ μονάδα.

8. Ἀρτιάκις ἄρτιος ἀριθμὸς εἶναι ὁ ὑπὸ ἀρτίου ἀριθμοῦ μετρούμενος κατὰ ἄρτιον ἀριθμόν.

9. Ἀρτιάκις δὲ περιττὸς εἶναι ὁ ὑπὸ ἀρτίου ἀριθμοῦ μετρούμενος κατὰ περιττὸν ἀριθμόν.

[10. Περισσάκις ἄρτιος εἶναι ὁ ὑπὸ περιττοῦ ἀριθμοῦ μετρούμενος κατὰ ἄρτιον ἀριθμόν].

11. Περισσάκις δὲ περιττὸς ἀριθμὸς εἶναι ὁ ὑπὸ περιττοῦ ἀριθμοῦ μετρούμενος κατὰ περιττὸν ἀριθμόν.

12. Πρῶτος ἀριθμὸς εἶναι ὁ μετρούμενος μόνον ὑπὸ τῆς μονάδος.

13. Πρῶτοι πρὸς ἀλλήλους ἀριθμοὶ εἶναι οἱ μὲ μόνην τὴν μονάδα ὡς κοινὸν μέτρον μετρούμενοι.

14. Σύνθετος ἀριθμὸς εἶναι ὁ μετρούμενος ὑπὸ ἀριθμοῦ τινος.

15. Σύνθετοι δὲ πρὸς ἀλλήλους ἀριθμοὶ εἶναι οἱ μὲ ἀριθμόν τινα ὡς κοινὸν μέτρον μετρούμενοι.

16. Ἀριθμὸς λέγεται, ὅτι πολλαπλασιάζει ἀριθμόν, ὅταν, ὅσαι μονάδες ὑπάρχουσιν εἰς αὐτόν, τόσας φορὰς συντεθῇ ὁ πολλαπλασιαζόμενος καὶ προκύψῃ ἀριθμός τις.

17. Ὅταν δὲ δύο ἀριθμοὶ πολλαπλασιασθέντες πρὸς ἀλλήλους δώσωσιν ἀριθμόν τινα, ὁ προκύπτων καλεῖται ἐπίπεδος, πλευραὶ δὲ αὐτοῦ οἱ πολλαπλασιασθέντες πρὸς ἀλλήλους ἀριθμοί.

18. Ὅταν δὲ τρεῖς ἀριθμοὶ πολλαπλασιασθέντες πρὸς ἀλλήλους δώ-

ὁ γενόμενος στερεός ἐστιν, πλευραὶ δὲ αὐτοῦ οἱ πολλαπλασιάσαντες ἀλλήλους ἀριθμοί.

ιθʹ. Τετράγωνος ἀριθμός ἐστιν ὁ ἰσάκις ἴσος ἢ [ὁ] ὑπὸ δύο ἴσων ἀριθμῶν περιεχόμενος.

κʹ. Κύβος δὲ ὁ ἰσάκις ἴσος ἰσάκις ἢ [ὁ] ὑπὸ τριῶν ἴσων ἀριθμῶν περιεχόμενος.

καʹ. Ἀριθμοὶ ἀνάλογόν εἰσιν, ὅταν ὁ πρῶτος τοῦ δευτέρου καὶ ὁ τρίτος τοῦ τετάρτου ἰσάκις ᾖ πολλαπλάσιος ἢ τὸ αὐτὸ μέρος ἢ τὰ αὐτὰ μέρη ὦσιν.

κβʹ. Ὅμοιοι ἐπίπεδοι καὶ στερεοὶ ἀριθμοί εἰσιν οἱ ἀνάλογον ἔχοντες τὰς πλευράς.

κγʹ. Τέλειος ἀριθμός ἐστιν ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος ὤν.

αʹ.

Δύο ἀριθμῶν ἀνίσων ἐκκειμένων, ἀνθυφαιρουμένου δὲ ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ μείζονος, ἐὰν ὁ λειπόμενος μηδέποτε καταμετρῇ τὸν πρὸ ἑαυτοῦ, ἕως οὗ λειφθῇ μονάς, οἱ ἐξ ἀρχῆς ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ἔσονται.

Δύο γὰρ [ἀνίσων] ἀριθμῶν τῶν ΑΒ, ΓΔ ἀνθυφαιρουμένου ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ μείζονος ὁ λειπόμενος μηδέποτε καταμετρείτω τὸν πρὸ ἑαυτοῦ, ἕως οὗ λειφθῇ μονάς· λέγω, ὅτι οἱ ΑΒ, ΓΔ πρῶτοι πρὸς ἀλλήλους εἰσίν, τουτέστιν ὅτι τοὺς ΑΒ, ΓΔ μονὰς μόνη μετρεῖ.



Εἰ γὰρ μή εἰσιν οἱ ΑΒ, ΓΔ πρῶτοι πρὸς ἀλλήλους, μετρήσει τις αὐτοὺς ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Ε· καὶ ὁ μὲν ΓΔ τὸν ΒΖ μετρῶν λειπέτω ἑαυτοῦ ἐλάσσονα τὸν ΖΑ, ὁ δὲ ΑΖ τὸν ΔΗ μετρῶν λειπέτω ἑαυτοῦ ἐλάσσονα τὸν ΗΓ, ὁ δὲ ΗΓ τὸν ΖΘ μετρῶν λειπέτω μονάδα τὴν ΘΑ.

Ἐπεὶ οὖν ὁ Ε τὸν ΓΔ μετρεῖ, ὁ δὲ ΓΔ τὸν ΒΖ μετρεῖ, καὶ ὁ Ε ἄρα τὸν ΒΖ μετρεῖ· μετρεῖ δὲ καὶ ὅλον τὸν ΒΑ· καὶ λοιπὸν ἄρα τὸν ΑΖ μετρήσει. ὁ δὲ ΑΖ τὸν ΔΗ μετρεῖ· καὶ ὁ Ε ἄρα τὸν ΔΗ μετρεῖ· μετρεῖ δὲ καὶ ὅλον τὸν ΔΓ· καὶ λοιπὸν ἄρα τὸν ΓΗ μετρήσει. ὁ δὲ ΓΗ τὸν ΖΘ μετρεῖ· καὶ ὁ Ε ἄρα τὸν ΖΘ μετρεῖ· μετρεῖ δὲ καὶ ὅλον τὸν ΖΑ· καὶ λοιπὴν ἄρα τὴν ΑΘ μονάδα μετρήσει ἀριθμὸς ὤν· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τοὺς ΑΒ, ΓΔ ἀριθμοὺς μετρήσει τις ἀριθμός· οἱ ΑΒ, ΓΔ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν· ὅπερ ἔδει δεῖξαι.

σωσιν ἀριθμόν τινα, ὁ προκύπτων καλεῖται στερεός, πλευραὶ δὲ αὐτοῦ οἱ πολλαπλασιασθέντες πρὸς ἀλλήλους ἀριθμοί.

19. Τετράγωνος ἀριθμὸς εἶναι ὁ ἰσάκις ἴσος ἢ ὁ ὑπὸ δύο ἴσων ἀριθμῶν περιεχόμενος.

20. Κύβος δὲ ὁ ἰσάκις ἴσος ἰσάκις ἢ ὁ ὑπὸ τριῶν ἴσων ἀριθμὸς περιεχόμενος.

21. Ἀριθμοὶ εἶναι ἀνάλογοι, ὅταν ὁ πρῶτος τοῦ δευτέρου καὶ ὁ τρίτος τοῦ τετάρτου εἶναι ἰσάκις πολλαπλάσιος ἢ τὸ αὐτὸ μέρος ἢ τὰ αὐτὰ μέρη.

22. Ὅμοιοι ἐπίπεδοι καὶ στερεοὶ ἀριθμοὶ εἶναι οἱ ἔχοντες τὰς πλευρὰς ἀναλόγους.

23. Τέλειος ἀριθμὸς εἶναι ὁ ἴσος πρὸς τὰ μέρη αὐτοῦ.

1.

Ἐὰν δοθῶσι δύο ἄνισοι ἀριθμοί, ἀνθυφαιρῆται δὲ πάντοτε ὁ μικρότερος ἀπὸ τοῦ μεγαλυτέρου, ἐὰν ὁ λειπόμενος οὐδέποτε καταμετρῇ τὸν πρὸ ἑαυτοῦ, μέχρις ὅτου ὑπολειφθῇ μονάς, οἱ ἐξ ἀρχῆς ἀριθμοὶ θὰ εἶναι πρῶτοι πρὸς ἀλλήλους.

Διότι, ἔστωσαν δύο ἄνισοι ἀριθμοὶ οἱ ΑΒ, ΓΔ καὶ ὅτι ἀνθυφαιρουμένου[1] πάντοτε τοῦ μικροτέρου ἀπὸ τοῦ μεγαλυτέρου, ὁ λειπόμενος οὐδέποτε καταμετρεῖ τὸν πρὸ ἑαυτοῦ, μέχρις ὅτου ὑπολειφθῇ μονάς· λέγω, ὅτι οἱ ΑΒ, ΓΔ εἶναι πρῶτοι πρὸς ἀλλήλους, τουτέστιν ὅτι τοὺς ΑΒ, ΓΔ μετρεῖ μόνον ἡ μονάς.

Διότι, ἐὰν οἱ ΑΒ, ΓΔ δὲν εἶναι πρῶτοι πρὸς ἀλλήλους, θὰ μετρῇ αὐτοὺς ἀριθμός τις. Ἂς τοὺς μετρεῖ, καὶ ἔστω ὁ Ε· καὶ ὁ μὲν ΓΔ μετρῶν τὸν ΒΖ ἂς δίδῃ ὑπόλοιπον μικρότερον ἑαυτοῦ τὸν ΖΑ, ὁ δὲ ΑΖ μετρῶν τὸν ΔΗ ἂς δίδῃ ὑπόλοιπον μικρότερον ἑαυτοῦ τὸν ΗΓ, ὁ δὲ ΗΓ μετρῶν τὸν ΖΘ ἂς δίδῃ ὑπόλοιπον μονάδα τὴν ΘΑ.

Ἐπειδὴ λοιπὸν ὁ Ε μετρεῖ τὸν ΓΔ, ὁ δὲ ΓΔ μετρεῖ τὸν ΒΖ, ἄρα καὶ ὁ Ε μετρεῖ τὸν ΒΖ· μετρεῖ δὲ καὶ ὅλον τὸν ΒΑ· ἄρα θὰ μετρήσῃ καὶ τὸ ὑπόλοιπον ΑΖ. Ὁ δὲ ΑΖ μετρεῖ τὸν ΔΗ· ἄρα καὶ ὁ Ε μετρεῖ τὸν ΔΗ· μετρεῖ δὲ καὶ ὅλον τὸν ΔΓ· ἄρα θὰ μετρήσῃ καὶ τὸ ὑπόλοιπον ΓΗ. Ὁ δὲ ΓΗ μετρεῖ τὸν ΖΘ· ἄρα καὶ ὁ Ε μετρεῖ τὸν ΖΘ· μετρεῖ δὲ καὶ ὅλον τὸν ΖΑ· ἄρα θὰ μετρήσῃ καὶ τὸ ὑπόλοιπον, τὴν μονάδα ΑΘ, ἐν ᾧ εἶναι ἀριθμὸς (ὁρ. 2)· ὅπερ ἀδύνατον. Ἄρα δὲν θὰ μετρήσῃ ἀριθμός τις τοὺς ἀριθμοὺς ΑΒ, ΓΔ· ἄρα οἱ ΑΒ, ΓΔ εἶναι πρῶτοι πρὸς ἀλλήλους· ὅπερ ἔδει δεῖξαι.

1. Ἡ φράσις «ἀνθυφαιρουμένου κλπ.» ἔχει τὴν ἑξῆς ἔννοιαν συναγομένην ἀπὸ τῆς ἀποδείξεως τοῦ θεωρήματος: διαιροῦμεν τὸν μεγαλύτερον διὰ τοῦ μικροτέρου καὶ ἔστω ὑπόλοιπόν τι. Διὰ τοῦ ὑπολοίπου τούτου διαιροῦμεν τὸν διαιρέτην καὶ ἔστω ἄλλο ὑπόλοιπον. Διὰ τοῦ δευτέρου τούτου ὑπολοίπου διαιροῦμεν τὸ πρῶτον ὑπόλοιπον κ.ο.κ.

β'.

Δύο ἀριθμῶν δοθέντων μὴ πρώτων πρὸς ἀλλήλους τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον εὑρεῖν.

Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ μὴ πρῶτοι πρὸς ἀλλήλους οἱ ΑΒ, ΓΔ. δεῖ δὴ τῶν ΑΒ, ΓΔ τὸ μέγιστον κοινὸν μέτρον εὑρεῖν.

Εἰ μὲν οὖν ὁ ΓΔ τὸν ΑΒ μετρεῖ,μετρεῖ δὲ καὶ ἑαυτόν, ὁ ΓΔ ἄρα τῶν ΓΔ, ΑΒ κοινὸν μέτρον ἐστίν. καὶ φανερόν, ὅτι καὶ μέγιστον· οὐδεὶς γὰρ μείζων τοῦ ΓΔ τὸν ΓΔ μετρήσει.



Εἰ δὲ οὐ μετρεῖ ὁ ΓΔ τὸν ΑΒ, τῶν ΑΒ, ΓΔ ἀνθυφαιρουμένου ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ μείζονος λειφθήσεταί τις ἀριθμός, ὃς μετρήσει τὸν πρὸ ἑαυτοῦ. μονὰς μὲν γὰρ οὐ λειφθήσεται· εἰ δὲ μή, ἔσονται οἱ ΑΒ, ΓΔ πρῶτοι πρὸς ἀλλήλους· ὅπερ οὐχ ὑπόκειται. λειφθήσεταί τις ἄρα ἀριθμός, ὃς μετρήσει τὸν πρὸ ἑαυτοῦ. καὶ ὁ μὲν ΓΔ τὸν ΒΕ μετρῶν λειπέτω ἑαυτοῦ ἐλάσσονα τὸν ΕΑ, ὁ δὲ ΕΑ τὸν ΔΖ μετρῶν λειπέτω ἑαυτοῦ ἐλάσσονα τὸν ΖΓ, ὁ δὲ ΓΖ τὸν ΑΕ μετρείτω. ἐπεὶ οὖν ὁ ΓΖ τὸν ΑΕ μετρεῖ, ὁ δὲ ΑΕ τὸν ΔΖ μετρεῖ, καὶ ὁ ΓΖ ἄρα τὸν ΔΖ μετρήσει· μετρεῖ δὲ καὶ ἑαυτόν· καὶ ὅλον ἄρα τὸν ΓΔ μετρήσει. ὁ δὲ ΓΔ τὸν ΒΕ μετρεῖ· καὶ ὁ ΓΖ ἄρα τὸν ΒΕ μετρεῖ· μετρεῖ δὲ καὶ τὸν ΕΑ· καὶ ὅλον ἄρα τὸν ΒΑ μετρήσει· μετρεῖ δὲ καὶ τὸν ΓΔ· ὁ ΓΖ ἄρα τοὺς ΑΒ, ΓΔ μετρεῖ. ὁ ΓΖ ἄρα τῶν ΑΒ, ΓΔ κοινὸν μέτρον ἐστίν. λέγω δή, ὅτι καὶ μέγιστον. εἰ γὰρ μή ἐστιν ὁ ΓΖ τῶν ΑΒ, ΓΔ μέγιστον κοινὸν μέτρον, μετρήσει τις τοὺς ΑΒ, ΓΔ ἀριθμοὺς ἀριθμὸς μείζων ὢν τοῦ ΓΖ. μετρείτω, καὶ ἔστω ὁ Η. καὶ ἐπεὶ ὁ Η τὸν ΓΔ μετρεῖ, ὁ δὲ ΓΔ τὸν ΒΕ μετρεῖ, καὶ ὁ Η ἄρα τὸν ΒΕ μετρεῖ· μετρεῖ δὲ καὶ ὅλον τὸν ΒΑ· καὶ λοιπὸν ἄρα τὸν ΑΕ μετρήσει. ὁ δὲ ΑΕ τὸν ΔΖ μετρεῖ· καὶ ὁ Η ἄρα τὸν ΔΖ μετρήσει· μετρεῖ δὲ καὶ ὅλον τὸν ΔΓ· καὶ λοιπὸν ἄρα τὸν ΓΖ μετρήσει ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τοὺς ΑΒ, ΓΔ ἀριθμοὺς ἀριθμός τις μετρήσει μείζων ὢν τοῦ ΓΖ· ὁ ΓΖ ἄρα τῶν ΑΒ, ΓΔ μέγιστόν ἐστι κοινὸν μέτρον [ὅπερ ἔδει δεῖξαι].

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐὰν ἀριθμὸς δύο ἀριθμοὺς μετρῇ, καὶ τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον μετρήσει· ὅπερ ἔδει δεῖξαι.

γ'.

Τριῶν ἀριθμῶν δοθέντων μὴ πρώτων πρὸς ἀλλήλους τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον εὑρεῖν.

2.

Δοθέντων δύο ἀριθμῶν μὴ πρώτων πρὸς ἀλλήλους νὰ εὑρεθῇ τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον (ὁ μέγιστος κοινὸς διαιρέτης).

Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ μὴ πρῶτοι πρὸς ἀλλήλους οἱ ΑΒ, ΓΔ. Πρέπει τῶν ΑΒ, ΓΔ νὰ εὑρεθῇ τὸ μέγιστον κοινὸν μέτρον.

Ἐὰν μὲν λοιπὸν ὁ ΓΔ μετρῇ τὸν ΑΒ, μετρεῖ δὲ καὶ ἑαυτόν, ἄρα ὁ ΓΔ εἶναι κοινὸν μέτρον τῶν ΓΔ, ΑΒ. Καὶ εἶναι φανερόν, ὅτι εἶναι καὶ μέγιστον· διότι οὐδεὶς μεγαλύτερος τοῦ ΓΔ θὰ μετρήσῃ τὸν ΓΔ.

Ἐὰν δὲ δὲν μετρῇ ὁ ΓΔ τὸν ΑΒ, ἀνθυφαιρουμένου πάντοτε τοῦ μικροτέρου ἀπὸ τοῦ μεγαλυτέρου ἐκ τῶν ἀριθμῶν ΑΒ, ΓΔ θὰ ὑπολειφθῇ ἀριθμός τις, ὁ ὁποῖος θὰ μετρήσῃ τὸν πρὸ ἑαυτοῦ. Διότι μονὰς δὲν θὰ ὑπολειφθῇ· ἐὰν δὲ ὑπολειφθῇ μονάς, οἱ ΑΒ, ΓΔ θὰ εἶναι πρῶτοι πρὸς ἀλλήλους· ὅπερ δὲν ἐλήφθη εἰς τὴν ὑπόθεσιν. Ἄρα θὰ ὑπολειφθῇ ἀριθμός τις, ὁ ὁποῖος θὰ μετρήσῃ τὸν πρὸ ἑαυτοῦ. Καὶ ὁ μὲν ΓΔ μετρῶν τὸν ΒΕ ἂς ἀφήσῃ ὑπόλοιπον μικρότερον ἑαυτοῦ τὸν ΕΑ, ὁ δὲ ΕΑ μετρῶν τὸν ΔΖ ἂς ἀφήσῃ ὑπόλοιπον μικρότερον ἑαυτοῦ τὸν ΖΓ, ὁ δὲ ΓΖ ἂς μετρῇ (ἀκριβῶς) τὸν ΑΕ. Ἐπειδὴ λοιπὸν ὁ ΓΖ μετρεῖ τὸν ΑΕ, ὁ δὲ ΑΕ μετρεῖ τὸν ΔΖ, καὶ ὁ ΓΖ ἄρα θὰ μετρήσῃ τὸν ΔΖ· μετρεῖ δὲ καὶ ἑαυτόν· θὰ μετρήσῃ ἄρα καὶ ὅλον τὸν ΓΔ. Ὁ δὲ ΓΔ μετρεῖ τὸν ΒΕ· καὶ ὁ ΓΖ ἄρα μετρεῖ τὸν ΒΕ· μετρεῖ δὲ καὶ τὸν ΕΑ· θὰ μετρήσῃ ἄρα καὶ ὅλον τὸν ΒΑ· μετρεῖ δὲ καὶ τὸν ΓΔ· ὁ ΓΖ ἄρα μετρεῖ τοὺς ΑΒ, ΓΔ. Ὁ ΓΖ ἄρα εἶναι κοινὸν μέτρον τῶν ΑΒ, ΓΔ. Λέγω τώρα, ὅτι εἶναι καὶ μέγιστον. Διότι ἐὰν ὁ ΓΖ δὲν εἶναι μέγιστον κοινὸν μέτρον τῶν ΑΒ, ΓΔ, θὰ μετρήσῃ τοὺς ἀριθμοὺς ΑΒ, ΓΔ ἀριθμός τις μεγαλύτερος τοῦ ΓΖ. Ἂς τοὺς μετρῇ καὶ ἔστω ὁ Η. Καὶ ἐπειδὴ ὁ Η μετρεῖ τὸν ΓΔ, ὁ δὲ ΓΔ μετρεῖ τὸν ΒΕ, καὶ ὁ Η ἄρα μετρεῖ τὸν ΒΕ· μετρεῖ δὲ καὶ ὅλον τὸν ΒΑ· θὰ μετρήσῃ ἄρα καὶ τὸ ὑπόλοιπον ΑΕ. Ὁ δὲ ΑΕ μετρεῖ τὸν ΔΖ· καὶ ὁ Η ἄρα θὰ μετρήσῃ τὸν ΔΖ· μετρεῖ δὲ καὶ ὅλον τὸν ΔΓ· θὰ μετρήσῃ ἄρα καὶ τὸ ὑπόλοιπον τὸ ΓΖ, ὁ μεγαλύτερος τὸν μικρότερον· ὅπερ ἀδύνατον· δὲν θὰ μετρήσῃ ἄρα τοὺς ἀριθμοὺς ΑΒ, ΓΔ ἀριθμός τις μεγαλύτερος τοῦ ΓΖ· ἄρα ὁ ΓΖ εἶναι μέγιστον κοινὸν μέτρον τῶν ΑΒ, ΓΔ· ὅπερ ἔδει δεῖξαι.

Π ό ρ ι σ μ α.

Ἐκ τούτου εἶναι φανερόν, ὅτι ἐὰν ἀριθμὸς μετρῇ δύο ἀριθμούς, θὰ μετρῇ καὶ τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον· ὅπερ ἔδει δεῖξαι.

3.

Τριῶν ἀριθμῶν δοθέντων μὴ πρώτων πρὸς ἀλλήλους νὰ εὑρεθῇ τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον.

Ἔστωσαν οἱ δοθέντες τρεῖς ἀριθμοὶ μὴ πρῶτοι πρὸς ἀλλήλους οἱ Α, Β, Γ· δεῖ δὴ τῶν Α, Β, Γ τὸ μέγιστον κοινὸν μέτρον εὑρεῖν.

Εἰλήφθω γὰρ δύο τῶν Α, Β τὸ μέγιστον κοινὸν μέτρον ὁ Δ· ὁ δὴ Δ τὸν Γ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω πρότερον· μετρεῖ δὲ καὶ τοὺς Α, Β· ὁ Δ ἄρα τοὺς Α, Β, Γ μετρεῖ· ὁ Δ ἄρα τῶν Α, Β, Γ κοινὸν μέτρον ἐστίν. λέγω δή, ὅτι καὶ μέγιστον. εἰ γὰρ μή ἐστιν ὁ Δ τῶν Α, Β, Γ μέγιστον κοινὸν μέτρον, μετρήσει τις τοὺς Α, Β, Γ ἀριθμοὺς ἀριθμὸς μείζων ὢν τοῦ Δ. μετρείτω, καὶ ἔστω ὁ Ε. ἐπεὶ οὖν ὁ Ε τοὺς Α, Β, Γ μετρεῖ, καὶ τοὺς Α, Β ἄρα μετρήσει· καὶ τὸ τῶν Α, Β ἄρα μέγιστον κοινὸν μέτρον μετρήσει. τὸ δὲ τῶν Α, Β μέγιστον κοινὸν μέτρον ἐστὶν ὁ Δ· ὁ Ε ἄρα τὸν Δ μετρεῖ ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τοὺς Α, Β, Γ ἀριθμοὺς ἀριθμός τις μετρήσει μείζων ὢν τοῦ Δ· ὁ Δ ἄρα τῶν Α, Β, Γ μέγιστόν ἐστι κοινὸν μέτρον.



Μὴ μετρείτω δὴ ὁ Δ τὸν Γ· λέγω πρῶτον, ὅτι οἱ Γ, Δ οὐκ εἰσι πρῶτοι πρὸς ἀλλήλους. ἐπεὶ γὰρ οἱ Α, Β, Γ οὐκ εἰσι πρῶτοι πρὸς ἀλλήλους, μετρήσει τις αὐτοὺς ἀριθμός. ὁ δὴ τοὺς Α, Β, Γ μετρῶν καὶ τοὺς Α, Β μετρήσει, καὶ τὸ τῶν Α, Β μέγιστον κοινὸν μέτρον τὸν Δ μετρήσει· μετρεῖ δὲ καὶ τὸν Γ· τοὺς Δ, Γ ἄρα ἀριθμοὺς ἀριθμός τις μετρήσει· οἱ Δ, Γ ἄρα οὐκ εἰσι πρῶτοι πρὸς ἀλλήλους. εἰλήφθω οὖν αὐτῶν τὸ μέγιστον κοινὸν μέτρον ὁ Ε. καὶ ἐπεὶ ὁ Ε τὸν Δ μετρεῖ, ὁ δὲ Δ τοὺς Α, Β μετρεῖ, καὶ ὁ Ε ἄρα τοὺς Α, Β μετρεῖ· μετρεῖ δὲ καὶ τὸν Γ· ὁ Ε ἄρα τοὺς Α, Β, Γ μετρεῖ· ὁ Ε ἄρα τῶν Α, Β, Γ κοινόν ἐστι μέτρον. λέγω δή, ὅτι καὶ μέγιστον. εἰ γὰρ μή ἐστιν ὁ Ε τῶν Α, Β, Γ τὸ μέγιστον κοινὸν μέτρον, μετρήσει τις τοὺς Α, Β, Γ ἀριθμοὺς ἀριθμὸς μείζων ὢν τοῦ Ε. μετρείτω, καὶ ἔστω ὁ Ζ. καὶ ἐπεὶ ὁ Ζ τοὺς Α,Β,Γ μετρεῖ, καὶ τοὺς Α,Β μετρεῖ· καὶ τὸ τῶν Α,Β ἄρα μέγιστον κοινὸν μέτρον μετρήσει. τὸ δὲ τῶν Α,Β μέγιστον κοινὸν μέτρον ἐστὶν ὁ Δ· ὁ Ζ ἄρα τὸν Δ μετρεῖ· μετρεῖ δὲ καὶ τὸν Γ· ὁ Ζ ἄρα τοὺς Δ, Γ μετρεῖ· καὶ τὸ τῶν Δ, Γ ἄρα μέγιστον κοινὸν μέτρον μετρήσει. τὸ δὲ τῶν Δ, Γ μέγιστον κοινὸν μέτρον ἐστὶν ὁ Ε· ὁ Ζ ἄρα τὸν Ε μετρεῖ ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τοὺς Α, Β, Γ ἀριθμοὺς ἀριθμός τις μετρήσει μείζων ὢν τοῦ Ε· ὁ Ε ἄρα τῶν Α, Β, Γ μέγιστόν ἐστι κοινὸν μέτρον· ὅπερ ἔδει δεῖξαι.

δ'.

Ἅπας ἀριθμὸς παντὸς ἀριθμοῦ ὁ ἐλάσσων τοῦ μείζονος ἤτοι μέρος ἐστὶν ἢ μέρη.

Ἔστωσαν οἱ δοθέντες τρεῖς ἀριθμοὶ μὴ πρῶτοι πρὸς ἀλλήλους οἱ Α, Β, Γ· πρέπει νὰ εὑρεθῇ τὸ μέγιστον κοινὸν μέτρον τῶν Α,Β,Γ.

Διότι ἂς ληφθῇ δύο τῶν Α, Β τὸ μέγιστον κοινὸν μέτρον ὁ Δ (θεώρ. 2)· ὁ Δ ἢ μετρεῖ τὸν Γ ἢ δὲν τὸν μετρεῖ. Πρῶτον ἂς τὸν μετρῇ· μετρεῖ δὲ καὶ τοὺς Α, Β· ἄρα ὁ Δ μετρεῖ τοὺς Α, Β, Γ· ἄρα ὁ Δ εἶναι κοινὸν μέτρον τῶν Α, Β, Γ· λέγω τώρα, ὅτι εἶναι καὶ μέγιστον. Διότι ἐὰν δὲν εἶναι ὁ Δ μέγιστον κοινὸν μέτρον τῶν Α, Β, Γ, θὰ μετρήσῃ τοὺς ἀριθμοὺς Α, Β, Γ ἀριθμός τις μεγαλύτερος τοῦ Δ. Ἂς τοὺς μετρήσῃ, καὶ ἔστω ὁ Ε. Ἐπειδὴ λοιπόν ὁ Ε μετρεῖ τοὺς Α, Β, Γ, ἄρα θὰ μετρήσῃ καὶ τοὺς Α, Β· ἄρα θὰ μετρήσῃ καὶ τὸ μέγιστον κοινὸν μέτρον τῶν Α, Β (πόρ. 2ου θ.)· τὸ δὲ μέγιστον κοινὸν μέτρον τῶν Α, Β εἶναι ὁ Δ· ὁ Ε ἄρα μετρεῖ τὸν Δ, ὁ μεγαλύτερος τὸν μικρότερον· ὅπερ ἀδύνατον· ἄρα δὲν θὰ μετρήσῃ τοὺς ἀριθμοὺς Α, Β, Γ ἀριθμός τις μεγαλύτερος τοῦ Δ· ἄρα ὁ Δ εἶναι μέγιστον κοινὸν μέτρον τῶν Α, Β, Γ.

Ἔστω τώρα, ὅτι ὁ Δ δὲν μετρεῖ τὸν Γ· λέγω πρῶτον, ὅτι οἱ Γ, Δ δὲν εἶναι πρῶτοι πρὸς ἀλλήλους. Διότι, ἐπειδὴ οἱ Α, Β, Γ δὲν εἶναι πρῶτοι πρὸς ἀλλήλους, θὰ μετρήσῃ αὐτοὺς ἀριθμός τις. Ὁ μετρῶν ὅμως τοὺς Α, Β, Γ θὰ μετρῇ καὶ τοὺς Α, Β καὶ θὰ μετρῇ τὸ μέγιστον κοινὸν μέτρον τῶν Α, Β τὸν Δ (πόρ. 2ου θεωρ.)· μετρεῖ δὲ καὶ τὸν Γ· ἄρα τοὺς Δ, Γ θὰ μετρήσῃ ἀριθμός τις· ἄρα οἱ Δ, Γ δὲν εἶναι πρῶτοι πρὸς ἀλλήλους. Ἂς ληφθῇ λοιπὸν τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον ὁ Ε (θεώρ. 2). Καὶ ἐπειδὴ ὁ Ε μετρεῖ τὸν Δ, ὁ δὲ Δ μετρεῖ τοὺς Α, Β, καὶ ὁ Ε ἄρα μετρεῖ τοὺς Α, Β· μετρεῖ δὲ καὶ τὸν Γ· ἄρα ὁ Ε μετρεῖ τοὺς Α, Β, Γ· ὁ Ε ἄρα εἶναι κοινὸν μέτρον τῶν Α, Β, Γ. Λέγω τώρα, ὅτι εἶναι καὶ μέγιστον. Διότι, ἐὰν δὲν εἶναι ὁ Ε τὸ μέγιστον κοινὸν μέτρον τῶν Α, Β, Γ, θὰ μετρήσῃ τοὺς ἀριθμοὺς Α, Β, Γ ἀριθμός τις μεγαλύτερος τοῦ Ε. Ἂς τοὺς μετρήσῃ, καὶ ἔστω ὁ Ζ. Καὶ ἐπειδὴ ὁ Ζ μετρεῖ τοὺς Α, Β, Γ, θὰ μετρῇ καὶ τοὺς Α, Β· ἄρα θὰ μετρήσῃ καὶ τὸ μέγιστον κοινὸν μέτρον τῶν Α, Β (πόρ. 2ου θεωρ.). Τὸ δὲ μέγιστον κοινὸν μέτρον τῶν Α, Β εἶναι ὁ Δ· ἄρα ὁ Ζ μετρεῖ τὸν Δ· μετρεῖ δὲ καὶ τὸν Γ· ὁ Ζ ἄρα μετρεῖ τοὺς Δ, Γ· ἄρα θὰ μετρήσῃ καὶ τὸ μέγιστον κοινὸν μέτρον τῶν Δ, Γ. Τὸ δὲ μέγιστον κοινὸν μέτρον τῶν Δ, Γ εἶναι ὁ Ε· ἄρα ὁ Ζ μετρεῖ τὸν Ε, ὁ μεγαλύτερος τὸν μικρότερον· ὅπερ ἀδύνατον. Ἄρα ἀριθμός τις μεγαλύτερος τοῦ Ε δὲν θὰ μετρήσῃ τοὺς ἀριθμοὺς Α, Β, Γ· ὁ Ε ἄρα εἶναι μέγιστον κοινὸν μέτρον τῶν Α, Β, Γ· ὅπερ ἔδει δεῖξαι.

4.

Πᾶς μικρότερος ἀριθμὸς παντὸς μεγαλυτέρου ἀριθμοῦ ἢ εἶναι μέρος ἢ εἶναι μέρη.

Ἔστωσαν δύο ἀριθμοὶ οἱ Α, ΒΓ, καὶ ἔστω ἐλάσσων ὁ ΒΓ· λέγω, ὅτι ὁ ΒΓ τοῦ Α ἤτοι μέρος ἐστὶν ἢ μέρη.

Οἱ Α, ΒΓ γὰρ ἤτοι πρῶτοι πρὸς ἀλλήλους εἰσὶν ἢ οὔ. ἔστωσαν πρότερον οἱ Α, ΒΓ πρῶτοι πρὸς ἀλλήλους. διαιρεθέντος δὴ τοῦ ΒΓ εἰς τὰς ἐν αὐτῷ μονάδας ἔσται ἑκάστη μονὰς τῶν ἐν τῷ ΒΓ μέρος τι τοῦ Α· ὥστε μέρη ἐστὶν ὁ ΒΓ τοῦ Α.



Μὴ ἔστωσαν δὴ οἱ Α, ΒΓ πρῶτοι πρὸς ἀλλήλους· ὁ δὴ ΒΓ τὸν Α ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. εἰ μὲν οὖν ὁ ΒΓ τον Α μετρεῖ, μέρος ἐστὶν ὁ ΒΓ τοῦ Α. εἰ δὲ οὔ, εἰλήφθω τῶν Α, ΒΓ μέγιστον κοινὸν μέτρον ὁ Δ, καὶ διῃρήσθω ὁ ΒΓ εἰς τοὺς τῷ Δ ἴσους τοὺς ΒΕ, ΕΖ, ΖΓ. καὶ ἐπεὶ ὁ Δ τὸν Α μετρεῖ, μέρος ἐστὶν ὁ Δ τοῦ Α· ἴσος δὲ ὁ Δ ἑκάστῳ τῶν ΒΕ, ΕΖ, ΖΓ· καὶ ἕκαστος ἄρα τῶν ΒΕ, ΕΖ, ΖΓ τοῦ Α μέρος ἐστίν· ὥστε μέρη ἐστὶν ὁ ΒΓ τοῦ Α.

Ἅπας ἄρα ἀριθμὸς παντὸς ἀριθμοῦ ὁ ἐλάσσων τοῦ μείζονος ἤτοι μέρος ἐστὶν ἢ μέρη· ὅπερ ἔδει δεῖξαι.

ε'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, καὶ ἕτερος ἑτέρου τὸ αὐτὸ μέρος ᾖ, καὶ συναμφότερος συναμφοτέρου τὸ αὐτὸ μέρος ἔσται, ὅπερ ὁ εἷς τοῦ ἑνός.

Ἀριθμὸς γὰρ ὁ Α [ἀριθμοῦ] τοῦ ΒΓ μέρος ἔστω, καὶ ἕτερος ὁ Δ ἑτέρου τοῦ ΕΖ τὸ αὐτὸ μέρος, ὅπερ ὁ Α τοῦ ΒΓ· λέγω, ὅτι καὶ συναμφότερος ὁ Α, Δ συναμφοτέρου τοῦ ΒΓ, ΕΖ τὸ αὐτὸ μέρος ἐστίν, ὅπερ ὁ Α τοῦ ΒΓ.



Ἐπεὶ γάρ, ὃ μέρος ἐστὶν ὁ Α τοῦ ΒΓ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Δ τοῦ ΕΖ, ὅσοι ἄρα εἰσὶν ἐν τῷ ΒΓ ἀριθμοὶ ἴσοι τῷ Α, τοσοῦτοί εἰσι καὶ ἐν τῷ ΕΖ ἀριθμοὶ ἴσοι τῷ Δ. διῃρήσθω ὁ μὲν ΒΓ εἰς τοὺς τῷ Α ἴσους τοὺς ΒΗ, ΗΓ, ὁ δὲ ΕΖ εἰς τοὺς τῷ Δ ἴσους τοὺς ΕΘ, ΘΖ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΓ τῷ πλήθει τῶν ΕΘ, ΘΖ. καὶ ἐπεὶ ἴσος ἐστὶν ὁ μὲν ΒΗ τῷ Α, ὁ δὲ ΕΘ τῷ Δ, καὶ οἱ ΒΗ, ΕΘ ἄρα τοῖς Α, Δ ἴσοι. διὰ τὰ αὐτὰ δὴ καὶ οἱ ΗΓ, ΘΖ τοῖς Α, Δ. ὅσοι ἄρα [εἰσὶν] ἐν τῷ ΒΓ ἀριθμοὶ ἴσοι τῷ Α, τοσοῦτοί εἰσι καὶ ἐν τοῖς ΒΓ, ΕΖ ἴσοι τοῖς Α, Δ. ὁσαπλασίων ἄρα ἐστὶν ὁ ΒΓ τοῦ Α, τοσαυταπλασίων ἐστὶ καὶ συναμφότερος ὁ ΒΓ, ΕΖ συναμφοτέρου τοῦ Α, Δ. ὃ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ ΒΓ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ Α, Δ συναμφοτέρου τοῦ ΒΓ, ΕΖ· ὅπερ ἔδει δεῖξαι.

Ἔστωσαν δύο ἀριθμοὶ οἱ Α, ΒΓ καὶ ἔστω μικρότερος ὁ ΒΓ· λέγω, ὅτι ὁ ΒΓ ἢ εἶναι μέρος τοῦ Α ἢ μέρη.

Διότι οἱ Α, ΒΓ ἢ εἶναι πρῶτοι πρὸς ἀλλήλους ἢ ὄχι. Ἔστωσαν πρότερον οἱ Α, ΒΓ πρῶτοι πρὸς ἀλλήλους. Ἐὰν ὁ ΒΓ διαιρεθῇ εἰς τὰς μονάδας αὐτοῦ, ἑκάστη μονὰς τοῦ ΒΓ θὰ εἶναι μέρος τι τοῦ Α· ὥστε ὁ ΒΓ εἶναι μέρη τοῦ Α.

Ἂς μὴ εἶναι τώρα οἱ Α, ΒΓ πρῶτοι πρὸς ἀλλήλους· τότε ὁ ΒΓ ἢ μετρεῖ τὸν Α ἢ δὲν τὸν μετρεῖ. Ἐὰν μὲν λοιπὸν ὁ ΒΓ μετρῇ τὸν Α, ὁ ΒΓ εἶναι μέρος τοῦ Α. Ἐὰν δὲ ὄχι, ἂς ληφθῇ τῶν Α, ΒΓ μέγιστον κοινὸν μέτρον ὁ Δ (θεώρ. 2) καὶ ἂς διαιρεθῇ ὁ ΒΓ εἰς τοὺς πρὸς τὸν Δ ἴσους τοὺς ΒΕ, ΕΖ, ΖΓ. Καὶ ἐπειδὴ ὁ Δ μετρεῖ τὸν Α, ὁ Δ εἶναι μέρος τοῦ Α· εἶναι δὲ ὁ Δ ἴσος πρὸς ἕκαστον τῶν ΒΕ, ΕΖ, ΖΓ· καὶ ἕκαστος ἄρα τῶν ΒΕ, ΕΖ, ΖΓ εἶναι μέρος τοῦ Α· ὥστε ὁ ΒΓ εἶναι μέρη τοῦ Α.

Πᾶς ἄρα μικρότερος ἀριθμὸς παντὸς μεγαλυτέρου ἀριθμοῦ ἢ εἶναι μέρος ἢ μέρη· ὅπερ ἔδει δεῖξαι.

5.

Ἐὰν ἀριθμὸς εἶναι μέρος ἀριθμοῦ καὶ ἄλλος εἶναι τὸ αὐτὸ μέρος ἄλλου, καὶ τὸ ἄθροισμα (τῶν μικροτέρων) θὰ εἶναι τὸ αὐτὸ μέρος τοῦ ἀθροίσματος (τῶν μεγαλυτέρων), τὸ ὁποῖον εἶναι ὁ εἷς τοῦ ἑνός.

Διότι ἔστω ὁ ἀριθμὸς Α μέρος τοῦ ἀριθμοῦ ΒΓ καὶ ἄλλος ὁ Δ ἄλλου τοῦ ΕΖ τὸ αὐτὸ μέρος, τὸ ὁποῖον εἶναι ὁ Α τοῦ ΒΓ· λέγω, ὅτι καὶ τὸ ἄθροισμα τῶν Α, Δ τοῦ ἀθροίσματος τῶν ΒΓ, ΕΖ εἶναι τὸ αὐτὸ μέρος, τὸ ὁποῖον εἶναι ὁ Α τοῦ ΒΓ.

Διότι, ἐπειδὴ ὅ,τι μέρος τοῦ ΒΓ εἶναι ὁ Α, τὸ αὐτὸ μέρος τοῦ ΕΖ εἶναι ὁ Δ, ὅσοι ἄρα ἀριθμοὶ εἶναι εἰς τὸν ΒΓ ἴσοι πρὸς τὸν Α, ἄλλοι τόσοι ἀριθμοὶ ἴσοι πρὸς τὸν Δ εἶναι εἰς τὸν ΕΖ. Ἂς διαιρεθῇ ὁ μὲν ΒΓ εἰς τοὺς ἴσους πρὸς τὸν Α τοὺς ΒΗ, ΗΓ, ὁ δὲ ΕΖ εἰς τοὺς ἴσους πρὸς τὸν Δ τοὺς ΕΘ, ΘΖ· τὸ πλῆθος τῶν ΒΗ, ΗΓ θὰ εἶναι προφανῶς ἴσον πρὸς τὸ πλῆθος τῶν ΕΘ, ΘΖ. Καὶ ἐπειδὴ ὁ μὲν ΒΗ εἶναι ἴσος πρὸς τὸν Α, ὁ δὲ ΕΘ πρὸς τὸν Δ, ἄρα καὶ ΒΗ+ΕΘ εἶναι ἴσον πρὸς Α+Δ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ΗΓ+ΘΖ εἶναι ἴσον πρὸς Α+Δ. Ὅσοι ἄρα ἀριθμοὶ ἴσοι πρὸς τὸν Α εἶναι εἰς τὸν ΒΓ, ἄλλοι τόσοι ἴσοι πρὸς τὸ ἄθροισμα Α+Δ εἶναι καὶ εἰς τὸ ἄθροισμα ΒΓ+ΕΖ. Ὁσαπλάσιος ἄρα εἶναι ὁ ΒΓ τοῦ Α, τοσαυταπλάσιον εἶναι καὶ τὸ ἄθροισμα ΒΓ+ΕΖ τοῦ ἀθροίσματος Α+Δ. Ὅ,τι ἄρα μέρος εἶναι ὁ Α τοῦ ΒΓ, τὸ αὐτὸ μέρος εἶναι καὶ τὸ ἄθροισμα Α+Δ τοῦ ἀθροίσματος ΒΓ+ΕΖ· ὅπερ ἔδει δεῖξαι.

ς΄.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, καὶ ἕτερος ἑτέρου τὰ αὐτὰ μέρη ᾖ, καὶ συναμφότερος συναμφοτέρου τὰ αὐτὰ μέρη ἔσται, ὅπερ ὁ εἷς τοῦ ἑνός.

Ἀριθμὸς γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ Γ μέρη ἔστω, καὶ ἕτερος ὁ ΔΕ ἑτέρου τοῦ Ζ τὰ αὐτὰ μέρη, ἅπερ ὁ ΑΒ τοῦ Γ· λέγω, ὅτι καὶ συναμφότερος ὁ ΑΒ, ΔΕ συναμφοτέρου τοῦ Γ, Ζ τὰ αὐτὰ μέρη ἐστίν, ἅπερ ὁ ΑΒ τοῦ Γ.



Ἐπεὶ γάρ, ἃ μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ, τὰ αὐτὰ μέρη καὶ ὁ ΔΕ τοῦ Ζ, ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μέρη τοῦ Γ, τοσαῦτά ἐστι καὶ ἐν τῷ ΔΕ μέρη τοῦ Ζ. διῃρήσθω ὁ μὲν ΑΒ εἰς τὰ τοῦ Γ μέρη τὰ ΑΗ, ΗΒ, ὁ δὲ ΔΕ εἰς τὰ τοῦ Ζ μέρη τὰ ΔΘ, ΘΕ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΑΗ, ΗΒ τῷ πλήθει τῶν ΔΘ, ΘΕ. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΔΘ τοῦ Ζ, ὃ ἄρα μέρος ἐστὶν ὁ ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ ΑΗ, ΔΘ συναμφοτέρου τοῦ Γ, Ζ. διὰ τὰ αὐτὰ δὴ καὶ ὃ μέρος ἐστὶν ὁ ΗΒ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ ΗΒ, ΘΕ συναμφοτέρου τοῦ Γ, Ζ. ἃ ἄρα μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ, τὰ αὐτὰ μέρη ἐστὶ καὶ συναμφότερος ὁ ΑΒ, ΔΕ συναμφοτέρου τοῦ Γ, Ζ· ὅπερ ἔδει δεῖξαι.

ζ΄.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, ὅπερ ἀφαιρεθεὶς ἀφαιρεθέντος, καὶ ὁ λοιπὸς τοῦ λοιποῦ τὸ αὐτὸ μέρος ἔσται, ὅπερ ὁ ὅλος τοῦ ὅλου.

Ἀριθμὸς γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ ΓΔ μέρος ἔστω, ὅπερ ἀφαιρεθεὶς ὁ ΑΕ ἀφαιρεθέντος τοῦ ΓΖ· λέγω, ὅτι καὶ λοιπὸς ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστίν, ὅπερ ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ.



Ὃ γὰρ μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος ἔστω καὶ ὁ ΕΒ τοῦ ΓΗ. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΕΒ τοῦ ΓΗ, ὃ ἄρα μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΗΖ. ὃ δὲ μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος ὑπόκειται καὶ ὁ ΑΒ τοῦ ΓΔ· ὃ ἄρα μέρος ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΗΖ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ τοῦ ΓΔ· ἴσος ἄρα ἐστὶν ὁ ΗΖ τῷ ΓΔ. κοινὸς ἀφῃρήσθω ὁ ΓΖ· λοιπὸς ἄρα ὁ ΗΓ λοιπῷ τῷ ΖΔ ἐστιν ἴσος. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ ΑΕ

6.

Ἐὰν ἀριθμὸς εἶναι μέρη ἀριθμοῦ καὶ ἄλλος εἶναι τὰ αὐτὰ μέρη ἄλλου, καὶ τὸ ἄθροισμα (τῶν μικροτέρων) θὰ εἶναι τὰ αὐτὰ μέρη τοῦ ἀθροίσματος (τῶν μεγαλυτέρων), τὰ ὁποῖα εἶναι ὁ εἷς τοῦ ἑνός.

Διότι ἔστω ὁ ἀριθμὸς ΑΒ μέρη ἀριθμοῦ τοῦ Γ καὶ ἄλλος ὁ ΔΕ ἄλλου τοῦ Ζ τὰ αὐτὰ μέρη, τὰ ὁποῖα εἶναι ὁ ΑΒ τοῦ Γ· λέγω, ὅτι καὶ τὸ ἄθροισμα τῶν ΑΒ, ΔΕ τοῦ ἀθροίσματος τῶν Γ, Ζ εἶναι τὰ αὐτὰ μέρη, τὰ ὁποῖα εἶναι ὁ ΑΒ τοῦ Γ.

Διότι, ἐπειδὴ ὅσα μέρη εἶναι ὁ ΑΒ τοῦ Γ, τὰ αὐτὰ μέρη εἶναι καὶ ὁ ΔΕ τοῦ Ζ, ἄρα ὅσα μέρη τοῦ Γ εἶναι εἰς τὸν ΑΒ, τόσα μέρη τοῦ Ζ εἶναι καὶ εἰς τὸν ΔΕ. Ἂς διαιρεθῇ ὁ μὲν ΑΒ εἰς τὰ μέρη τοῦ Γ τὰ ΑΗ, ΗΒ, ὁ δὲ ΔΕ εἰς τὰ μέρη τοῦ Ζ τὰ ΔΘ, ΘΕ· τὸ πλῆθος τῶν ΑΗ, ΗΒ θὰ εἶναι προφανῶς ἴσον πρὸς τὸ πλῆθος τῶν ΔΘ, ΘΕ. Καὶ ἐπειδὴ ὅ,τι μέρος εἶναι ὁ ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ ΔΘ τοῦ Ζ, ἄρα ὅ,τι μέρος εἶναι ὁ ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος εἶναι καὶ τὸ ἄθροισμα ΑΗ+ΔΘ τοῦ ἀθροίσματος Γ+Ζ (θεώρ. 5). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὅ,τι μέρος εἶναι ὁ ΗΒ τοῦ Γ, τὸ αὐτὸ μέρος εἶναι καὶ τὸ ἄθροισμα ΗΒ+ΘΕ τοῦ ἀθροίσματος Γ+Ζ. Ὅσα μέρη ἄρα εἶναι ὁ ΑΒ τοῦ Γ, τὰ αὐτὰ μέρη εἶναι καὶ τὸ ἄθροισμα ΑΒ+ΔΕ τοῦ ἀθροίσματος Γ+Ζ· ὅπερ ἔδει δεῖξαι.

7.

Ἐὰν ἀριθμὸς εἶναι μέρος ἀριθμοῦ, ὅσον εἶναι ὁ ἀφαιρεθεὶς τοῦ ἀφαιρεθέντος, καὶ τὸ ὑπόλοιπον θὰ εἶναι τὸ αὐτὸ μέρος τοῦ ὑπολοίπου, τὸ ὁποῖον εἶναι ὁ ὅλος τοῦ ὅλου.

Διότι ἔστω ὁ ἀριθμὸς ΑΒ μέρος τοῦ ΓΔ, ὅσον εἶναι ὁ ἀφαιρεθεὶς ΑΕ, τοῦ ἀφαιρεθέντος ΓΖ· λέγω, ὅτι καὶ τὸ ὑπόλοιπον, ὁ ΕΒ, τοῦ ὑπολοίπου, τοῦ ΖΔ, εἶναι τὸ αὐτὸ μέρος, τὸ ὁποῖον εἶναι ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ.

Διότι ὅ,τι μέρος εἶναι ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος ἔστω καὶ ὁ ΕΒ τοῦ ΓΗ. Καὶ ἐπειδὴ ὅ,τι μέρος εἶναι ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ ΕΒ τοῦ ΓΗ, ὅ,τι μέρος ἄρα εἶναι ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ ΑΒ τοῦ ΗΖ (θεώρ. 5). Ὅ,τι δὲ μέρος εἶναι ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος ἐλήφθη καὶ ὁ ΑΒ τοῦ ΓΔ· ὅ,τι ἄρα μέρος εἶναι καὶ ὁ ΑΒ τοῦ ΗΖ, τὸ αὐτὸ μέρος εἶναι καὶ τοῦ ΓΔ· ἄρα ὁ ΗΖ εἶναι ἴσος πρὸς τὸν ΓΔ. Ἂς ἀφαιρεθῇ ὁ κοινὸς ὁ ΓΖ· τὸ ὑπόλοιπον ἄρα ὁ ΗΓ εἶναι ἴσον πρὸς τὸ ὑπόλοιπον τὸν *τοῦ ΓΖ, τὸ αὐτὸ μέρος [ἐστί] καὶ ὁ ΕΒ τοῦ ΗΓ, ἴσος δὲ ὁ ΗΓ τῷ ΖΔ, ὃ ἄρα μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΕΒ τοῦ ΖΔ. ἀλλὰ ὃ μέρος ἐστὶν ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΓΔ· καὶ λοιπὸς ἄρα ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστίν, ὅπερ ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ· ὅπερ ἔδει δεῖξαι.*

η'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, ἅπερ ἀφαιρεθεὶς ἀφαιρεθέντος, καὶ ὁ λοιπὸς τοῦ λοιποῦ τὰ αὐτὰ μέρη ἔσται, ἅπερ ὁ ὅλος τοῦ ὅλου.

Ἀριθμὸς γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ ΓΔ μέρη ἔστω, ἅπερ ἀφαιρεθεὶς ὁ ΑΕ ἀφαιρεθέντος τοῦ ΓΖ· λέγω, ὅτι καὶ λοιπὸς ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὰ αὐτὰ μέρη ἐστίν, ἅπερ ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ.



Κείσθω γὰρ τῷ ΑΒ ἴσος ὁ ΗΘ. ἃ ἄρα μέρη ἐστὶν ὁ ΗΘ τοῦ ΓΔ, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ ΑΕ τοῦ ΓΖ. διῃρήσθω ὁ μὲν ΗΘ εἰς τὰ τοῦ ΓΔ μέρη τὰ ΗΚ, ΚΘ, ὁ δὲ ΑΕ εἰς τὰ τοῦ ΓΖ μέρη τὰ ΑΛ, ΛΕ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΗΚ, ΚΘ τῷ πλήθει τῶν ΑΛ, ΛΕ. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ ΗΚ τοῦ ΓΔ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΛ τοῦ ΓΖ, μείζων δὲ ὁ ΓΔ τοῦ ΓΖ, μείζων ἄρα καὶ ὁ ΗΚ τοῦ ΑΛ. κείσθω τῷ ΑΛ ἴσος ὁ ΗΜ. ὃ ἄρα μέρος ἐστὶν ὁ ΗΚ τοῦ ΓΔ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΗΜ τοῦ ΓΖ· καὶ λοιπὸς ἄρα ὁ ΜΚ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστίν, ὅπερ ὅλος ὁ ΗΚ ὅλου τοῦ ΓΔ. πάλιν ἐπεί, ὃ μέρος ἐστὶν ὁ ΚΘ τοῦ ΓΔ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΕΛ τοῦ ΓΖ, μείζων δὲ ὁ ΓΔ τοῦ ΓΖ, μείζων ἄρα καὶ ὁ ΘΚ τοῦ ΕΛ. κείσθω τῷ ΕΛ ἴσος ὁ ΚΝ. ὃ ἄρα μέρος ἐστὶν ὁ ΚΘ τοῦ ΓΔ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΚΝ τοῦ ΓΖ· καὶ λοιπὸς ἄρα ὁ ΝΘ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστίν, ὅπερ ὅλος ὁ ΚΘ ὅλου τοῦ ΓΔ. ἐδείχθη δὲ καὶ λοιπὸς ὁ ΜΚ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ὤν, ὅπερ ὅλος ὁ ΗΚ ὅλου τοῦ ΓΔ· καὶ συναμφότερος ἄρα ὁ ΜΚ, ΝΘ τοῦ ΔΖ τὰ αὐτὰ μέρη ἐστίν, ἅπερ ὅλος ὁ ΘΗ ὅλου τοῦ ΓΔ. ἴσος δὲ συναμφότερος μὲν ὁ ΜΚ, ΝΘ τῷ ΕΒ, ὁ δὲ ΘΗ τῷ ΒΑ· καὶ λοιπὸς ἄρα ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὰ αὐτὰ μέρη ἐστίν, ἅπερ ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ· ὅπερ ἔδει δεῖξαι.

ΖΔ. Καὶ ἐπειδὴ ὅ,τι μέρος εἶναι ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ ΕΒ τοῦ ΗΓ, εἶναι δὲ ἴσος ὁ ΗΓ πρὸς τὸν ΖΔ, ἄρα ὅ,τι μέρος εἶναι ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ ΕΒ τοῦ ΖΔ. Ἀλλὰ ὅ,τι μέρος εἶναι ὁ ΑΕ τοῦ ΓΖ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ ΑΒ τοῦ ΓΔ· ἄρα καὶ τὸ ὑπόλοιπον ὁ ΕΒ εἶναι τὸ αὐτὸ μέρος τοῦ ὑπολοίπου τοῦ ΖΔ, τὸ ὁποῖον εἶναι ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ· ὅπερ ἔδει δεῖξαι.

8.

Ἐὰν ἀριθμὸς εἶναι μέρη ἀριθμοῦ, ὅσα εἶναι ὁ ἀφαιρεθεὶς τοῦ ἀφαιρεθέντος, καὶ τὸ ὑπόλοιπον θὰ εἶναι τὰ αὐτὰ μέρη τοῦ ὑπολοίπου, τὰ ὁποῖα εἶναι ὁ ὅλος τοῦ ὅλου.

Διότι ἔστω ὅτι ὁ ἀριθμὸς ΑΒ εἶναι τόσα μέρη τοῦ ΓΔ, ὅσα ὁ ἀφαιρεθεὶς ΑΕ τοῦ ἀφαιρεθέντος ΓΖ·λέγω, ὅτι καὶ τὸ ὑπόλοιπον ὁ ΕΒ εἶναι τὰ αὐτὰ μέρη τοῦ ὑπολοίπου τοῦ ΖΔ, τὰ ὁποῖα εἶναι ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ.

Διότι ἂς ληφθῇ ὁ ΗΘ ἴσος πρὸς τὸν ΑΒ. Ὅσα ἄρα μέρη εἶναι ὁ ΗΘ τοῦ ΓΔ, τὰ αὐτὰ μέρη εἶναι καὶ ὁ ΑΕ τοῦ ΓΖ. Ἂς διαιρεθῇ ὁ μὲν ΗΘ εἰς τὰ μέρη τοῦ ΓΔ τὰ ΗΚ, ΚΘ, ὁ δὲ ΑΕ εἰς τὰ μέρη τοῦ ΓΖ τὰ ΑΛ, ΛΕ· τὸ πλῆθος τῶν ΗΚ, ΚΘ εἶναι προφανῶς ἴσον πρὸς τὸ πλῆθος τῶν ΑΛ, ΛΕ. Καὶ ἐπειδὴ ὅ,τι μέρος εἶναι ὁ ΗΚ τοῦ ΓΔ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ ΑΛ τοῦ ΓΖ, μεγαλύτερος δὲ ὁ ΓΔ τοῦ ΓΖ, ἄρα καὶ ὁ ΗΚ εἶναι μεγαλύτερος τοῦ ΑΛ. Ἂς ληφθῇ ὁ ΗΜ ἴσος πρὸς τὸν ΑΛ. Ἄρα ὅ,τι μέρος εἶναι ὁ ΗΚ τοῦ ΓΔ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ ΗΜ τοῦ ΓΖ· ἄρα καὶ τὸ ὑπόλοιπον ὁ ΜΚ εἶναι τὸ αὐτὸ μέρος τοῦ ὑπολοίπου τοῦ ΖΔ, τὸ ὁποῖον εἶναι ὅλος ὁ ΗΚ ὅλου τοῦ ΓΔ (θεώρ. 7). Πάλιν ἐπειδὴ ὅ,τι μέρος εἶναι ὁ ΚΘ τοῦ ΓΔ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ ΕΛ τοῦ ΓΖ, εἶναι δὲ μεγαλύτερος ὁ ΓΔ τοῦ ΓΖ, ἄρα καὶ ὁ ΘΚ εἶναι μεγαλύτερος τοῦ ΕΛ. Ἂς ληφθῇ ὁ ΚΝ ἴσος πρὸς τὸν ΕΛ. Ὅ,τι ἄρα μέρος εἶναι ὁ ΚΘ τοῦ ΓΔ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ ΚΝ τοῦ ΓΖ· καὶ τὸ ὑπόλοιπον ἄρα ὁ ΝΘ τοῦ ὑπολοίπου τοῦ ΖΔ εἶναι τὸ αὐτὸ μέρος, τὸ ὁποῖον ὅλος ὁ ΚΘ εἶναι ὅλου τοῦ ΓΔ (θεώρ. 7). Ἐδείχθη δὲ καὶ τὸ ὑπόλοιπον ὁ ΜΚ, ὅτι εἶναι τὸ αὐτὸ μέρος τοῦ ὑπολοίπου, τοῦ ΖΔ, τὸ ὁποῖον εἶναι ὅλος ὁ ΗΚ ὅλου τοῦ ΓΔ· ἄρα καὶ τὸ ἄθροισμα ΜΚ + ΝΘ εἶναι τὰ αὐτὰ μέρη τοῦ ΔΖ, τὰ ὁποῖα εἶναι ὅλος ὁ ΘΗ ὅλου τοῦ ΓΔ. Εἶναι δὲ τὸ μὲν ἄθροισμα ΜΚ + ΝΘ ἴσον πρὸς τὸν ΕΒ[1], ὁ δὲ ΘΗ ἴσος πρὸς τὸν ΒΑ· ἄρα καὶ τὸ ὑπόλοιπον ὁ ΕΒ εἶναι τὰ αὐτὰ μέρη τοῦ ὑπολοίπου τοῦ ΖΔ, τὰ ὁποῖα εἶναι ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ· ὅπερ ἔδει δεῖξαι.

---

1. Διότι ΗΜ+ΜΚ+ΚΝ+ΝΘ=ΑΛ+ΛΕ+ΕΒ καὶ ΗΜ=ΑΛ, ΚΝ=ΕΛ.

θ'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, καὶ ἕτερος ἑτέρου τὸ αὐτὸ μέρος ᾖ, καὶ ἐναλλάξ, ὃ μέρος ἐστὶν ἢ μέρη ὁ πρῶτος τοῦ τρίτου, τὸ αὐτὸ μέρος ἔσται ἢ τὰ αὐτὰ μέρη καὶ ὁ δεύτερος τοῦ τετάρτου.

Ἀριθμὸς γὰρ ὁ Α ἀριθμοῦ τοῦ ΒΓ μέρος ἔστω, καὶ ἕτερος ὁ Δ ἑτέρου τοῦ ΕΖ τὸ αὐτὸ μέρος, ὅπερ ὁ Α τοῦ ΒΓ· λέγω, ὅτι καὶ ἐναλλάξ, ὃ μέρος ἐστὶν ὁ Α τοῦ Δ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΒΓ τοῦ ΕΖ ἢ μέρη.



Ἐπεὶ γὰρ ὃ μέρος ἐστὶν ὁ Α τοῦ ΒΓ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Δ τοῦ ΕΖ, ὅσοι ἄρα εἰσὶν ἐν τῷ ΒΓ ἀριθμοὶ ἴσοι τῷ Α, τοσοῦτοί εἰσι καὶ ἐν τῷ ΕΖ ἴσοι τῷ Δ. διῃρήσθω ὁ μὲν ΒΓ εἰς τοὺς τῷ Α ἴσους τοὺς ΒΗ, ΗΓ, ὁ δὲ ΕΖ εἰς τοὺς τῷ Δ ἴσους τοὺς ΕΘ, ΘΖ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΓ τῷ πλήθει τῶν ΕΘ, ΘΖ.

Καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΒΗ, ΗΓ ἀριθμοὶ ἀλλήλοις, εἰσὶ δὲ καὶ οἱ ΕΘ, ΘΖ ἀριθμοὶ ἴσοι ἀλλήλοις, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΓ τῷ πλήθει τῶν ΕΘ, ΘΖ, ὃ ἄρα μέρος ἐστὶν ὁ ΒΗ τοῦ ΕΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΗΓ τοῦ ΘΖ ἢ τὰ αὐτὰ μέρη· ὥστε καὶ ὃ μέρος ἐστὶν ὁ ΒΗ τοῦ ΕΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ ΒΓ συναμφοτέρου τοῦ ΕΖ ἢ τὰ αὐτὰ μέρη. ἴσος δὲ ὁ μὲν ΒΗ τῷ Α, ὁ δὲ ΕΘ τῷ Δ· ὃ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ Δ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΒΓ τοῦ ΕΖ ἢ τὰ αὐτὰ μέρη· ὅπερ ἔδει δεῖξαι.

ι'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, καὶ ἕτερος ἑτέρου τὰ αὐτὰ μέρη ᾖ, καὶ ἐναλλάξ, ἃ μέρη ἐστὶν ὁ πρῶτος τοῦ τρίτου ἢ μέρος, τὰ αὐτὰ μέρη ἔσται καὶ ὁ δεύτερος τοῦ τετάρτου ἢ τὸ αὐτὸ μέρος.

Ἀριθμὸς γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ Γ μέρη ἔστω, καὶ ἕτερος ὁ ΔΕ ἑτέρου τοῦ Ζ τὰ αὐτὰ μέρη· λέγω, ὅτι καὶ ἐναλλάξ, ἃ μέρη ἐστὶν ὁ ΑΒ τοῦ ΔΕ ἢ μέρος, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὸ αὐτὸ μέρος.



Ἐπεὶ γάρ, ἃ μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ ΔΕ τοῦ Ζ, ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μέρη τοῦ Γ, τοσαῦτα καὶ ἐν τῷ ΔΕ μέρη τοῦ Ζ. διῃρήσθω ὁ μὲν ΑΒ εἰς τὰ τοῦ Γ μέρη τὰ ΑΗ, ΗΒ, ὁ δὲ ΔΕ εἰς τὰ τοῦ Ζ μέρη τὰ ΔΘ, ΘΕ. ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΑΗ, ΗΒ τῷ

9.

Ἐὰν ἀριθμὸς εἶναι μέρος ἀριθμοῦ καὶ ἄλλος εἶναι τὸ αὐτὸ μέρος ἄλλου, καὶ ἐναλλὰξ ὅ,τι μέρος ἢ μέρη εἶναι ὁ πρῶτος τοῦ τρίτου, τὸ αὐτὸ μέρος ἢ τὰ αὐτὰ μέρη θὰ εἶναι καὶ ὁ δεύτερος τοῦ τετάρτου.

Διότι ἔστω ὁ ἀριθμὸς Α μέρος τοῦ ἀριθμοῦ ΒΓ, καὶ ἄλλος ὁ Δ ἄλλου τοῦ ΕΖ τὸ αὐτὸ μέρος, τὸ ὁποῖον εἶναι ὁ Α τοῦ ΒΓ· λέγω, ὅτι καὶ ἐναλλὰξ ὅ,τι μέρος ἢ μέρη εἶναι ὁ Α τοῦ Δ, τὸ αὐτὸ μέρος ἢ μέρη εἶναι καὶ ὁ ΒΓ τοῦ ΕΖ.

Διότι, ἐπειδὴ ὅ,τι μέρος εἶναι ὁ Α τοῦ ΒΓ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ Δ τοῦ ΕΖ, ὅσοι ἄρα ἀριθμοὶ ἴσοι πρὸς τὸν Α εἶναι εἰς τὸν ΒΓ, τόσοι ἴσοι πρὸς τὸν Δ εἶναι καὶ εἰς τὸν ΕΖ. Ἂς διαιρεθῇ ὁ μὲν ΒΓ εἰς τοὺς ἴσους πρὸς τὸν Α τοὺς ΒΗ, ΗΓ, ὁ δὲ ΕΖ εἰς τοὺς ἴσους πρὸς τὸν Δ τοὺς ΕΘ, ΘΖ· τὸ πλῆθος τῶν ΒΗ, ΗΓ προφανῶς θὰ εἶναι ἴσον πρὸς τὸ πλῆθος τῶν ΕΘ, ΘΖ.

Καὶ ἐπειδὴ οἱ ἀριθμοὶ ΒΗ, ΗΓ εἶναι ἴσοι πρὸς ἀλλήλους, εἶναι δὲ καὶ οἱ ἀριθμοὶ ΕΘ, ΘΖ ἴσοι πρὸς ἀλλήλους, καὶ τὸ πλῆθος τῶν ΒΗ, ΗΓ εἶναι ἴσον πρὸς τὸ πλῆθος τῶν ΕΘ, ΘΖ, ἄρα ὅ,τι μέρος ἢ μέρη εἶναι ὁ ΒΗ τοῦ ΕΘ, τὸ αὐτὸ μέρος ἢ τὰ αὐτὰ μέρη εἶναι καὶ ὁ ΗΓ τοῦ ΘΖ· ὥστε καὶ ὅ,τι μέρος ἢ μέρη εἶναι ὁ ΒΗ τοῦ ΕΘ, τὸ αὐτὸ μέρος ἢ μέρη εἶναι τὸ ἄθροισμα τὸ ΒΓ τοῦ ἀθροίσματος τοῦ ΕΖ (θεώρ. 5 καὶ 6). Εἶναι δὲ ὁ μὲν ΒΗ ἴσος πρὸς τὸν Α, ὁ δὲ ΕΘ πρὸς τὸν Δ· ἄρα ὅ,τι μέρος ἢ μέρη εἶναι ὁ Α τοῦ Δ, τὸ αὐτὸ μέρος ἢ μέρη εἶναι ὁ ΒΓ τοῦ ΕΖ· ὅπερ ἔδει δεῖξαι.

10.

Ἐὰν ἀριθμὸς εἶναι μέρη ἀριθμοῦ καὶ ἄλλος εἶναι τὰ αὐτὰ μέρη ἄλλου, καὶ ἐναλλὰξ ὅσα μέρη ἢ μέρος εἶναι ὁ πρῶτος τοῦ τρίτου, τὰ αὐτὰ μέρη ἢ τὸ αὐτὸ μέρος θὰ εἶναι καὶ ὁ δεύτερος τοῦ τετάρτου.

Διότι ἔστω ὁ ἀριθμὸς ΑΒ μέρη τοῦ ἀριθμοῦ Γ, καὶ ἄλλος ὁ ΔΕ ἄλλου τοῦ Ζ τὰ αὐτὰ μέρη· λέγω, ὅτι καὶ ἐναλλὰξ ὅσα μέρη ἢ μέρος εἶναι ὁ ΑΒ τοῦ ΔΕ, τὰ αὐτὰ μέρη ἢ τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ Γ τοῦ Ζ.

Διότι, ἐπειδὴ ὅσα μέρη εἶναι ὁ ΑΒ τοῦ Γ, τὰ αὐτὰ μέρη εἶναι καὶ ὁ ΔΕ τοῦ Ζ, ἄρα ὅσα μέρη τοῦ Γ εἶναι εἰς τὸν ΑΒ, τόσα μέρη τοῦ Ζ εἶναι καὶ εἰς τὸν ΔΕ. Ἂς διαιρεθῇ ὁ μὲν ΑΒ εἰς τὰ μέρη τοῦ Γ τὰ ΑΗ, ΗΒ, ὁ δὲ ΔΕ εἰς τὰ μέρη τοῦ Ζ τὰ ΔΘ, ΘΕ· τὸ πλῆθος τῶν ΑΗ, ΗΒ εἶναι προφανῶς ἴσον πρὸς τὸ πλῆθος τῶν ΔΘ, ΘΕ. Καὶ ἐπειδὴ ὅ,τι μέρος εἶναι ὁ πλήθει τῶν ΔΘ, ΘΕ. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΔΘ τοῦ Ζ, καὶ ἐναλλάξ, ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη. διὰ τὰ αὐτὰ δὴ καί, ὃ μέρος ἐστὶν ὁ ΗΒ τοῦ ΘΕ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη· ὥστε καὶ [ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΗΒ τοῦ ΘΕ ἢ τὰ αὐτὰ μέρη· καὶ ὃ ἄρα μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΔΕ ἢ τὰ αὐτὰ μέρη· ἀλλ' ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐδείχθη καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη, καί] ἃ [ἄρα] μέρη ἐστὶν ὁ ΑΒ τοῦ ΔΕ ἢ μέρος, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὸ αὐτὸ μέρος· ὅπερ ἔδει δεῖξαι.

ια'.

Ἐὰν ᾖ ὡς ὅλος πρὸς ὅλον, οὕτως ἀφαιρεθεὶς πρὸς ἀφαιρεθέντα, καὶ ὁ λοιπὸς πρὸς τὸν λοιπὸν ἔσται, ὡς ὅλος πρὸς ὅλον.



Ἔστω ὡς ὅλος ὁ ΑΒ πρὸς ὅλον τὸν ΓΔ, οὕτως ἀφαιρεθεὶς ὁ ΑΕ πρὸς ἀφαιρεθέντα τὸν ΓΖ· λέγω, ὅτι καὶ λοιπὸς ὁ ΕΒ πρὸς λοιπὸν τὸν ΖΔ ἐστιν, ὡς ὅλος ὁ ΑΒ πρὸς ὅλον τὸν ΓΔ.

Ἐπεί ἐστιν ὡς ὁ ΑΒ πρὸς τὸν ΓΔ, οὕτως ὁ ΑΕ πρὸς τὸν ΓΖ, ὃ ἄρα μέρος ἐστὶν ὁ ΑΒ τοῦ ΓΔ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΕ τοῦ ΓΖ ἢ τὰ αὐτὰ μέρη. καὶ λοιπὸς ἄρα ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστὶν ἢ μέρη, ἅπερ ὁ ΑΒ τοῦ ΓΔ. ἔστιν ἄρα ὡς ὁ ΕΒ πρὸς τὸν ΖΔ, οὕτως ὁ ΑΒ πρὸς τὸν ΓΔ· ὅπερ ἔδει δεῖξαι.

ιβ'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον, ἔσται ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους.



Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· λέγω, ὅτι ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως οἱ Α, Γ πρὸς τοὺς Β, Δ.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ, ὃ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ Β ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Δ ἢ μέρη. καὶ συναμφότερος ἄρα ὁ Α, Γ συναμφοτέρου τοῦ Β, Δ τὸ αὐτὸ μέρος ἐστὶν ἢ τὰ αὐτὰ μέρη, ἅπερ ὁ Α τοῦ Β. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως οἱ Α, Γ πρὸς τοὺς Β, Δ· ὅπερ ἔδει δεῖξαι.

ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ ΔΘ τοῦ Ζ, καὶ ἐναλλὰξ ὅ,τι μέρος ἢ μέρη εἶναι ὁ ΑΗ τοῦ ΔΘ, τὸ αὐτὸ μέρος ἢ τὰ αὐτὰ μέρη εἶναι καὶ ὁ Γ τοῦ Ζ (θεώρ. 9). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὅ,τι μέρος ἢ μέρη εἶναι ὁ ΗΒ τοῦ ΘΕ, τὸ αὐτὸ μέρος ἢ μέρη εἶναι καὶ ὁ Γ τοῦ Ζ· ὥστε καὶ ὅ,τι μέρος ἢ μέρη εἶναι ὁ ΑΗ τοῦ ΔΘ, τὸ αὐτὸ μέρος ἢ τὰ αὐτὰ μέρη εἶναι καὶ ὁ ΗΒ τοῦ ΘΕ· καὶ ὅ,τι ἄρα μέρος ἢ μέρη εἶναι ὁ ΑΗ τοῦ ΔΘ, τὸ αὐτὸ μέρος ἢ μέρη εἶναι καὶ ὁ ΑΒ τοῦ ΔΕ· ἀλλ' ὅ,τι μέρος ἢ μέρη εἶναι ὁ ΑΗ τοῦ ΔΘ, τὸ αὐτὸ μέρος ἢ μέρη ἐδείχθη καὶ ὁ Γ τοῦ Ζ, καὶ ἄρα ὅσα μέρη εἶναι ἢ μέρος ὁ ΑΒ τοῦ ΔΕ, τὰ αὐτὰ μέρη ἢ τὸ αὐτὸ μέρος εἶναι καὶ ὁ Γ τοῦ Ζ· ὅπερ ἔδει δεῖξαι.

11.

Ἐὰν εἶναι ὡς ὅλος πρὸς ὅλον, οὕτως ἀφαιρεθεὶς πρὸς ἀφαιρεθέντα, καὶ τὸ ὑπόλοιπον πρὸς τὸ ὑπόλοιπον θὰ εἶναι ὡς ὅλος πρὸς ὅλον.

Ἔστω ὅτι ὡς εἶναι ὅλος ὁ ΑΒ πρὸς ὅλον τὸν ΓΔ, οὕτως ἀφαιρεθεὶς ὁ ΑΕ πρὸς ἀφαιρεθέντα τὸν ΓΖ· λέγω, ὅτι καὶ τὸ ὑπόλοιπον ὁ ΕΒ πρὸς τὸ ὑπόλοιπον τὸν ΖΔ εἶναι ὡς ὅλος ὁ ΑΒ πρὸς ὅλον τὸν ΓΔ.

Ἐπειδὴ εἶναι ὡς ὁ ΑΒ πρὸς τὸν ΓΔ, οὕτως ὁ ΑΕ πρὸς τὸν ΓΖ, ἄρα ὅ,τι μέρος ἢ μέρη εἶναι ὁ ΑΒ τοῦ ΓΔ, τὸ αὐτὸ μέρος ἢ τὰ αὐτὰ μέρη εἶναι καὶ ὁ ΑΕ τοῦ ΓΖ (όρ. 21). Ἄρα καὶ τὸ ὑπόλοιπον ὁ ΕΒ εἶναι τοῦ ὑπολοίπου τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἢ μέρη, τὰ ὁποῖα εἶναι ὁ ΑΒ τοῦ ΓΔ (θεώρ. 7 καὶ 8). Εἶναι ἄρα ὡς ὁ ΕΒ πρὸς τὸν ΖΔ, οὕτως ὁ ΑΒ πρὸς τὸν ΓΔ· (όρ. 21)· ὅπερ ἔδει δεῖξαι.

12.

Ἐὰν ὑπάρχωσιν ὁσοιδήποτε ἀριθμοὶ ἐν ἀναλογίᾳ, θὰ εἶναι ὡς ὁ εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως τὸ ἄθροισμα τῶν ἡγουμένων πρὸς τὸ ἄθροισμα τῶν ἑπομένων.

Ἔστωσαν ὁσοιδήποτε ἀριθμοὶ ἐν ἀναλογίᾳ οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· λέγω, ὅτι εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως τὸ ἄθροισμα τῶν Α, Γ πρὸς τὸ ἄθροισμα τῶν Β, Δ.

Διότι, ἐπειδὴ εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ, ὅ,τι ἄρα μέρος ἢ μέρη εἶναι ὁ Α τοῦ Β, τὸ αὐτὸ μέρος ἢ μέρη εἶναι καὶ ὁ Γ τοῦ Δ (όρ. 21). Καὶ τὸ ἄθροισμα ἄρα τῶν Α, Γ τοῦ ἀθροίσματος τῶν Β, Δ θὰ εἶναι τὸ αὐτὸ μέρος ἢ τὰ αὐτὰ μέρη, ὅσα ὁ Α τοῦ Β (θεώρ. 6 καὶ 7). Εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως τὸ ἄθροισμα τῶν Α, Γ πρὸς τὸ ἄθροισμα τῶν Β, Δ· ὅπερ ἔδει δεῖξαι.

ιγ'.

Ἐὰν τέσσαρες ἀριθμοὶ ἀνάλογον ὦσιν, καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται.

Ἔστωσαν τέσσαρες ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· λέγω, ὅτι καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται, ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Β πρὸς τὸν Δ.



Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ, ὃ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ Β ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Δ ἢ τὰ αὐτὰ μέρη. ἐναλλὰξ ἄρα, ὃ μέρος ἐστὶν ὁ Α τοῦ Γ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Β τοῦ Δ ἢ τὰ αὐτὰ μέρη. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Β πρὸς τὸν Δ· ὅπερ ἔδει δεῖξαι.

ιδ'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος σύνδυο λαμβανόμενοι ἐν τῷ αὐτῷ λόγῳ, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσονται.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ οἱ Α, Β, Γ καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος σύνδυο λαμβανόμενοι ἐν τῷ αὐτῷ λόγῳ οἱ Δ, Ε, Ζ, ὡς μὲν ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε, ὡς δὲ ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Ε πρὸς τὸν Ζ· λέγω, ὅτι καὶ δι' ἴσου ἐστὶν ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ζ.



Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε, ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Δ, οὕτως ὁ Β πρὸς τὸν Ε. πάλιν, ἐπεί ἐστιν ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Ε πρὸς τὸν Ζ, ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Β πρὸς τὸν Ε, οὕτως ὁ Γ πρὸς τὸν Ζ. ὡς δὲ ὁ Β πρὸς τὸν Ε, οὕτως ὁ Α πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Δ, οὕτως ὁ Γ πρὸς τὸν Ζ· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ζ· ὅπερ ἔδει δεῖξαι.

ιε'.

Ἐὰν μονὰς ἀριθμόν τινα μετρῇ, ἰσάκις δὲ ἕτερος ἀριθμὸς ἄλλον τινὰ ἀριθμὸν μετρῇ, καὶ ἐναλλὰξ ἰσάκις ἡ μονὰς τὸν τρίτον ἀριθμὸν μετρήσει καὶ ὁ δεύτερος τὸν τέταρτον.

13.

Ἐὰν τέσσαρες ἀριθμοὶ εἶναι ἐν ἀναλογίᾳ, καὶ ἐναλλὰξ θὰ εἶναι ἐν ἀναλογίᾳ.

Ἔστωσαν τέσσαρες ἀριθμοὶ ἐν ἀναλογίᾳ οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· λέγω, ὅτι καὶ ἐναλλὰξ θὰ εἶναι ἐν ἀναλογίᾳ ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Β πρὸς τὸν Δ.

Διότι, ἐπειδὴ εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ, ὅ,τι ἄρα μέρος ἢ μέρη εἶναι ὁ Α τοῦ Β, τὸ αὐτὸ μέρος ἢ τὰ αὐτὰ μέρη εἶναι καὶ ὁ Γ τοῦ Δ (ὁρ. 21). Ἐναλλὰξ ἄρα ὅ,τι μέρος ἢ μέρη εἶναι ὁ Α τοῦ Γ, τὸ αὐτὸ μέρος ἢ τὰ αὐτὰ μέρη εἶναι καὶ ὁ Β τοῦ Δ (θεώρ. 10). Εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Β πρὸς τὸν Δ· ὅπερ ἔδει δεῖξαι.

14.

Ἐὰν ὑπάρχωσιν ὁσοιδήποτε ἀριθμοὶ καὶ ἄλλοι ἴσοι κατὰ τὸ πλῆθος πρὸς αὐτοὺς καὶ ἀνὰ δύο λαμβανόμενοι ἔχωσι τὸν αὐτὸν λόγον, καὶ δι' ἴσου θὰ εὑρίσκωνται εἰς τὸν αὐτὸν λόγον.

Ἔστωσαν ὁσοιδήποτε ἀριθμοὶ οἱ Α, Β, Γ καὶ ἄλλοι ἴσοι κατὰ τὸ πλῆθος πρὸς αὐτοὺς λαμβανόμενοι δὲ ἀνὰ δύο ἔχοντες τὸν αὐτὸν λόγον οἱ Δ, Ε, Ζ, ὡς μὲν ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε, ὡς δὲ ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Ε πρὸς τὸν Ζ· λέγω, ὅτι καὶ δι' ἴσου εἶναι ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ζ.

Διότι, ἐπειδὴ εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε, ἐναλλὰξ ἄρα εἶναι ὡς ὁ Α πρὸς τὸν Δ, οὕτως ὁ Β πρὸς τὸν Ε (θεώρ. 13). Πάλιν ἐπειδὴ εἶναι ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Ε πρὸς τὸν Ζ, ἐναλλὰξ ἄρα εἶναι ὡς ὁ Β πρὸς τὸν Ε, οὕτως ὁ Γ πρὸς τὸν Ζ (θεώρ. 13). Ὡς δὲ ὁ Β πρὸς τὸν Ε, οὕτως ὁ Α πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Δ, οὕτως ὁ Γ πρὸς τὸν Ζ· ἐναλλὰξ ἄρα εἶναι ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ζ· ὅπερ ἔδει δεῖξαι.

15.

Ἐὰν μονὰς ἀριθμόν τινα μετρῇ, ἄλλος δὲ ἀριθμὸς μετρῇ ἰσάκις ἄλλον τινὰ ἀριθμόν, καὶ ἐναλλὰξ ἰσάκις ἡ μονὰς θὰ μετρήσῃ τὸν τρίτον ἀριθμὸν καὶ ὁ δεύτερος τὸν τέταρτον.

Μονὰς γὰρ ἡ Α ἀριθμόν τινα τὸν ΒΓ μετρείτω, ἰσάκις δὲ ἕτερος ἀριθμὸς ὁ Δ ἄλλον τινὰ ἀριθμὸν τὸν ΕΖ μετρείτω· λέγω, ὅτι καὶ ἐναλλὰξ ἰσάκις ἡ Α μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ ΒΓ τὸν ΕΖ.



Ἐπεὶ γὰρ ἰσάκις ἡ Α μονὰς τὸν ΒΓ ἀριθμὸν μετρεῖ καὶ ὁ Δ τὸν ΕΖ, ὅσαι ἄρα εἰσὶν ἐν τῷ ΒΓ μονάδες, τοσοῦτοί εἰσι καὶ ἐν τῷ ΕΖ ἀριθμοὶ ἴσοι τῷ Δ. διῃρήσθω ὁ μὲν ΒΓ εἰς τὰς ἐν ἑαυτῷ μονάδας τὰς ΒΗ, ΗΘ, ΘΓ, ὁ δὲ ΕΖ εἰς τοὺς τῷ Δ ἴσους τοὺς ΕΚ, ΚΛ, ΛΖ. ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΘ, ΘΓ τῷ πλήθει τῶν ΕΚ, ΚΛ, ΛΖ. καὶ ἐπεὶ ἴσαι εἰσὶν αἱ ΒΗ, ΗΘ, ΘΓ μονάδες ἀλλήλαις, εἰσὶ δὲ καὶ οἱ ΕΚ, ΚΛ, ΛΖ ἀριθμοὶ ἴσοι ἀλλήλοις, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΘ, ΘΓ μονάδων τῷ πλήθει τῶν ΕΚ, ΚΛ, ΛΖ ἀριθμῶν, ἔσται ἄρα ὡς ἡ ΒΗ μονὰς πρὸς τὸν ΕΚ ἀριθμόν, οὕτως ἡ ΗΘ μονὰς πρὸς τὸν ΚΛ ἀριθμὸν καὶ ἡ ΘΓ μονὰς πρὸς τὸν ΛΖ ἀριθμόν. ἔσται ἄρα καὶ ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους· ἔστιν ἄρα ὡς ἡ ΒΗ μονὰς πρὸς τὸν ΕΚ ἀριθμόν, οὕτως ὁ ΒΓ πρὸς τὸν ΕΖ. ἴση δὲ ἡ ΒΗ μονὰς τῇ Α μονάδι, ὁ δὲ ΕΚ ἀριθμὸς τῷ Δ ἀριθμῷ. ἔστιν ἄρα ὡς ἡ Α μονὰς πρὸς τὸν Δ ἀριθμόν, οὕτως ὁ ΒΓ πρὸς τὸν ΕΖ. ἰσάκις ἄρα ἡ Α μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ ΒΓ τὸν ΕΖ· ὅπερ ἔδει δεῖξαι.

ιϛ'.

Ἐὰν δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινας, οἱ γενόμενοι ἐξ αὐτῶν ἴσοι ἀλλήλοις ἔσονται.

Ἔστωσαν δύο ἀριθμοὶ οἱ Α, Β, καὶ ὁ μὲν Α τὸν Β πολλαπλασιάσας τὸν Γ ποιείτω, ὁ δὲ Β τὸν Α πολλαπλασιάσας τὸν Δ ποιείτω· λέγω, ὅτι ἴσος ἐστὶν ὁ Γ τῷ Δ.



Ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν, ὁ Β ἄρα τὸν Γ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. μετρεῖ δὲ καὶ ἡ Ε μονὰς τὸν Α ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ε μονὰς τὸν Α ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Γ. ἐναλλὰξ ἄρα ἰσάκις ἡ Ε μονὰς τὸν Β ἀριθμὸν μετρεῖ καὶ ὁ Α τὸν Γ. πάλιν, ἐπεὶ ὁ Β τὸν Α πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ὁ Α ἄρα τὸν Δ μετρεῖ κατὰ τὰς ἐν τῷ Β μονάδας. μετρεῖ δὲ καὶ ἡ Ε μονὰς τὸν Β κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ε μονὰς τὸν Β ἀριθμὸν μετρεῖ καὶ ὁ Α τὸν Δ. ἰσάκις δὲ ἡ Ε μονὰς τὸν Β ἀριθμὸν ἐμέτρει καὶ ὁ Α τὸν Γ· ἰσάκις ἄρα ὁ Α ἑκάτερον τῶν Γ, Δ μετρεῖ. ἴσος ἄρα ἐστὶν ὁ Γ τῷ Δ· ὅπερ ἔδει δεῖξαι.

Διότι ἂς μετρῇ ἡ μονὰς Α ἀριθμόν τινα τὸν ΒΓ, ἄλλος δὲ ἀριθμὸς ὁ Δ ἂς μετρῇ ἰσάκις ἄλλον τινὰ ἀριθμὸν τὸν ΕΖ· λέγω, ὅτι καὶ ἐναλλὰξ ἡ μονὰς Α μετρεῖ ἰσάκις τὸν ἀριθμὸν Δ καὶ ὁ ΒΓ τὸν ΕΖ.

Διότι, ἐπειδὴ ἡ μονὰς Α μετρεῖ ἰσάκις τὸν ἀριθμὸν ΒΓ καὶ ὁ Δ τὸν ΕΖ, ὅσαι ἄρα μονάδες εἶναι εἰς τὸν ΒΓ, τόσοι ἀριθμοὶ ἴσοι πρὸς τὸν Δ εἶναι εἰς τὸν ΕΖ. Ἂς διαιρεθῇ ὁ μὲν ΒΓ εἰς τὰς μονάδας αὐτοῦ τὰς ΒΗ, ΗΘ, ΘΓ, ὁ δὲ ΕΖ εἰς τοὺς ἴσους πρὸς τὸν Δ τοὺς ΕΚ, ΚΛ, ΛΖ. Τὸ πλῆθος τῶν ΒΗ, ΗΘ, ΘΓ θὰ εἶναι προφανῶς ἴσον πρὸς τὸ πλῆθος τῶν ΕΚ, ΚΛ, ΛΖ. Καὶ ἐπειδὴ αἱ μονάδες ΒΗ, ΗΘ, ΘΓ εἶναι ἴσαι πρὸς ἀλλήλας, εἶναι δὲ καὶ οἱ ἀριθμοὶ ΕΚ, ΚΛ, ΛΖ ἴσοι πρὸς ἀλλήλους καὶ εἶναι ἴσον τὸ πλῆθος τῶν μονάδων ΒΗ, ΗΘ, ΘΓ πρὸς τὸ πλῆθος τῶν ἀριθμῶν ΕΚ, ΚΛ, ΛΖ, ἄρα θὰ εἶναι ὡς ἡ μονὰς Α πρὸς τὸν ἀριθμὸν ΕΚ, οὕτως ἡ μονὰς ΗΘ πρὸς τὸν ἀριθμὸν ΚΛ καὶ ἡ μονὰς ΘΓ πρὸς τὸν ἀριθμὸν ΛΖ. Θὰ εἶναι ἄρα καὶ ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους (θεώρ. 12)· εἶναι ἄρα ὡς ἡ μονὰς ΒΗ πρὸς τὸν ἀριθμὸν ΕΚ, οὕτως ὁ ΒΓ πρὸς τὸν ΕΖ. Εἶναι δὲ ἴση ἡ μονὰς ΒΗ πρὸς τὴν μονάδα Α, ὁ δὲ ἀριθμὸς ΕΚ εἶναι ἴσος πρὸς τὸν ἀριθμὸν Δ. Εἶναι ἄρα ὡς ἡ μονὰς Α πρὸς τὸν ἀριθμὸν Δ, οὕτως ὁ ΒΓ πρὸς τὸν ΕΖ. Ἄρα ἡ μονὰς Α μετρεῖ ἰσάκις τὸν ἀριθμὸν Δ καὶ ὁ ΒΓ τὸν ΕΖ· ὅπερ ἔδει δεῖξαι.

16.

Ἐὰν δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους δίδωσι γινόμενα ἀριθμούς τινας, τὰ προκύπτοντα γινόμενα εἶναι μεταξύ των ἴσα.

Ἔστωσαν δύο ἀριθμοὶ οἱ Α, Β, καὶ ὁ μὲν Α πολλαπλασιάσας τὸν Β ἂς δίδῃ γινόμενον τὸν Γ, ὁ δὲ Β πολλαπλασιάσας τὸν Α ἂς δίδῃ γινόμενον τὸν Δ· λέγω, ὅτι ὁ Γ εἶναι ἴσος πρὸς τὸν Δ.

Διότι, ἐπειδὴ ὁ Α πολλαπλασιάσας τὸν Β δίδει γινόμενον τὸν Γ, ἄρα ὁ Β μετρεῖ τὸν Γ κατὰ τὰς εἰς τὸν Α μονάδας. Μετρεῖ δὲ καὶ ἡ μονὰς Ε τὸν ἀριθμὸν Α κατὰ τὰς εἰς αὐτὸν μονάδας· ἄρα ἡ μονὰς Ε μετρεῖ ἰσάκις τὸν ἀριθμὸν Α καὶ ὁ Β τὸν Γ. Ἐναλλὰξ ἄρα ἡ μονὰς Ε μετρεῖ ἰσάκις τὸν ἀριθμὸν Β καὶ ὁ Α τὸν Γ (θεώρ. 15). Πάλιν, ἐπειδὴ ὁ Β πολλαπλασιάσας τὸν Α δίδει γινόμενον τὸν Δ, ἄρα ὁ Α μετρεῖ τὸν Δ κατὰ τὰς εἰς τὸν Β μονάδας. Μετρεῖ δὲ καὶ ἡ μονὰς Ε τὸν Β κατὰ τὰς εἰς αὐτὸν μονάδας· ἰσάκις ἄρα ἡ μονὰς Ε μετρεῖ τὸν ἀριθμὸν Β καὶ ὁ Α τὸν Δ. Ἰσάκις δὲ ἡ μονὰς Ε ἐμέτρει τὸν ἀριθμὸν Β καὶ ὁ Α τὸν Γ (κατὰ τὰ ἀνωτέρω : ἐναλλὰξ....)· ἄρα ὁ Α μετρεῖ ἰσάκις ἕκαστον τῶν Γ, Δ. Ἄρα ὁ Γ εἶναι ἴσος πρὸς τὸν Δ· ὅπερ ἔδει δεῖξαι.

ιζ'.

Ἐὰν ἀριθμὸς δύο ἀριθμοὺς πολλαπλασιάσας ποιῇ τινας, οἱ γενόμενοι ἐξ αὐτῶν τὸν αὐτὸν ἕξουσι λόγον τοῖς πολλαπλασιασθεῖσιν.

Ἀριθμὸς γὰρ ὁ Α δύο ἀριθμοὺς τοὺς Β, Γ πολλαπλασιάσας τοὺς Δ, Ε ποιείτω· λέγω, ὅτι ἐστὶν ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ε.



Ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ὁ Β ἄρα τὸν Δ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. μετρεῖ δὲ καὶ ἡ Ζ μονὰς τὸν Α ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ζ μονὰς τὸν Α ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Δ. ἔστιν ἄρα ὡς ἡ Ζ μονὰς πρὸς τὸν Α ἀριθμόν, οὕτως ὁ Β πρὸς τὸν Δ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ Ζ μονὰς πρὸς τὸν Α ἀριθμόν, οὕτως ὁ Γ πρὸς τὸν Ε· καὶ ὡς ἄρα ὁ Β πρὸς τὸν Δ, οὕτως ὁ Γ πρὸς τὸν Ε. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ε· ὅπερ ἔδει δεῖξαι.

ιη'.

Ἐὰν δύο ἀριθμοὶ ἀριθμόν τινα πολλαπλασιάσαντες ποιῶσί τινας, οἱ γενόμενοι ἐξ αὐτῶν τὸν αὐτὸν ἕξουσι λόγον τοῖς πολλαπλασιάσασιν.

Δύο γὰρ ἀριθμοὶ οἱ Α, Β ἀριθμόν τινα τὸν Γ πολλαπλασιάσαντες τοὺς Δ, Ε ποιείτωσαν· λέγω, ὅτι ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε.



Ἐπεὶ γὰρ ὁ Α τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκεν, καὶ ὁ Γ ἄρα τὸν Α πολλαπλασιάσας τὸν Δ πεποίηκεν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Γ τὸν Β πολλαπλασιάσας τὸν Ε πεποίηκεν. ἀριθμὸς δὴ ὁ Γ δύο ἀριθμοὺς τοὺς Α, Β πολλαπλασιάσας τοὺς Δ, Ε πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε· ὅπερ ἔδει δεῖξαι.

ιθ'.

Ἐὰν τέσσαρες ἀριθμοὶ ἀνάλογον ὦσιν, ὁ ἐκ πρώτου καὶ τετάρτου γενόμενος ἀριθμὸς ἴσος ἔσται τῷ ἐκ δευτέρου καὶ τρίτου γενομένῳ ἀριθμῷ· καὶ ἐὰν ὁ ἐκ πρώτου καὶ τετάρτου γενόμενος ἀριθμὸς ἴσος ᾖ τῷ ἐκ δευτέρου καὶ τρίτου, οἱ τέσσαρες ἀριθμοὶ ἀνάλογον ἔσονται.

17.

Ἐὰν ἀριθμὸς πολλαπλασιάσας δύο ἀριθμοὺς δίδῃ γινόμενά τινα, τὰ γινόμενα ταῦτα θὰ ἔχωσι τὸν αὐτὸν λόγον, τὸν ὁποῖον ἔχουσιν οἱ πολλαπλασιασθέντες.

Διότι ὁ ἀριθμὸς Α πολλαπλασιάσας τοὺς Β, Γ ἃς δίδῃ τοὺς Δ, Ε· λέγω, ὅτι εἶναι ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ε.

Διότι, ἐπειδὴ ὁ Α πολλαπλασιάζων τὸν Β δίδει τὸν Δ, ὁ Β ἄρα μετρεῖ τὸν Δ κατὰ τὰς εἰς τὸν Α μονάδας. Μετρεῖ δὲ καὶ ἡ μονὰς Ζ τὸν ἀριθμὸν Α κατὰ τὰς εἰς αὐτὸν μονάδας· ἰσάκις ἄρα ἡ μονὰς Ζ μετρεῖ τὸν ἀριθμὸν Α καὶ ὁ Β τὸν Δ. Εἶναι ἄρα ὡς ἡ μονὰς Ζ πρὸς τὸν ἀριθμὸν Α, οὕτως ὁ Β πρὸς τὸν Δ (ὁρ. 21). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὡς ἡ μονὰς Ζ πρὸς τὸν ἀριθμὸν Α, οὕτως ὁ Γ πρὸς τὸν Ε· καὶ ὡς ἄρα ὁ Β πρὸς τὸν Δ, οὕτως ὁ Γ πρὸς τὸν Ε. Ἐναλλὰξ ἄρα εἶναι ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ε (θεώρ. 13)· ὅπερ ἔδει δεῖξαι.

18.

Ἐὰν δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀριθμόν τινα δίδωσι γινόμενα, τὰ γινόμενα ταῦτα θὰ ἔχωσι τὸν αὐτὸν λόγον, τὸν ὁποῖον ἔχουσιν οἱ πολλαπλασιάσαντες.

Διότι δύο ἀριθμοὶ οἱ Α, Β πολλαπλασιάσαντες ἀριθμόν τινα τὸν Γ ἃς δίδωσι τοὺς Δ, Ε· λέγω, ὅτι εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε.

Διότι, ἐπειδὴ ὁ Α πολλαπλασιάσας τὸν Γ δίδει τὸν Δ, καὶ ὁ Γ ἄρα πολλαπλασιάσας τὸν Α δίδει τὸν Δ (θεώρ. 16). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὁ Γ πολλαπλασιάσας τὸν Β δίδει τὸν Ε. Ἀριθμὸς λοιπὸν ὁ Γ πολλαπλασιάσας δύο ἀριθμοὺς τοὺς Α, Β δίδει τοὺς Δ, Ε. Εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε (θεώρ. 17)· ὅπερ ἔδει δεῖξαι.

19.

Ἐὰν τέσσαρες ἀριθμοὶ εἶναι ἐν ἀναλογίᾳ ,τὸ γινόμενον τοῦ πρώτου ἐπὶ τὸν τέταρτον εἶναι ἴσον πρὸς τὸ γινόμενον τοῦ δευτέρου ἐπὶ τὸν τρίτον· καὶ ἐὰν τὸ γινόμενον τοῦ πρώτου ἐπὶ τὸν τέταρτον εἶναι ἴσον πρὸς τὸ γινόμενον τοῦ δευτέρου ἐπὶ τὸν τρίτον, οἱ τέσσαρες ἀριθμοὶ εἶναι ἐν ἀναλογίᾳ.

Ἔστωσαν τέσσαρες ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς



τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ, καὶ ὁ Α τὸν Δ πολλαπλασιάσας τὸν Ε ποιείτω, ὁ δὲ Β τὸν Γ πολλαπλασιάσας τὸν Ζ ποιείτω· λέγω, ὅτι ἴσος ἐστὶν ὁ Ε τῷ Ζ.

Ἂς ἐπιταχθῇ νὰ εὑρεθῶσι τέσσαρες, καὶ ὁ Α πολλαπλασιάσας τὸν ἑαυτόν του ἂς δώσῃ τὸν Γ, τὸν δὲ Β πολλαπλασιάσας ἂς δώσῃ τὸν Δ, καὶ λαπλασιάσας τὸν Ε ποιείτω, καὶ ἔτι ὁ Α τοὺς Γ, Δ, Ε πολλαπλασιάσας τοὺς Ζ, Η, Θ ποιείτω, ὁ δὲ Β τὸν Ε πολλαπλασιάσας τὸν Κ ποιείτω.



Καὶ ἐπεὶ ὁ Α ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Γ πεποίηκεν, τὸν δὲ Β πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, [οὕτως] ὁ Γ πρὸς τὸν Δ. πάλιν, ἐπεὶ ὁ μὲν Α τὸν Β πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ὁ δὲ Β ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πεποίηκεν, ἑκάτερος ἄρα τῶν Α, Β τὸν Β πολλαπλασιάσας ἑκάτερον τῶν Δ, Ε πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε. ἀλλ' ὡς ὁ Α πρὸς τὸν Β, ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ, ὁ Δ πρὸς τὸν Ε. καὶ ἐπεὶ ὁ Α τοὺς Γ, Δ, πολλαπλασιάσας τοὺς Ζ, Η πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, [οὕτως] ὁ Ζ πρὸς τὸν Η. ὡς δὲ ὁ Γ πρὸς τὸν Δ, οὕτως ἦν ὁ Α πρὸς τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β, ὁ Ζ πρὸς τὸν Η. πάλιν, ἐπεὶ ὁ Α τοὺς Δ, Ε πολλαπλασιάσας τοὺς Η, Θ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ε, ὁ Η πρὸς τὸν Θ. ἀλλ' ὡς ὁ Δ πρὸς τὸν Ε, ὁ Α πρὸς τὸν Β. καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Η πρὸς τὸν Θ. καὶ ἐπεὶ οἱ Α, Β τὸν Ε πολλαπλασιάσαντες τοὺς Θ, Κ πεποιήκασιν, ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Θ πρὸς τὸν Κ. ἀλλ' ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὅ τε Ζ πρὸς τὸν Η καὶ ὁ Η πρὸς τὸν Θ. καὶ ὡς ἄρα ὁ Ζ πρὸς τὸν Η, οὕτως ὅ τε Η πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Κ· οἱ Γ, Δ, Ε ἄρα καὶ οἱ Ζ, Η, Θ, Κ ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ Α πρὸς τὸν Β λόγῳ. λέγω δή, ὅτι καὶ ἐλάχιστοι. ἐπεὶ γὰρ οἱ Α, Β ἐλάχιστοί εἰσιν τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, οἱ δὲ ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων πρῶτοι πρὸς ἀλλήλους εἰσίν, οἱ Α, Β ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἑκάτερος μὲν τῶν Α, Β ἑαυτὸν πολλαπλασιάσας ἑκάτερον τῶν Γ, Ε πεποίηκεν, ἑκάτερον δὲ τῶν Γ, Ε πολλαπλασιάσας ἑκάτερον τῶν Ζ, Κ πεποίηκεν· οἱ Γ, Ε ἄρα καὶ οἱ Ζ, Κ πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ἐὰν δὲ ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, οἱ δὲ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ἐλάχιστοί εἰσιν τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς. οἱ Γ, Δ, Ε ἄρα καὶ οἱ Ζ, Η, Θ, Κ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α, Β· ὅπερ ἔδει δεῖξαι.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐὰν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐλάχιστοι ὦσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, οἱ ἄκροι αὐτῶν τετράγωνοί εἰσιν, ἐὰν δὲ τέσσαρες, κύβοι.

ἀκόμη ὁ Β πολλαπλασιάσας τὸν ἑαυτόν του ἂς δώσῃ τὸν Ε, καὶ ἀκόμη ὁ Α πολλαπλασιάσας τοὺς Γ, Δ, Ε ἂς δώσῃ τοὺς Ζ, Η, Θ, ὁ δὲ Β πολλαπλασιάσας τὸν Ε ἂς δώσῃ τὸν Κ.

Καὶ ἐπειδὴ ὁ Α ἑαυτὸν μὲν πολλαπλασιάσας ἔδωσε τὸν Γ, τὸν δὲ Β πολλαπλασιάσας ἔδωσε τὸν Δ, εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ (VII. 17). Πάλιν, ἐπειδὴ ὁ μὲν Α πολλαπλασιάσας τὸν Β ἔδωσε τὸν Δ, ὁ δὲ Β πολλαπλασιάσας τὸν ἑαυτόν του ἔδωσε τὸν Ε, ἕκαστος ἄρα τῶν Α, Β πολλαπλασιάσας τὸν Β ἔδωσεν ἕκαστον τῶν Δ, Ε. Εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε (VII. 18). Ἀλλ' ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Δ πρὸς τὸν Ε. Καὶ ἐπειδὴ ὁ Α πολλαπλασιάσας τοὺς Γ, Δ ἔδωσε τοὺς Ζ, Η, εἶναι ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ζ πρὸς τὸν Η (VII. 17). Ὡς δὲ ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ζ πρὸς τὸν Η. Πάλιν, ἐπειδὴ ὁ Α πολλαπλασιάσας τοὺς Δ, Ε ἔδωσε τοὺς Η, Θ, εἶναι ἄρα ὡς ὁ Δ πρὸς τὸν Ε, οὕτως ὁ Η πρὸς τὸν Θ (VII. 17). Ἀλλ' ὡς ὁ Δ πρὸς τὸν Ε, οὕτως ὁ Α πρὸς τὸν Β. Καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Η πρὸς τὸν Θ. Καὶ ἐπειδὴ οἱ Α, Β πολλαπλασιάσαντες τὸν Ε ἔδωσαν τοὺς Θ, Κ, εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Θ πρὸς τὸν Κ (VII. 18). Ἀλλ' ὡς ὁ Α πρὸς τὸν Β, οὕτως καὶ ὁ Ζ πρὸς τὸν Η καὶ ὁ Η πρὸς τὸν Θ. Καὶ ὡς ἄρα ὁ Ζ πρὸς τὸν Η, οὕτως καὶ ὁ Η πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Κ· οἱ Γ, Δ, Ε ἄρα καὶ οἱ Ζ, Η, Θ, Κ εἶναι εἰς τὸν αὐτὸν λόγον τοῦ Α πρὸς τὸν Β. Λέγω τώρα, ὅτι εἶναι καὶ ἐλάχιστοι. Διότι, ἐπειδὴ οἱ Α, Β εἶναι οἱ ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς αὐτούς, οἱ δὲ ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον εἶναι πρῶτοι πρὸς ἀλλήλους (VII. 22), οἱ Α, Β ἄρα εἶναι πρῶτοι πρὸς ἀλλήλους. Καὶ ἕκαστος μὲν τῶν Α, Β ἑαυτὸν πολλαπλασιάσας ἔδωσεν ἕκαστον τῶν Γ, Ε ἕκαστον δὲ τῶν Γ, Ε πολλαπλασιάσας ἔδωσεν ἕκαστον τῶν Ζ, Κ· οἱ Γ, Ε ἄρα καὶ οἱ Ζ, Κ εἶναι πρῶτοι πρὸς ἀλλήλους (VII. 27). Ἐὰν δὲ ὑπάρχωσιν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ, οἱ δὲ ἄκροι αὐτῶν εἶναι πρῶτοι πρὸς ἀλλήλους, οἱ ἀριθμοὶ οὗτοι εἶναι οἱ ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς αὐτούς (θεώρ. 1). Οἱ Γ, Δ, Ε ἄρα καὶ οἱ Ζ, Η, Θ, Κ εἶναι οἱ ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς τοὺς Α, Β· ὅπερ ἔδει δεῖξαι.

Πόρισμα.

Ἐκ τούτου εἶναι φανερόν, ὅτι ἐὰν τρεῖς ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ εἶναι ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς αὐτούς, οἱ ἄκροι αὐτῶν εἶναι τετράγωνοι, ἐὰν δὲ τέσσαρες, οἱ ἄκροι αὐτῶν εἶναι κύβοι.

γ'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς οἱ Α, Β, Γ, Δ· λέγω, ὅτι οἱ ἄκροι αὐτῶν οἱ Α, Δ πρῶτοι πρὸς ἀλλήλους εἰσίν.



Εἰλήφθωσαν γὰρ δύο μὲν ἀριθμοὶ ἐλάχιστοι ἐν τῷ τῶν Α, Β, Γ, Δ λόγῳ οἱ Ε, Ζ, τρεῖς δὲ οἱ Η, Θ, Κ, καὶ ἑξῆς ἑνὶ πλείους, ἕως τὸ λαμβανόμενον πλῆθος ἴσον γένηται τῷ πλήθει τῶν Α, Β, Γ, Δ. εἰλήφθωσαν καὶ ἔστωσαν οἱ Λ, Μ, Ν, Ξ.

Καὶ ἐπεὶ οἱ Ε, Ζ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἐπεὶ ἑκάτερος τῶν Ε, Ζ ἑαυτὸν μὲν πολλαπλασιάσας ἑκάτερον τῶν Η, Κ πεποίηκεν, ἑκάτερον δὲ τῶν Η, Κ πολλαπλασιάσας ἑκάτερον τῶν Λ, Ξ πεποίηκεν, καὶ οἱ Η, Κ ἄρα καὶ οἱ Λ, Ξ πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἐπεὶ οἱ Α, Β, Γ, Δ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, εἰσὶ δὲ καὶ οἱ Λ, Μ, Ν, Ξ ἐλάχιστοι ἐν τῷ αὐτῷ λόγῳ ὄντες τοῖς Α, Β, Γ, Δ, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν Α, Β, Γ, Δ τῷ πλήθει τῶν Λ, Μ, Ν, Ξ, ἕκαστος ἄρα τῶν Α, Β, Γ, Δ ἑκάστῳ τῶν Λ, Μ, Ν, Ξ ἴσος ἐστίν· ἴσος ἄρα ἐστὶν ὁ μὲν Α τῷ Λ, ὁ δὲ Δ τῷ Ξ. καί εἰσιν οἱ Λ, Ξ πρῶτοι πρὸς ἀλλήλους. καὶ οἱ Α, Δ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν· ὅπερ ἔδει δεῖξαι.

δ'.

Λόγων δοθέντων ὁποσωνοῦν ἐν ἐλαχίστοις ἀριθμοῖς ἀριθμοὺς εὑρεῖν ἑξῆς ἀνάλογον ἐλαχίστους ἐν τοῖς δοθεῖσι λόγοις.

Ἔστωσαν οἱ δοθέντες λόγοι ἐν ἐλαχίστοις ἀριθμοῖς ὅ τε τοῦ Α πρὸς τὸν Β καὶ ὁ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι ὁ τοῦ Ε πρὸς τὸν Ζ· δεῖ δὴ ἀριθμοὺς εὑρεῖν ἑξῆς ἀνάλογον ἐλαχίστους ἔν τε τῷ τοῦ Α πρὸς τὸν Β λόγῳ καὶ ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι ἐν τῷ τοῦ Ε πρὸς τὸν Ζ.

3.

Ἐὰν ὑπάρχωσιν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς αὐτούς, οἱ ἄκροι αὐτῶν εἶναι πρῶτοι πρὸς ἀλλήλους.

Ἔστωσαν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς αὐτοὺς οἱ Α, Β, Γ, Δ· λέγω, ὅτι οἱ ἄκροι αὐτῶν οἱ Α, Δ εἶναι πρῶτοι πρὸς ἀλλήλους.

Διότι ἂς ληφθῶσι δύο μὲν ἀριθμοὶ ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν λόγον τῶν Α, Β, Γ, Δ οἱ Ε, Ζ (VII. 33), τρεῖς δὲ οἱ Η, Θ, Κ καὶ οὕτω καθ' ἑξῆς εἰς περισσότερον (θεώρ. 2), μέχρις ὅτου τὸ λαμβανόμενον πλῆθος τῶν ἀριθμῶν γίνῃ ἴσον πρὸς τὸ πλῆθος τῶν Α, Β, Γ, Δ. Ἂς ληφθῶσι καὶ ἔστωσαν οἱ Λ, Μ, Ν, Ξ.

Καὶ ἐπειδὴ οἱ Ε, Ζ εἶναι ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς αὐτούς, εἶναι πρῶτοι πρὸς ἀλλήλους (VII. 22). Καὶ ἐπειδὴ ἕκαστος τῶν Ε, Ζ πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει ὡς γινόμενον ἕκαστον τῶν Η, Κ (θεώρ. 2 πόρ.), πολλαπλασιάσας δὲ ἕκαστον τῶν Η, Κ δίδει ὡς γινόμενον ἕκαστον τῶν Λ, Ξ (θεώρ. 2 πόρ.), καὶ οἱ Η, Κ ἄρα καὶ οἱ Λ, Ξ εἶναι πρῶτοι πρὸς ἀλλήλους (VII. 27). Καὶ ἐπειδὴ οἱ Α, Β, Γ, Δ εἶναι ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς αὐτούς, εἶναι δὲ καὶ οἱ Λ, Μ Ν, Ξ ἐλάχιστοι, ἐν ᾧ εἶναι εἰς τὸν αὐτὸν λόγον πρὸς τοὺς Α, Β, Γ, Δ καὶ εἶναι ἴσον τὸ πλῆθος τῶν Α, Β, Γ, Δ πρὸς τὸ πλῆθος τῶν Λ,Μ, Ν, Ξ, ἕκαστος ἄρα τῶν Α, Β, Γ, Δ εἶναι ἴσος πρὸς ἕκαστον τῶν Λ, Μ, Ν, Ξ· ἄρα ὁ μὲν Α εἶναι ἴσος πρὸς τὸν Λ, ὁ δὲ Δ πρὸς τὸν Ξ. Καὶ εἶναι οἱ Λ, Ξ πρῶτοι πρὸς ἀλλήλους. Καὶ οἱ Α, Δ ἄρα εἶναι πρῶτοι πρὸς ἀλλήλους· ὅπερ ἔδει δεῖξαι.

4.

Λόγων δοθέντων ὁσωνδήποτε μὲ ἐλαχίστους ἀριθμοὺς νὰ εὑρεθῶσιν ἀριθμοὶ ἐλάχιστοι ὡς ἐν συνεχεῖ ἀναλογίᾳ μὲ τοὺς δοθέντας λόγους.

Ἔστωσαν οἱ δοθέντες λόγοι μὲ ἐλαχίστους ἀριθμοὺς καὶ ὁ λόγος τοῦ Α πρὸς τὸν Β καὶ ὁ τοῦ Γ πρὸς τὸν Δ καὶ ἀκόμη ὁ τοῦ Ε πρὸς τὸν Ζ· πρέπει νὰ εὑρεθῶσιν ἐλάχιστοι ἀριθμοὶ ὡς ἐν συνεχεῖ ἀναλογίᾳ εἰς λόγους, ὡς ὁ Α πρὸς τὸν Β καὶ ὡς ὁ Γ πρὸς τὸν Δ καὶ ἀκόμη ὡς ὁ Ε πρὸς τὸν Ζ.

Εἰλήφθω γὰρ ὁ ὑπὸ τῶν Β, Γ ἐλάχιστος μετρούμενος ἀριθμὸς ὁ Η.



καὶ ὁσάκις μὲν ὁ Β τὸν Η μετρεῖ, τοσαυτάκις καὶ ὁ Α τὸν Θ μετρείτω, ὁσάκις δὲ ὁ Γ τὸν Η μετρεῖ, τοσαυτάκις καὶ ὁ Δ τὸν Κ μετρείτω. ὁ δὲ Ε τὸν Κ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω πρότερον. καὶ ὁσάκις ὁ Ε τὸν Κ μετρεῖ, τοσαυτάκις καὶ ὁ Ζ τὸν Λ μετρείτω. καὶ ἐπεὶ ἰσάκις ὁ Α τὸν Θ μετρεῖ καὶ ὁ Β τὸν Η, ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Θ πρὸς τὸν Η. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Η πρὸς τὸν Κ, καὶ ἔτι ὡς ὁ Ε πρὸς τὸν Ζ, οὕτως ὁ Κ πρὸς τὸν Λ· οἱ Θ, Η, Κ, Λ, ἄρα ἑξῆς ἀνάλογόν εἰσιν ἔν τε τῷ τοῦ Α πρὸς τὸν Β καὶ ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι ἐν τῷ τοῦ Ε πρὸς τὸν Ζ λόγῳ. λέγω δή, ὅτι καὶ ἐλάχιστοι. εἰ γὰρ μή εἰσιν οἱ Θ, Η, Κ, Λ ἑξῆς ἀνάλογον ἐλάχιστοι ἔν τε τοῖς τοῦ Α πρὸς τὸν Β καὶ τοῦ Γ πρὸς τὸν Δ καὶ ἐν τῷ τοῦ Ε πρὸς τὸν Ζ λόγοις, ἔστωσαν οἱ Ν, Ξ, Μ, Ο. καὶ ἐπεί ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ν πρὸς τὸν Ξ, οἱ δὲ Α, Β ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα, τουτέστιν ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον, ὁ Β ἄρα τὸν Ξ μετρεῖ. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Γ τὸν Ξ μετρεῖ· οἱ Β, Γ ἄρα τὸν Ξ μετροῦσιν· καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν Β, Γ μετρούμενος τὸν Ξ μετρήσει. ἐλάχιστος δὲ ὑπὸ τῶν Β, Γ μετρεῖται ὁ Η· ὁ Η ἄρα τὸν Ξ μετρεῖ ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἔσονταί τινες τῶν Θ, Η, Κ, Λ ἐλάσσονες ἀριθμοὶ ἑξῆς ἔν τε τῷ τοῦ Α πρὸς τὸν Β καὶ τῷ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι τῷ τοῦ Ε πρὸς τὸν Ζ λόγῳ.

Μὴ μετρείτω δὴ ὁ Ε τὸν Κ. καὶ εἰλήφθω ὑπὸ τῶν Ε, Κ ἐλάχιστος μετρούμενος ἀριθμὸς ὁ Μ.



καὶ ὁσάκις μὲν ὁ Κ τὸν Μ μετρεῖ, τοσαυτάκις καὶ ἑκάτερος τῶν Θ, Η ἑκάτερον τῶν Ν, Ξ μετρείτω, ὁσάκις δὲ ὁ Ε τὸν Μ μετρεῖ, τοσαυτάκις καὶ ὁ Ζ τὸν Ο μετρείτω. ἐπεὶ ἰσάκις ὁ Θ τὸν Ν μετρεῖ καὶ ὁ Η τὸν Ξ, ἔστιν ἄρα ὡς ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Ν πρὸς τὸν Ξ. ὡς δὲ ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Α πρὸς τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ν πρὸς τὸν Ξ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ξ πρὸς τὸν

Διότι ἂς ληφθῇ τὸ ἐλάχιστον κοινὸν πολλαπλάσιον τῶν Β, Γ ὁ ἀριθμὸς Η (VII. 34) Γ. Καὶ ὅσας μὲν φορὰς ὁ Β μετρεῖ τὸν Η, τόσας φορὰς ἂς μετρῇ καὶ ὁ Α τὸν Θ, ὅσας δὲ φορὰς ὁ Γ μετρεῖ τὸν Η, τόσας φορὰς ἂς μετρῇ καὶ ὁ Δ τὸν Κ. Ὁ δὲ Ε ἢ μετρεῖ τὸν Κ ἢ δὲν τὸν μετρεῖ. Ἂς τὸν μετρῇ πρότερον. Καὶ ὅσας φορὰς ὁ Ε μετρεῖ τὸν Κ, τόσας φορὰς ἂς μετρῇ ὁ Ζ τὸν Λ. Καὶ ἐπειδὴ ὁ Α μετρεῖ ἰσάκις τὸν Θ καὶ ὁ Β τὸν Η, εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Θ πρὸς τὸν Η (VII. 13 καὶ VII. ὁρ. 21). Διὰ τοὺς αὐτοὺς λόγους εἶναι καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Η πρὸς τὸν Κ, καὶ ἀκόμη ὡς ὁ Ε πρὸς τὸν Ζ, οὕτως ὁ Κ πρὸς τὸν Λ· οἱ Θ, Η, Κ, Λ ἄρα εἶναι **ὡς ἐν** συνεχεῖ ἀναλογίᾳ εἰς λόγους ὡς ὁ Α πρὸς τὸν Β καὶ ὁ Γ πρὸς τὸν Δ καὶ ἀκόμη ὁ Ε πρὸς τὸν Ζ. Λέγω τώρα, ὅτι εἶναι καὶ ἐλάχιστοι. Διότι, ἐὰν οἱ Θ, Η, Κ, Λ δὲν εἶναι οἱ ἐλάχιστοι ἐκ τῶν ὡς ἐν συνεχεῖ ἀναλογίᾳ ἐχόντων τοὺς λόγους τοῦ Α πρὸς Β καὶ τοῦ Γ πρὸς Δ καὶ τοῦ Ε πρὸς Ζ, ἔστωσαν ἐλάχιστοι οἱ Ν, Ξ, Μ, Ο. Καὶ ἐπειδὴ εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ν πρὸς τὸν Ξ, οἱ δὲ Α, Β εἶναι ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς ἔχοντας τὸν αὐτὸν λόγον ἰσάκις, καὶ ὁ μεγαλύτερος τὸν μεγαλύτερον καὶ ὁ μικρότερος τὸν μικρότερον, τουτέστι καὶ ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον (VII. 20), ὁ Β ἄρα μετρεῖ τὸν Ξ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὁ Γ μετρεῖ τὸν Ξ· οἱ Β, Γ ἄρα μετροῦσι τὸν Ξ· καὶ ὁ ἐλάχιστος ἄρα ὁ μετρούμενος ὑπὸ τῶν Β, Γ θὰ μετρήσῃ τὸν Ξ (VII. 35). Ἐλάχιστος δὲ μετρούμενος ὑπὸ τῶν Β, Γ εἶναι ὁ Η· ὁ Η ἄρα μετρεῖ τὸν Ξ, ὁ μεγαλύτερος τὸν μικρότερον· ὅπερ ἀδύνατον. Δὲν θὰ ὑπάρχωσιν ἄρα ἀριθμοί τινες μικρότεροι τῶν Θ, Η, Κ, Λ εὑρισκόμενοι εἰς τὸν αὐτὸν λόγον ὡς ὁ λόγος τοῦ Α πρὸς τὸν Β καὶ τοῦ Γ πρὸς τὸν Δ καὶ ἀκόμη τοῦ Ε πρὸς τὸν Ζ.

Ἂς μὴ μετρῇ τώρα ὁ Ε τὸν Κ. Καὶ ἂς ληφθῇ ὁ ἐλάχιστος μετρούμενος ἀριθμὸς ὑπὸ τῶν Ε, Κ ὁ Μ (VII. 34). Καὶ ὅσας μὲν φορὰς ὁ Κ μετρεῖ τὸν Μ, τόσας φορὰς ἂς μετρῇ καὶ ἕκαστος τῶν Θ, Η ἕκαστον τῶν Ν, Ξ ἀντιστοίχως, ὅσας δὲ φορὰς ὁ Ε μετρεῖ τὸν Μ, τόσας φορὰς ἂς μετρῇ καὶ ὁ Ζ τὸν Ο. Ἐπειδὴ μετρεῖ ἰσάκις ὁ Θ τὸν Ν καὶ ὁ Η τὸν Ξ, εἶναι ἄρα ὡς ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Ν πρὸς τὸν Ξ (VII. 13 καὶ VII. ὁρ. 21). Ὡς δὲ ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Α πρὸς τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ν πρὸς τὸν Ξ. Διὰ τοὺς αὐτοὺς λόγους εἶναι καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ξ πρὸς τὸν Μ. Πάλιν, ἐπειδὴ ἰσάκις μετρεῖ ὁ Ε τὸν Μ καὶ ὁ Ζ τὸν Ο, εἶναι ἄρα ὡς ὁ Ε πρὸς τὸν Ζ ,οὕτως ὁ Μ πρὸς τὸν Ο (VII. 13 καὶ VII. ὁρ. 21)· οἱ Ν, Ξ, Μ, Ο ἄρα εὑρίσκονται ὡς ἐν συνεχεῖ ἀναλογίᾳ ἔχοντες τοὺς λόγους καὶ τοῦ Α πρὸς τὸν Β καὶ τοῦ Γ πρὸς τὸν Δ καὶ ἀκόμη τοῦ Ε πρὸς τὸν Ζ. Λέγω τώρα, ὅτι εἶναι καὶ ἐλάχιστοι εἰς τοὺς

Μ. πάλιν, ἐπεὶ ἰσάκις ὁ Ε τὸν Μ μετρεῖ καὶ ὁ Ζ τὸν Ο, ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Ζ, οὕτως ὁ Μ πρὸς τὸν Ο· οἱ Ν, Ξ, Μ, Ο ἄρα ἑξῆς ἀνάλογόν εἰσιν ἐν τοῖς τοῦ τε Α πρὸς τὸν Β καὶ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι τοῦ Ε πρὸς τὸν Ζ λόγοις. λέγω δή, ὅτι καὶ ἐλάχιστοι ἐν τοῖς Α Β, Γ Δ, Ε Ζ λόγοις. εἰ γὰρ μή, ἔσονταί τινες τῶν Ν, Ξ, Μ, Ο ἐλάσσονες ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐν τοῖς Α Β, Γ Δ, Ε Ζ λόγοις. ἔστωσαν οἱ Π, Ρ, Σ, Τ. καὶ ἐπεί ἐστιν ὡς ὁ Π πρὸς τὸν Ρ, οὕτως ὁ Α πρὸς τὸν Β, οἱ δὲ Α, Β ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον, ὁ Β ἄρα τὸν Ρ μετρεῖ. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Γ τὸν Ρ μετρεῖ· οἱ Β, Γ ἄρα τὸν Ρ μετροῦσιν. καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν Β, Γ μετρούμενος τὸν Ρ μετρήσει. ἐλάχιστος δὲ ὑπὸ τῶν Β, Γ μετρούμενός ἐστιν ὁ Η· ὁ Η ἄρα τὸν Ρ μετρεῖ. καί ἐστιν ὡς ὁ Η πρὸς τὸν Ρ, οὕτως ὁ Κ πρὸς τὸν Σ· καὶ ὁ Κ ἄρα τὸν Σ μετρεῖ. μετρεῖ δὲ καὶ ὁ Ε τὸν Σ· οἱ Ε, Κ ἄρα τὸν Σ μετροῦσι. καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν Ε, Κ μετρούμενος τὸν Σ μετρήσει. ἐλάχιστος δὲ ὑπὸ τῶν Ε, Κ μετρούμενός ἐστιν ὁ Μ· ὁ Μ ἄρα τὸν Σ μετρεῖ ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἔσονταί τινες τῶν Ν, Ξ, Μ, Ο ἐλάσσονες ἀριθμοὶ ἑξῆς ἀνάλογον ἔν τε τοῖς τοῦ Α πρὸς τὸν Β καὶ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι τοῦ Ε πρὸς τὸν Ζ λόγοις· οἱ Ν, Ξ, Μ, Ο ἄρα ἑξῆς ἀνάλογον ἐλάχιστοί εἰσιν ἐν τοῖς Α Β, Γ Δ, Ε Ζ λόγοις· ὅπερ ἔδει δεῖξαι.

ε'.

Οἱ ἐπίπεδοι ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχουσι τὸν συγκείμενον ἐκ των πλευρῶν.

Ἔστωσαν ἐπίπεδοι ἀριθμοὶ οἱ Α, Β, καὶ τοῦ μὲν Α πλευραὶ ἔστωσαν οἱ Γ, Δ ἀριθμοί, τοῦ δὲ Β οἱ Ε, Ζ· λέγω, ὅτι ὁ Α πρὸς τὸν Β λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.



Λόγων γὰρ δοθέντων τοῦ τε ὃν ἔχει ὁ Γ πρὸς τὸν Ε καὶ ὁ Δ πρὸς τὸν Ζ εἰλήφθωσαν ἀριθμοὶ ἑξῆς ἐλάχιστοι ἐν τοῖς Γ Ε, Δ Ζ λόγοις, οἱ Η, Θ, Κ, ὥστε εἶναι ὡς μὲν τὸν Γ πρὸς τὸν Ε, οὕτως τὸν Η πρὸς τὸν Θ, ὡς δὲ τὸν Δ πρὸς τὸν Ζ, οὕτως τὸν Θ πρὸς τὸν Κ. καὶ ὁ Δ τὸν Ε πολλαπλασιάσας τὸν Λ ποιείτω.

Καὶ ἐπεὶ ὁ Δ τὸν μὲν Γ πολλαπλασιάσας τὸν Α πεποίηκεν, τὸν δὲ Ε πολλαπλασιάσας τὸν Λ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Ε, οὕτως ὁ Α πρὸς τὸν Λ. ὡς δὲ ὁ Γ πρὸς τὸν Ε, οὕτως λόγους Α πρὸς Β, Γ πρὸς Δ, Ε πρὸς Ζ. Διότι, ἐὰν δὲν εἶναι, θὰ ὑπάρχωσιν ἀριθμοί τινες ὡς ἐν συνεχεῖ ἀναλογίᾳ μικρότεροι τῶν Ν, Ξ, Μ, Ο ἔχοντες τοὺς λόγους Α πρὸς Β, Γ πρὸς Δ, Ε πρὸς Ζ. Ἔστωσαν οἱ Π, Ρ, Σ, Τ. Καὶ ἐπειδὴ εἶναι ὡς ὁ Π πρὸς τὸν Ρ, οὕτως ὁ Α πρὸς τὸν Β, οἱ δὲ Α, Β εἶναι ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς ἔχοντας τὸν αὐτὸν λόγον ἰσάκις καὶ ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον (VII. 20), ὁ Β ἄρα μετρεῖ τὸν Ρ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὁ Γ μετρεῖ τὸν Ρ· οἱ Β, Γ ἄρα μετροῦσι τὸν Ρ. Καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν Β, Γ μετρούμενος θὰ μετρῇ τὸν Ρ (VII. 35). Ἐλάχιστος δὲ μετρούμενος ὑπὸ τῶν Β, Γ εἶναι ὁ Η· ὁ Η ἄρα μετρεῖ τὸν Ρ. Καὶ εἶναι ὡς ὁ Η πρὸς τὸν Ρ, οὕτως ὁ Κ πρὸς τὸν Σ[1]· καὶ ὁ Κ ἄρα μετρεῖ τὸν Σ (VII. ὁρ. 21). Μετρεῖ δὲ καὶ ὁ Ε τὸν Σ (VII. 20). Οἱ Ε, Κ ἄρα μετροῦσι τὸν Σ. Καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν Ε, Κ μετρούμενος θὰ μετρῇ τὸν Σ. Ἐλάχιστος δὲ μετρούμενος ὑπὸ τῶν Ε, Κ εἶναι ὁ Μ (VII. 35)· ὁ Μ ἄρα μετρεῖ τὸν Σ, ὁ μεγαλύτερος τὸν μικρότερον· ὅπερ ἀδύνατον. Δὲν θὰ ὑπάρχωσιν ἄρα ἀριθμοί τινες μικρότεροι τῶν Ν, Ξ, Μ, Ο ὡς ἐν συνεχεῖ ἀναλογίᾳ ἔχοντες τοὺς λόγους τοῦ Α πρὸς τὸν Β καὶ τοῦ Γ πρὸς τὸν Δ καὶ τοῦ Ε πρὸς τὸν Ζ· οἱ Ν, Ξ, Μ, Ο ἄρα εἶναι ἐλάχιστοι ὡς ἐν συνεχεῖ ἀναλογίᾳ ἔχοντες τοὺς λόγους τῶν Α πρὸς Β, Γ πρὸς Δ, Ε πρὸς Ζ· ὅπερ ἔδει δεῖξαι.

5.

Οἱ ἐπίπεδοι ἀριθμοὶ ἔχουσι πρὸς ἀλλήλους λόγον τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

Ἔστωσαν ἐπίπεδοι ἀριθμοὶ οἱ Α, Β καὶ τοῦ μὲν Α ἔστωσαν πλευραὶ οἱ ἀριθμοὶ Γ, Δ, τοῦ δὲ Β οἱ Ε, Ζ· λέγω, ὅτι ὁ Α πρὸς τὸν Β ἔχει λόγον τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

Διότι, δοθέντων τῶν λόγων καὶ τοῦ Γ πρὸς τὸν Ε καὶ τοῦ Δ πρὸς τὸν Ζ, ἂς ληφθῶσιν ὡς ἐν συνεχεῖ ἀναλογίᾳ ἐλάχιστοι ἀριθμοὶ ἔχοντες τοὺς λόγους τῶν Γ πρὸς Ε καὶ Δ πρὸς Ζ (θεώρ. 4) οἱ Η, Θ, Κ, ὥστε νὰ εἶναι ὡς μὲν ὁ Γ πρὸς τὸν Ε, οὕτως ὁ Η πρὸς τὸν Θ, ὡς δὲ ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Θ πρὸς τὸν Κ. Καὶ ὁ Δ πολλαπλασιάσας τὸν Ε ἂς δίδῃ τὸν Λ.

Καὶ ἐπειδὴ ὁ Δ πολλαπλασιάσας μὲν τὸν Γ ἔδωσε τὸν Α, πολλαπλασιάσας δὲ τὸν Ε ἔδωσε τὸν Λ, εἶναι ἄρα ὡς ὁ Γ πρὸς τὸν Ε, οὕτως ὁ Α πρὸς τὸν Λ (VII. 17). Ὡς δὲ ὁ Γ πρὸς τὸν Ε, οὕτως ὁ Η πρὸς τὸν Θ·

1. Διότι Η:Κ=Γ:Δ =Ρ:Σ, ἐκ τοῦ πρώτου μέρους τοῦ θεωρήματος.

ὁ Η πρὸς τὸν Θ· καὶ ὡς ἄρα ὁ Η πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Λ. πάλιν, ἐπεὶ ὁ Ε τὸν Δ πολλαπλασιάσας τὸν Λ πεποίηκεν, ἀλλὰ μὴν καὶ τὸν Ζ πολλαπλασιάσας τὸν Β πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Λ πρὸς τὸν Β. ἀλλ' ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Θ πρὸς τὸν Κ· καὶ ὡς ἄρα ὁ Θ πρὸς τὸν Κ, οὕτως ὁ Λ πρὸς τὸν Β. ἐδείχθη δὲ καὶ ὡς ὁ Η πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Λ· δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ Η πρὸς τὸν Κ, [οὕτως] ὁ Α πρὸς τὸν Β. ὁ δὲ Η πρὸς τὸν Κ λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν· καὶ ὁ Α ἄρα πρὸς τὸν Β λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν· ὅπερ ἔδει δεῖξαι.

ς'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, ὁ δὲ πρῶτος τὸν δεύτερον μὴ μετρῇ, οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Α, Β, Γ, Δ, Ε, ὁ δὲ Α τὸν Β μὴ μετρείτω· λέγω, ὅτι οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει.



Ὅτι μὲν οὖν οἱ Α, Β, Γ, Δ, Ε ἑξῆς ἀλλήλους οὐ μετροῦσιν, φανερόν· οὐδὲ γὰρ ὁ Α τὸν Β μετρεῖ. λέγω δή, ὅτι οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει. εἰ γὰρ δυνατόν, μετρείτω ὁ Α τὸν Γ. καὶ ὅσοι εἰσὶν οἱ Α, Β, Γ, τοσοῦτοι εἰλήφθωσαν ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α, Β, Γ οἱ Ζ, Η, Θ. καὶ ἐπεὶ οἱ Ζ, Η, Θ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶ τοῖς Α, Β, Γ, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν Α, Β, Γ τῷ πλήθει τῶν Ζ, Η, Θ, δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Ζ πρὸς τὸν Θ. καὶ ἐπεί ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ζ πρὸς τὸν Η, οὐ μετρεῖ δὲ ὁ Α τὸν Β, οὐ μετρεῖ ἄρα οὐδὲ ὁ Ζ τὸν Η· οὐκ ἄρα μονάς ἐστιν ὁ Ζ· ἡ γὰρ μονὰς πάντα ἀριθμὸν μετρεῖ. καί εἰσιν οἱ Ζ, Θ πρῶτοι πρὸς ἀλλήλους [οὐδὲ ὁ Ζ ἄρα τὸν Θ μετρεῖ]. καί ἐστιν ὡς ὁ Ζ πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Γ· οὐδὲ ὁ Α ἄρα τὸν Γ μετρεῖ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει· ὅπερ ἔδει δεῖξαι.

ζ'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ [ἑξῆς] ἀνάλογον, ὁ δὲ πρῶτος τὸν ἔσχατον μετρῇ, καὶ τὸν δεύτερον μετρήσει.

καὶ ὡς ἄρα ὁ Η πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Λ. Πάλιν ἐπειδὴ ὁ Ε πολλαπλασιάσας τὸν Δ ἔδωσε τὸν Λ, ἀλλ' ὅμως καὶ τὸν Ζ πολλαπλασιάσας ἔδωσε τὸν Β, εἶναι ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Λ πρὸς τὸν Β (VII. 17). 'Αλλ' ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Θ πρὸς τὸν Κ· καὶ ὡς ἄρα ὁ Θ πρὸς τὸν Κ, οὕτως ὁ Λ πρὸς τὸν Β. 'Εδείχθη δὲ καὶ ὡς ὁ Η πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Λ· δι' ἴσου ἄρα (λῆψις τῶν ἄκρων καθ' ὑπεξαίρεσιν τῶν μέσων) εἶναι ὡς ὁ Η πρὸς τὸν Κ, οὕτως ὁ Α πρὸς τὸν Β (VII. 14). 'Ο δὲ Η πρὸς τὸν Κ ἔχει λόγον τὸν συγκείμενον ἐκ τῶν πλευρῶν [δηλ. $Η : Κ = (Γ : Ε) . (Δ : Ζ)$][1]· καὶ ὁ Α ἄρα πρὸς τὸν Β ἔχει λόγον τὸν συγκείμενον ἐκ τῶν πλευρῶν· ὅπερ ἔδει δεῖξαι.

6.

'Εὰν ὑπάρχωσιν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ, ὁ δὲ πρῶτος νὰ μὴ μετρῇ τὸν δεύτερον, οὔτε ἄλλος κανεὶς θὰ μετρῇ κανένα.

"Εστωσαν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ οἱ Α, Β, Γ, Δ, Ε, ὁ δὲ Α ἂς μὴ μετρῇ τὸν Β· λέγω, ὅτι οὐδὲ ἄλλος τις θὰ μετρῇ κανένα.

"Οτι μὲν λοιπὸν οἱ Α, Β, Γ, Δ, Ε εὑρισκόμενοι ἐν συνεχεῖ ἀναλογίᾳ δὲν μετροῦσιν ἀλλήλους, εἶναι φανερόν· διότι οὔτε ὁ Α μετρεῖ τὸν Β. Λέγω τώρα, ὅτι οὔτε ἄλλος τις θὰ μετρῇ κανένα. Διότι, ἐὰν εἶναι δυνατόν, ἂς μετρῇ ὁ Α τὸν Γ. Καὶ ὅσοι εἶναι οἱ Α, Β, Γ, ἂς ληφθῶσι τόσοι ἐλάχιστοι ἀριθμοὶ ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς τοὺς Α, Β, Γ οἱ Ζ, Η, Θ (VII. 33). Καὶ ἐπειδὴ οἱ Ζ, Η, Θ εἶναι εἰς τὸν αὐτὸν λόγον πρὸς τοὺς Α, Β, Γ καὶ εἶναι ἴσον τὸ πλῆθος τῶν Α, Β, Γ πρὸς τὸ πλῆθος τῶν Ζ, Η, Θ, δι' ἴσου ἄρα θὰ εἶναι ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Ζ πρὸς τὸν Θ (VII. 14). Καὶ ἐπειδὴ εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ζ πρὸς τὸν Η, δὲν μετρεῖ δὲ ὁ Α τὸν Β, δὲν θὰ μετρῇ ἄρα οὔτε ὁ Ζ τὸν Η (VII. ὁρ. 21)· δὲν εἶναι ἄρα ὁ Ζ μονάς· διότι ἡ μονὰς μετρεῖ πάντα ἀριθμόν. Καὶ εἶναι οἱ Ζ, Θ πρῶτοι πρὸς ἀλλήλους (θεώρ. 3) (οὔτε ὁ Ζ ἄρα μετρεῖ τὸν Θ). Καὶ εἶναι ὡς ὁ Ζ πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Γ· οὔτε ὁ Α ἄρα μετρεῖ τὸν Γ (VII. ὁρ. 21). Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι οὔτε ἄλλος τις μετρεῖ τινα· ὅπερ ἔδει δεῖξαι.

7.

'Εὰν ὑπάρχωσιν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ, ὁ δὲ πρῶτος μετρῇ τὸν τελευταῖον, θὰ μετρῇ καὶ τὸν δεύτερον.

1. Διότι $Η:Κ=(Η:Θ).(Θ:Κ)$ καὶ $Η:Θ=Γ:Ε$, $Θ:Κ=Δ:Ζ$.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὁ δὲ Α τὸν Δ μετρείτω· λέγω, ὅτι καὶ ὁ Α τὸν Β μετρεῖ.



Εἰ γὰρ οὐ μετρεῖ ὁ Α τὸν Β, οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει· μετρεῖ δὲ ὁ Α τὸν Δ. μετρεῖ ἄρα καὶ ὁ Α τὸν Β· ὅπερ ἔδει δεῖξαι.

η'.

Ἐὰν δύο ἀριθμῶν μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί, ὅσοι εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς τὸν αὐτὸν λόγον ἔχοντας [αὐτοῖς] μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Δύο γὰρ ἀριθμῶν τῶν Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπτέτωσαν ἀριθμοὶ οἱ Γ, Δ, καὶ πεποιήσθω ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ε πρὸς τὸν Ζ· λέγω, ὅτι ὅσοι εἰς τοὺς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς Ε, Ζ μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.



Ὅσοι γάρ εἰσι τῷ πλήθει οἱ Α, Β, Γ, Δ, τοσοῦτοι εἰλήφθωσαν ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α, Γ, Δ, Β οἱ Η, Θ, Κ, Λ· οἱ ἄρα ἄκροι αὐτῶν οἱ Η, Λ πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἐπεὶ οἱ Α, Γ, Δ, Β τοῖς Η, Θ, Κ, Λ ἐν τῷ αὐτῷ λόγῳ εἰσίν, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν Α, Γ, Δ, Β τῷ πλήθει τῶν Η, Θ, Κ, Λ, δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Η πρὸς τὸν Λ. ὡς δὲ ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ε πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Η πρὸς τὸν Λ, οὕτως ὁ Ε πρὸς τὸν Ζ. οἱ δὲ Η, Λ πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα, τουτέστιν ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον. ἰσάκις ἄρα ὁ Η τὸν Ε μετρεῖ καὶ ὁ Λ τὸν Ζ. ὁσάκις δὴ ὁ Η τὸν Ε μετρεῖ, τοσαυτάκις καὶ ἑκάτερος τῶν Θ, Κ ἑκάτερον τῶν Μ, Ν μετρείτω· οἱ Η, Θ, Κ, Λ ἄρα τοὺς Ε, Μ, Ν, Ζ ἰσάκις μετροῦσιν. οἱ Η, Θ, Κ, Λ ἄρα τοῖς Ε, Μ, Ν, Ζ ἐν τῷ αὐτῷ λόγῳ εἰσίν. ἀλλὰ οἱ Η, Θ, Κ, Λ τοῖς Α, Γ, Δ, Β ἐν τῷ αὐτῷ λόγῳ εἰσίν· καὶ οἱ Α, Γ, Δ, Β ἄρα τοῖς Ε, Μ, Ν, Ζ ἐν τῷ αὐτῷ λόγῳ εἰσίν. οἱ δὲ Α, Γ, Δ, Β ἑξῆς ἀνάλογόν εἰσιν· καὶ οἱ Ε, Μ, Ν, Ζ ἄρα ἑξῆς ἀνάλογόν εἰσιν. ὅσοι ἄρα εἰς τοὺς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς Ε, Ζ μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί· ὅπερ ἔδει δεῖξαι.

Ἔστωσαν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ οἱ Α, Β, Γ, Δ, ὁ δὲ Α ἂς μετρῇ τὸν Δ· λέγω, ὅτι ὁ Α μετρεῖ καὶ τὸν Β.

Διότι ἐὰν ὁ Α δὲν μετρῇ τὸν Β, οὔτε ἄλλος κανεὶς θὰ μετρῇ κανένα (θεώρ. 6)· μετρεῖ δὲ ὁ Α τὸν Δ. Μετρεῖ ἄρα καὶ ὁ Α τὸν Β· ὅπερ ἔδει δεῖξαι.

8.

Ἐὰν μεταξὺ δύο ἀριθμῶν παρεμβληθῶσιν ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ, ὅσοι ἀριθμοὶ θὰ παρεμβληθῶσι μεταξὺ αὐτῶν ἐν συνεχεῖ ἀναλογίᾳ, τόσοι θὰ παρεμβληθῶσι ἐν συνεχεῖ ἀναλογίᾳ καὶ μεταξὺ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς αὐτούς.

Διότι ἂς παρεμβληθῶσι μεταξὺ δύο ἀριθμῶν τῶν Α, Β ἐν συνεχεῖ ἀναλογίᾳ οἱ ἀριθμοὶ Γ, Δ (δηλ. νὰ γίνῃ ἡ γεωμ. πρόοδος Α, Γ, Δ, Β) καὶ ἂς γίνῃ ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ε πρὸς τὸν Ζ· λέγω, ὅτι ὅσοι ἀριθμοὶ παρεμβάλλονται ἐν συνεχεῖ ἀναλογίᾳ μεταξὺ τῶν Α, Β, τόσοι θὰ παρεμβληθῶσι καὶ μεταξὺ τῶν Ε, Ζ ἐν συνεχεῖ ἀναλογίᾳ.

Διότι ὅσοι εἶναι κατὰ τὸ πλῆθος οἱ Α, Β, Γ, Δ, ἂς ληφθῶσι τόσοι ἐλάχιστοι ἀριθμοὶ ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς τοὺς Α, Γ, Δ, Β οἱ Η, Θ, Κ, Λ (VII. 33)· οἱ ἄκροι ἄρα ἐκ τούτων οἱ Η, Λ εἶναι πρῶτοι πρὸς ἀλλήλους (θεώρ. 3). Καὶ ἐπειδὴ οἱ Α, Γ, Δ, Β ἔχουσι τὸν αὐτὸν λόγον πρὸς τοὺς Η, Θ, Κ, Λ, δι' ἴσου ἄρα εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Η πρὸς τὸν Λ (VII. 14). Ὡς δὲ ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ε πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Η πρὸς τὸν Λ, οὕτως ὁ Ε πρὸς τὸν Ζ. Οἱ δὲ Η, Λ εἶναι πρῶτοι, οἱ δὲ πρῶτοι εἶναι καὶ ἐλάχιστοι (VII. 21), οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς ἔχοντας τὸν αὐτὸν λόγον ἰσάκις καὶ ὁ μεγαλύτερος τὸν μεγαλύτερον καὶ ὁ μικρότερος τὸν μικρότερον (VII. 20), τουτέστι καὶ ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον. Ἰσάκις ἄρα ὁ Η μετρεῖ τὸν Ε καὶ ὁ Λ τὸν Ζ. Ὅσας λοιπὸν φορὰς ὁ Η μετρεῖ τὸν Ε, τόσας φορὰς καὶ ἕκαστος τῶν Θ, Κ ἂς μετρῇ ἕκαστον τῶν Μ, Ν ἀντιστοίχως (δηλ. ὁ Θ τὸν Μ καὶ ὁ Κ τὸν Ν)· οἱ Η, Θ, Κ, Λ ἄρα μετροῦσιν ἰσάκις τοὺς Ε, Μ, Ν, Ζ. Οἱ Η, Θ, Κ, Λ ἄρα ἔχουσι τὸν αὐτὸν λόγον πρὸς τοὺς Ε, Μ, Ν, Ζ (VII. ὁρ. 21). Ἀλλὰ οἱ Η, Θ, Κ, Λ ἔχουσι τὸν αὐτὸν λόγον πρὸς τοὺς Α, Γ, Δ, Β· καὶ οἱ Α, Γ, Δ, Β ἄρα ἔχουσι τὸν αὐτὸν λόγον πρὸς τοὺς Ε, Μ, Ν, Ζ· οἱ δὲ Α, Γ, Δ, Β εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ· καὶ οἱ Ε, Μ, Ν, Ζ ἄρα εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ. Ὅσοι ἄρα ἀριθμοὶ παρενεβλήθησαν μεταξὺ τῶν Α, Β ἐν συνεχεῖ ἀναλογίᾳ, τόσοι ἀριθμοὶ παρενεβλήθησαν μεταξὺ τῶν Ε, Ζ ἐν συνεχεῖ ἀναλογίᾳ· ὅπερ ἔδει δεῖξαι.

θ'.

Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, καὶ εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί, ὅσοι εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι καὶ ἑκατέρου αὐτῶν καὶ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Ἔστωσαν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους οἱ Α, Β, καὶ εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπτέτωσαν οἱ Γ, Δ, καὶ ἐκκείσθω ἡ Ε



μονάς· λέγω, ὅτι ὅσοι εἰς τοὺς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ ἑκατέρου τῶν Α, Β καὶ τῆς μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Εἰλήφθωσαν γὰρ δύο μὲν ἀριθμοὶ ἐλάχιστοι ἐν τῷ τῶν Α, Γ, Δ, Β λόγῳ ὄντες οἱ Ζ, Η, τρεῖς δὲ οἱ Θ, Κ, Λ, καὶ ἀεὶ ἑξῆς ἑνὶ πλείους, ἕως ἂν ἴσον γένηται τὸ πλῆθος αὐτῶν τῷ πλήθει τῶν Α, Γ, Δ, Β. εἰλήφθωσαν, καὶ ἔστωσαν οἱ Μ, Ν, Ξ, Ο. φανερὸν δή, ὅτι ὁ μὲν Ζ ἑαυτὸν πολλαπλασιάσας τὸν Θ πεποίηκεν, τὸν δὲ Θ πολλαπλασιάσας τὸν Μ πεποίηκεν, καὶ ὁ Η ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Λ πεποίηκεν, τὸν δὲ Λ πολλαπλασιάσας τὸν Ο πεποίηκεν. καὶ ἐπεὶ οἱ Μ, Ν, Ξ, Ο ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Ζ, Η, εἰσὶ δὲ καὶ οἱ Α, Γ, Δ, Β ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Ζ, Η, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν Μ, Ν, Ξ, Ο τῷ πλήθει τῶν Α, Γ, Δ, Β, ἕκαστος ἄρα τῶν Μ, Ν, Ξ, Ο ἑκάστῳ τῶν Α, Γ, Δ, Β ἴσος ἐστίν· ἴσος ἄρα ἐστὶν ὁ μὲν Μ τῷ Α, ὁ δὲ Ο τῷ Β. καὶ ἐπεὶ ὁ Ζ ἑαυτὸν πολλαπλασιάσας τὸν Θ πεποίηκεν, ὁ Ζ ἄρα τὸν Θ μετρεῖ κατὰ τὰς ἐν τῷ Ζ μονάδας. μετρεῖ δὲ καὶ ἡ Ε μονὰς τὸν Ζ κατὰς τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ε μονὰς τὸν Ζ ἀριθμὸν μετρεῖ καὶ ὁ Ζ τὸν Θ. ἔστιν ἄρα ὡς ἡ Ε μονὰς πρὸς τὸν Ζ ἀριθμόν, οὕτως ὁ Ζ πρὸς τὸν Θ. πάλιν, ἐπεὶ ὁ Ζ τὸν Θ πολλαπλασιάσας τὸν Μ πεποίηκεν, ὁ Θ ἄρα τὸν Μ μετρεῖ κατὰ τὰς ἐν τῷ Ζ μονάδας. μετρεῖ δὲ καὶ ἡ Ε μονὰς τὸν Ζ ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ε μονὰς τὸν Ζ ἀριθμὸν μετρεῖ καὶ ὁ Θ τὸν Μ. ἔστιν ἄρα ὡς ἡ Ε μονὰς πρὸς τὸν Ζ ἀριθμόν, οὕτως ὁ Θ πρὸς τὸν Μ. ἐδείχθη δὲ καὶ ὡς ἡ Ε μονὰς πρὸς τὸν Ζ ἀριθμόν, οὕτως ὁ Ζ πρὸς τὸν Θ· καὶ ὡς ἄρα ἡ Ε μονὰς πρὸς τὸν Ζ ἀριθμόν, οὕτως ὁ Ζ πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Μ. ἴσος δὲ ὁ Μ τῷ Α· ἔστιν ἄρα ὡς ἡ Ε μονὰς πρὸς τὸν Ζ ἀριθμόν, οὕτως ὁ Ζ πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Α. διὰ τὰ αὐτὰ δὴ καὶ

9.

Ἐὰν ὑπάρχωσι δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους καὶ μεταξὺ αὐτῶν παρεμβληθῶσιν ἐν συνεχεῖ ἀναλογίᾳ ἀριθμοί, ὅσοι ἀριθμοὶ θὰ παρεμβληθῶσι μεταξὺ αὐτῶν ἐν συνεχεῖ ἀναλογίᾳ, τόσοι θὰ παρεμβληθῶσι καὶ μεταξὺ ἑκάστου ἐξ αὐτῶν καὶ τῆς μονάδος ἐν συνεχεῖ ἀναλογίᾳ.

Ἔστωσαν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους οἱ Α, Β καὶ ἂς παρεμβληθῶσι μεταξὺ αὐτῶν ἐν συνεχεῖ ἀναλογίᾳ οἱ Γ, Δ καὶ ἂς ληφθῇ ἡ μονὰς Ε· λέγω, ὅτι ὅσοι ἀριθμοὶ (γεωμ. μέσα) παρεμβάλλονται μεταξὺ τῶν Α, Β ἐν συνεχεῖ ἀναλογίᾳ, τόσοι θὰ παρεμβληθῶσι καὶ μεταξὺ ἑκάστου τῶν Α, Β καὶ τῆς μονάδος ἐν συνεχεῖ ἀναλογίᾳ.

Διότι ἂς ληφθῶσι δύο μὲν ἀριθμοὶ ἐλάχιστοι ἔχοντες τὸν λόγον τῶν Α, Γ, Δ, Β οἱ Ζ, Η, τρεῖς δὲ οἱ Θ, Κ, Λ καὶ πάντοτε εἷς περισσότερον, μέχρις ὅτου τὸ πλῆθος αὐτῶν γίνῃ ἴσον πρὸς τὸ πλῆθος τῶν Α, Γ, Δ, Β (θεώρ. 2). Ἂς ληφθῶσι καὶ ἔστωσαν οἱ Μ, Ν, Ξ, Ο. Εἶναι φανερόν, ὅτι ὁ μὲν Ζ πολλαπλασιάσας ἑαυτὸν δίδει τὸν Θ, τὸν δὲ Θ πολλαπλασιάσας δίδει τὸν Μ, καὶ ὁ Η πολλαπλασιάσας μὲν ἑαυτὸν δίδει τὸν Λ, τὸν δὲ Λ πολλαπλασιάσας δίδει τὸν Ο (θεώρ. 2, πόρ.). Καὶ ἐπειδὴ οἱ Μ, Ν, Ξ, Ο εἶναι ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς τοὺς Ζ, Η, εἶναι δὲ καὶ οἱ Α, Γ, Δ, Β ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς τοὺς Ζ, Η (θεώρ. 3) καὶ τὸ πλῆθος τῶν Μ, Ν, Ξ, Ο εἶναι ἴσον πρὸς τὸ πλῆθος τῶν Α, Γ, Δ, Β, ἕκαστος ἄρα τῶν Μ, Ν, Ξ, Ο εἶναι ἴσος πρὸς ἕκαστον τῶν Α, Γ, Δ, Β· ἴσος ἄρα εἶναι ὁ μὲν Μ πρὸς τὸν Α, ὁ δὲ Ο πρὸς τὸν Β. Καὶ ἐπειδὴ ὁ Ζ πολλαπλασιάσας ἑαυτὸν δίδει τὸν Θ, ὁ Ζ ἄρα μετρεῖ τὸν Θ κατὰ τὰς εἰς τὸν Ζ μονάδας (VII. ὁρ. 16). Μετρεῖ δὲ καὶ ἡ μονὰς Ε τὸν Ζ κατὰ τὰς εἰς αὐτὸν μονάδας· ἰσάκις ἄρα ἡ μονὰς Ε μετρεῖ τὸν ἀριθμὸν Ζ καὶ ὁ Ζ τὸν Θ. Εἶναι ἄρα ὡς ἡ μονὰς Ε πρὸς τὸν ἀριθμὸν Ζ, οὕτως ὁ Ζ πρὸς τὸν Θ (VII. ὁρ. 21). Πάλιν ἐπειδὴ ὁ Ζ πολλαπλασιάσας τὸν Θ δίδει τὸν Μ, ὁ Θ ἄρα μετρεῖ τὸν Μ κατὰ τὰς εἰς τὸν Ζ μονάδας (VII. ὁρ. 16). Μετρεῖ δὲ καὶ ἡ μονὰς Ε τὸν ἀριθμὸν Ζ κατὰ τὰς εἰς αὐτὸν μονάδας· ἰσάκις ἄρα ἡ μονὰς Ε μετρεῖ τὸν ἀριθμὸν Ζ καὶ ὁ Θ τὸν Μ. Εἶναι ἄρα ὡς ἡ μονὰς Ε πρὸς τὸν ἀριθμὸν Ζ, οὕτως ὁ Θ πρὸς τὸν Μ (VII. ὁρ. 21). Ἐδείχθη δέ, ὅτι εἶναι καὶ ὡς ἡ μονὰς Ε πρὸς τὸν ἀριθμὸν Ζ, οὕτως ὁ Ζ πρὸς τὸν Θ· καὶ ὡς ἄρα εἶναι ἡ μονὰς Ε πρὸς τὸν ἀριθμὸν Ζ, οὕτως ὁ Ζ πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Μ. Εἶναι δὲ ἴσος ὁ Μ πρὸς τὸν Α· εἶναι ἄρα ὡς ἡ μονὰς Ε πρὸς τὸν ἀριθμὸν Ζ, οὕτως ὁ Ζ πρὸς τὸν Θ καὶ ὁ *ὡς ἡ Ε μονὰς πρὸς τὸν Η ἀριθμόν, οὕτως ὁ Η πρὸς τὸν Λ καὶ ὁ Λ πρὸς τὸν Β. ὅσοι ἄρα εἰς τοὺς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ ἑκατέρου τῶν Α, Β καὶ μονάδος τῆς Ε μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί· ὅπερ ἔδει δεῖξαι.*

ι'.

Ἐὰν δύο ἀριθμῶν ἑκατέρου καὶ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί, ὅσοι ἑκατέρου αὐτῶν καὶ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Δύο γὰρ ἀριθμῶν τῶν Α, Β καὶ μονάδος τῆς Γ μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπτέτωσαν ἀριθμοὶ οἵ τε Δ, Ε καὶ οἱ Ζ, Η· λέγω, ὅτι ὅσοι ἑκατέρου τῶν Α, Β καὶ μονάδος τῆς Γ μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.



Ὁ Δ γὰρ τὸν Ζ πολλαπλασιάσας τὸν Θ ποιείτω, ἑκάτερος δὲ τῶν Δ, Ζ τὸν Θ πολλαπλασιάσας ἑκάτερον τῶν Κ, Λ ποιείτω.

Καὶ ἐπεί ἐστιν ὡς ἡ Γ μονὰς πρὸς τὸν Δ ἀριθμόν, οὕτως ὁ Δ πρὸς τὸν Ε, ἰσάκις ἄρα ἡ Γ μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ Δ τὸν Ε. ἡ δὲ Γ μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· καὶ ὁ Δ ἄρα ἀριθμὸς τὸν Ε μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὁ Δ ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πεποίηκεν. πάλιν, ἐπεί ἐστιν ὡς ἡ Γ [μονὰς] πρὸς τὸν Δ ἀριθμόν, οὕτως ὁ Ε πρὸς τὸν Α, ἰσάκις ἄρα ἡ Γ μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ Ε τὸν Α. ἡ δὲ Γ μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· καὶ ὁ Ε ἄρα τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὁ Δ ἄρα τὸν Ε πολλαπλασιάσας τὸν Α πεποίηκεν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ μὲν Ζ ἑαυτὸν πολλαπλασιάσας τὸν Η πεποίηκεν, τὸν δὲ Η πολλαπλασιάσας τὸν Β πεποίηκεν. καὶ ἐπεὶ ὁ Δ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε πεποίηκεν, τὸν δὲ Ζ πολλαπλασιάσας τὸν Θ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Ε πρὸς τὸν Θ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Θ πρὸς τὸν Η. καὶ ὡς ἄρα ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Θ πρὸς τὸν Η. πάλιν, ἐπεὶ ὁ Δ ἑκάτερον τῶν Ε, Θ πολλαπλασιάσας ἑκάτερον τῶν Α, Κ πεποίηκεν, ἔστιν ἄρα ὡς Ε πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Κ. ἀλλ' ὡς ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Δ πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Δ

Θ πρὸς τὸν Α. Διὰ τοὺς αὐτοὺς λόγους εἶναι καὶ ὡς ἡ μονὰς Ε πρὸς τὸν ἀριθμὸν Η, οὕτως ὁ Η πρὸς τὸν Λ καὶ ὁ Λ πρὸς τὸν Β. Ὅσοι ἄρα ἀριθμοὶ παρενεβλήθησαν μεταξὺ τῶν Α, Β ἐν συνεχεῖ ἀναλογίᾳ, τόσοι ἀριθμοὶ παρενεβλήθησαν καὶ μεταξὺ ἑκατέρου τῶν Α, Β καὶ τῆς μονάδος ἐν συνεχεῖ ἀναλογίᾳ· ὅπερ ἔδει δεῖξαι.

10.

Ἐὰν μεταξὺ ἑκάστου δύο ἀριθμῶν καὶ τῆς μονάδος παρεμβληθῶσιν ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ, ὅσοι ἀριθμοὶ θὰ παρεμβληθῶσι μεταξὺ ἑκάστου αὐτῶν καὶ τῆς μονάδος ἐν συνεχεῖ ἀναλογίᾳ, τόσοι θὰ παρεμβληθῶσι μεταξὺ τῶν (δύο) ἀριθμῶν ἐν συνεχεῖ ἀναλογίᾳ.

Διότι ἂς παρεμβληθῶσι μεταξὺ (ἑκάστου) τῶν ἀριθμῶν Α, Β καὶ τῆς μονάδος Γ ἐν συνεχεῖ ἀναλογίᾳ καὶ οἱ ἀριθμοὶ Δ, Ε καὶ οἱ Ζ, Η· λέγω, ὅτι ὅσοι ἀριθμοὶ θὰ παρεμβληθῶσιν ἐν συνεχεῖ ἀναλογίᾳ μεταξὺ ἑκάστου τῶν Α, Β καὶ τῆς μονάδος, τόσοι θὰ παρεμβληθῶσιν ἐν συνεχεῖ ἀναλογίᾳ καὶ μεταξὺ τῶν Α, Β.

Διότι ὁ Δ πολλαπλασιάσας τὸν Ζ ἂς δίδῃ τὸν Θ, ἕκαστος δὲ τῶν Δ, Ζ πολλαπλασιάσας τὸν Θ ἂς δίδῃ ἕκαστον τῶν Κ, Λ.

Καὶ ἐπειδὴ εἶναι ὡς ἡ μονὰς Γ πρὸς τὸν ἀριθμὸν Δ, οὕτως ὁ Δ πρὸς τὸν Ε, ἰσάκις ἄρα ἡ μονὰς Γ μετρεῖ τὸν ἀριθμὸν Δ καὶ ὁ Δ τὸν Ε (VII. ὁρ. 21). Ἡ δὲ μονὰς Γ μετρεῖ τὸν ἀριθμὸν Δ κατὰ τὰς εἰς τὸν Δ μονάδας· καὶ ὁ ἀριθμὸς ἄρα Δ μετρεῖ τὸν Ε κατὰ τὰς εἰς τὸν Δ μονάδας· ὁ Δ ἄρα πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει τὸν Ε. Πάλιν ἐπειδὴ εἶναι ὡς ἡ μονὰς Γ πρὸς τὸν ἀριθμὸν Δ, οὕτως ὁ Ε πρὸς τὸν Α, ἰσάκις ἄρα ἡ μονὰς Γ μετρεῖ τὸν ἀριθμὸν Δ καὶ ὁ Ε τὸν Α. Ἡ δὲ μονὰς Γ μετρεῖ τὸν ἀριθμὸν Δ κατὰ τὰς εἰς τὸν Δ μονάδας· καὶ ὁ Ε ἄρα μετρεῖ τὸν Α κατὰ τὰς εἰς τὸν Δ μονάδας· ὁ Δ ἄρα πολλαπλασιάσας τὸν Ε δίδει τὸν Α. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὁ μὲν Ζ πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει τὸν Η, τὸν δὲ Η πολλαπλασιάσας δίδει τὸν Β. Καὶ ἐπειδὴ ὁ Δ πολλαπλασιάσας μὲν τὸν ἑαυτόν του δίδει τὸν Ε, τὸν δὲ Ζ πολλαπλασιάσας δίδει τὸν Θ (VII. 17), εἶναι ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Ε πρὸς τὸν Θ. Διὰ τοὺς αὐτοὺς λόγους εἶναι καὶ ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Θ πρὸς τὸν Η (VII. 18). Καὶ ὡς ἄρα ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Θ πρὸς τὸν Η. Πάλιν ἐπειδὴ ὁ Δ πολλαπλασιάσας ἕκαστον τῶν Ε, Θ δίδει ἕκαστον τῶν Α, Κ, εἶναι ἄρα ὡς ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Κ (VII. 17). Ἀλλ' ὡς ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Δ πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Α πρὸς

πρὸς τὸν Ζ, οὕτως ὁ Α πρὸς τὸν Κ. πάλιν, ἐπεὶ ἑκάτερος τῶν Δ, Ζ τὸν Θ πολλαπλασιάσας ἑκάτερον τῶν Κ, Λ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Κ πρὸς τὸν Λ. ἀλλ' ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Α πρὸς τὸν Κ· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Κ, οὕτως ὁ Κ πρὸς τὸν Λ. ἔτι ἐπεὶ ὁ Ζ ἑκάτερον τῶν Θ, Η πολλαπλασιάσας ἑκάτερον τῶν Λ, Β πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Λ πρὸς τὸν Β. ὡς δὲ ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Δ πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Λ πρὸς τὸν Β. ἐδείχθη δὲ καὶ ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὅ τε Α πρὸς τὸν Κ καὶ ὁ Κ πρὸς τὸν Λ· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Κ, οὕτως ὁ Κ πρὸς τὸν Λ καὶ ὁ Λ πρὸς τὸν Β. οἱ Α, Κ, Λ, Β ἄρα κατὰ τὸ συνεχὲς ἑξῆς εἰσιν ἀνάλογον. ὅσοι ἄρα ἑκατέρου τῶν Α, Β καὶ τῆς Γ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἐμπεσοῦνται· ὅπερ ἔδει δεῖξαι.

ια΄.

Δύο τετραγώνων ἀριθμῶν εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός, καὶ ὁ τετράγωνος πρὸς τὸν τετράγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ πλευρὰ πρὸς τὴν πλευράν.

Ἔστωσαν τετράγωνοι ἀριθμοὶ οἱ Α, Β, καὶ τοῦ μὲν Α πλευρὰ ἔστω ὁ Γ, τοῦ δὲ Β ὁ Δ· λέγω, ὅτι τῶν Α, Β εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός, καὶ ὁ Α πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἤπερ ὁ Γ πρὸς τὸν Δ.



Ὁ Γ γὰρ τὸν Δ πολλαπλασιάσας τὸν Ε ποιείτω. καὶ ἐπεὶ τετράγωνός ἐστιν ὁ Α, πλευρὰ δὲ αὐτοῦ ἐστιν ὁ Γ, ὁ Γ ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν Α πεποίηκε· διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκεν. ἐπεὶ οὖν ὁ Γ ἑκάτερον τῶν Γ, Δ πολλαπλασιάσας ἑκάτερον τῶν Α, Ε πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Ε. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ε πρὸς τὸν Β. καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Ε πρὸς τὸν Β. τῶν Α, Β ἄρα εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός.

Λέγω δή, ὅτι καὶ ὁ Α πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἤπερ ὁ Γ πρὸς τὸν Δ. ἐπεὶ γὰρ τρεῖς ἀριθμοὶ ἀνάλογόν εἰσιν οἱ Α, Ε, Β, ὁ Α ἄρα πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἤπερ ὁ Α πρὸς τὸν Ε. ὡς δὲ ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Γ πρὸς τὸν Δ. ὁ Α ἄρα πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἤπερ ἡ Γ πλευρὰ πρὸς τὴν Δ· ὅπερ ἔδει δεῖξαι.

τὸν Κ. Πάλιν ἐπειδὴ ἕκαστος τῶν Δ, Ζ πολλαπλασιάσας τὸν Θ δίδει ἕκαστον τῶν Κ, Λ, εἶναι ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Κ πρὸς τὸν Λ (VII. 18). 'Αλλ' ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Α πρὸς τὸν Κ· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Κ, οὕτως ὁ Κ πρὸς τὸν Λ. 'Ακόμη ἐπειδὴ ὁ Ζ πολλαπλασιάσας ἕκαστον τῶν Θ, Η δίδει ἕκαστον τῶν Λ, Β, εἶναι ἄρα ὡς ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Λ πρὸς τὸν Β (VII. 17). 'Ως δὲ ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Δ πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Λ πρὸς τὸν Β. 'Εδείχθη δὲ καὶ ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως καὶ ὁ Α πρὸς τὸν Κ καὶ ὁ Κ πρὸς τὸν Λ· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Κ, οὕτως ὁ Κ πρὸς τὸν Λ καὶ ὁ Λ πρὸς τὸν Β. Οἱ Α, Κ, Λ, Β ἄρα εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ. "Οσοι ἄρα ἀριθμοὶ παρεμβάλλονται μεταξὺ ἑκάστου τῶν Α, Β καὶ τῆς μονάδος ἐν συνεχεῖ ἀναλογίᾳ, τόσοι θὰ παρεμβληθῶσι καὶ μεταξὺ τῶν Α, Β ἐν συνεχεῖ ἀναλογίᾳ· ὅπερ ἔδει δεῖξαι.

11.

Δύο τετραγώνων ἀριθμῶν ὑπάρχει εἷς μέσος ἀνάλογος ἀριθμός, καὶ ὁ τετράγωνος πρὸς τὸν τετράγωνον ἔχει λόγον τὸν λόγον τῆς πλευρᾶς πρὸς τὴν πλευρὰν εἰς τὸ τετράγωνον.

"Εστωσαν τετράγωνοι ἀριθμοὶ οἱ Α, Β καὶ τοῦ μὲν Α πλευρὰ ἔστω ὁ ἀριθμὸς Γ, τοῦ δὲ Β ὁ Δ· λέγω, ὅτι τῶν Α, Β ὑπάρχει εἷς ἀριθμὸς μέσος ἀνάλογος καὶ ὁ Α πρὸς τὸν Β ἔχει λόγον τὸν λόγον Γ πρὸς Δ εἰς τὸ τετράγωνον.

Διότι ὁ Γ πολλαπλασιάσας τὸν Δ ἂς δίδῃ τὸν Ε. Καὶ ἐπειδὴ ὁ Α εἶναι τετράγωνος, πλευρὰ δὲ αὐτοῦ εἶναι ὁ Γ, ὁ Γ ἄρα πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει τὸν Α. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὁ Δ πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει τὸν Β. 'Επειδὴ λοιπὸν ὁ Γ πολλαπλασιάσας ἕκαστον τῶν Γ, Δ δίδει ἕκαστον τῶν Α, Ε, εἶναι ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Ε (VII. 17). Διὰ τοὺς αὐτοὺς λόγους εἶναι καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ε πρὸς τὸν Β. Καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Ε πρὸς τὸν Β. Τῶν Α, Β ἄρα ὑπάρχει εἷς μέσος ἀνάλογος ἀριθμός.

Λέγω τώρα, ὅτι καὶ ὁ Α πρὸς τὸν Β ἔχει λόγον τὸν λόγον τοῦ Γ πρὸς τὸν Δ εἰς τὸ τετράγωνον. Διότι, ἐπειδὴ ὑπάρχουσι τρεῖς ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ οἱ Α, Ε, Β, ὁ Α ἄρα πρὸς τὸν Β ἔχει λόγον ὃν λόγον ἔχει τὸ τετράγωνον, τοῦ Α πρὸς τὸν Ε (V. ὁρ. 9). 'Ως δὲ ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Γ πρὸς τὸν Δ. 'Ο Α ἄρα πρὸς τὸν Β ἔχει λόγον, ὃν ἔχει τὸ τετράγωνον, τῆς πλευρᾶς Γ πρὸς τὴν Δ· ὅπερ ἔδει δεῖξαι.

ιβ΄.

Δύο κύβων ἀριθμῶν δύο μέσοι ἀνάλογόν εἰσιν ἀριθμοί, καὶ ὁ κύβος πρὸς τὸν κύβον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ πλευρὰ πρὸς τὴν πλευράν.

Ἔστωσαν κύβοι ἀριθμοὶ οἱ Α, Β καὶ τοῦ μὲν Α πλευρὰ ἔστω ὁ Γ, τοῦ δὲ Β ὁ Δ· λέγω, ὅτι τῶν Α, Β δύο μέσοι ἀνάλογόν εἰσιν ἀριθμοί, καὶ ὁ Α πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἤπερ ὁ Γ πρὸς τὸν Δ.



Ὁ γὰρ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε ποιείτω, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ζ ποιείτω, ὁ δὲ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Η ποιείτω, ἑκάτερος δὲ τῶν Γ, Δ τὸν Ζ πολλαπλασιάσας ἑκάτερον τῶν Θ, Κ ποιείτω.

Καὶ ἐπεὶ κύβος ἐστὶν ὁ Α, πλευρὰ δὲ αὐτοῦ ὁ Γ, καὶ ὁ Γ ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πεποίηκεν, ὁ Γ ἄρα ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε πεποίηκεν, τὸν δὲ Ε πολλαπλασιάσας τὸν Α πεποίηκεν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Δ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Η πεποίηκεν, τὸν δὲ Η πολλαπλασιάσας τὸν Β πεποίηκεν. καὶ ἐπεὶ ὁ Γ ἑκάτερον τῶν Γ, Δ πολλαπλασιάσας ἑκάτερον τῶν Ε, Ζ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ε πρὸς τὸν Ζ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ζ πρὸς τὸν Η. πάλιν, ἐπεὶ ὁ Γ ἑκάτερον τῶν Ε, Ζ πολλαπλασιάσας ἑκάτερον τῶν Α, Θ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Ζ, οὕτως, ὁ Α πρὸς τὸν Θ. ὡς δὲ ὁ Ε πρὸς τὸν Ζ, οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Θ. πάλιν, ἐπεὶ ἑκάτερος τῶν Γ, Δ τὸν Ζ πολλαπλασιάσας ἑκάτερον τῶν Θ, Κ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Θ πρὸς τὸν Κ. πάλιν, ἐπεὶ ὁ Δ ἑκάτερον τῶν Ζ, Η πολλαπλασιάσας ἑκάτερον τῶν Κ, Β πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Ζ πρὸς τὸν Η, οὕτως ὁ Κ πρὸς τὸν Β. ὡς δὲ ὁ Ζ πρὸς τὸν Η, οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ, οὕτως ὅ τε Α πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Κ καὶ ὁ Κ πρὸς τὸν Β. τῶν Α, Β ἄρα δύο μέσοι ἀνάλογόν εἰσιν οἱ Θ, Κ.

Λέγω δή, ὅτι καὶ ὁ Α πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἤπερ ὁ Γ πρὸς τὸν Δ. ἐπεὶ γὰρ τέσσαρες ἀριθμοὶ ἀνάλογόν εἰσιν οἱ Α, Θ, Κ, Β, ὁ Α ἄρα πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἤπερ ὁ Α πρὸς τὸν Θ. ὡς δὲ ὁ Α πρὸς τὸν Θ, οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὁ Α [ἄρα] πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἤπερ ὁ Γ πρὸς τὸν Δ· ὅπερ ἔδει δεῖξαι.

12.

Δύο κύβων ἀριθμῶν ὑπάρχουσι δύο μέσοι ἀνάλογοι καὶ ὁ κύβος πρὸς τὸν κύβον ἔχει λόγον τῆς πλευρᾶς πρὸς τὴν πλευρὰν εἰς τὸν κύβον.

Ἔστωσαν κύβοι ἀριθμοὶ οἱ Α, Β καὶ τοῦ μὲν Α ἔστω πλευρὰ ὁ ἀριθμὸς Γ, τοῦ δὲ Β ὁ Δ· λέγω, ὅτι τῶν Α, Β ὑπάρχουσι δύο μέσοι ἀνάλογοι ἀριθμοὶ καὶ ὁ Α ἔχει λόγον πρὸς τὸν Β τὸν λόγον, τὸν ὁποῖον ἔχει ὁ Γ πρὸς τὸν Δ, εἰς τὸν κύβον.

Διότι ὁ Γ πολλαπλασιάσας μὲν τὸν ἑαυτόν του ἂς δίδῃ τὸν Ε, πολλαπλασιάσας δὲ τὸν Δ ἂς δίδῃ τὸν Ζ, ὁ δὲ Δ πολλαπλασιάσας τὸν ἑαυτόν του ἂς δίδῃ τὸν Η, ἕκαστος δὲ τῶν Γ, Δ πολλαπλασιάσας τὸν Ζ ἂς δίδῃ ἀντιστοίχως ἕκαστον τῶν Θ, Κ.

Καὶ ἐπειδὴ ὁ Α εἶναι κύβος, πλευρὰ δὲ αὐτοῦ ὁ Γ καὶ ὁ Γ πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει τὸν Ε, ὁ Γ ἄρα τὸν ἑαυτόν του μὲν πολλαπλασιάσας δίδει τὸν Ε, τὸν δὲ Ε πολλαπλασιάσας δίδει τὸν Α. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὁ Δ τὸν ἑαυτόν του μὲν πολλαπλασιάσας δίδει τὸν Η, τὸν Η δὲ πολλαπλασιάσας δίδει τὸν Β. Καὶ ἐπειδὴ ὁ Γ πολλαπλασιάσας ἕκαστον τῶν Γ, Δ δίδει ἀντιστοίχως ἕκαστον τῶν Ε, Ζ, εἶναι ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ε πρὸς τὸν Ζ (VII. 17). Διὰ τοὺς αὐτοὺς λόγους εἶναι καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ζ πρὸς τὸν Η (VII. 18). Πάλιν ἐπειδὴ ὁ Γ πολλαπλασιάσας ἕκαστον τῶν Ε, Ζ δίδει ἕκαστον τῶν Α, Θ ἀντιστοίχως, εἶναι ἄρα ὡς ὁ Ε πρὸς τὸν Ζ, οὕτως ὁ Α πρὸς τὸν Θ (VII. 17). Ὡς δὲ ὁ Ε πρὸς τὸν Ζ, οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Θ. Πάλιν ἐπειδὴ ἕκαστος τῶν Γ, Δ πολλαπλασιάσας τὸν Ζ δίδει ἕκαστον τῶν Θ, Κ ἀντιστοίχως, εἶναι ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Θ πρὸς τὸν Κ (VII. 18). Πάλιν ἐπειδὴ ὁ Δ πολλαπλασιάσας ἕκαστον τῶν Ζ, Η δίδει ἕκαστον τῶν Κ, Β ἀντιστοίχως, εἶναι ἄρα ὡς ὁ Ζ πρὸς τὸν Η, οὕτως ὁ Κ πρὸς τὸν Β (VII. 17). Ὡς δὲ ὁ Ζ πρὸς τὸν Η, οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ, οὕτως καὶ ὁ Α πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Κ καὶ ὁ Κ πρὸς τὸν Β. Τῶν Α, Β ἄρα ὑπάρχουσι δύο μέσοι ἀνάλογοι οἱ Θ, Κ.

Λέγω τώρα, ὅτι καὶ ὁ Α πρὸς τὸν Β ἔχει λόγον τὸν λόγον τοῦ Γ πρὸς τὸν Δ, εἰς τὸν κύβον. Διότι, ἐπειδὴ ὑπάρχουσι τέσσαρες ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ οἱ Α, Θ, Κ, Β, ὁ Α ἄρα πρὸς τὸν Β ἔχει τριπλάσιον λόγον (τὸν λόγον τῶν κύβων) τοῦ Α πρὸς τὸν Θ (V. ὁρ. 10). Ὡς δὲ ὁ Α πρὸς τὸν Θ, οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὁ Α ἄρα πρὸς τὸν Β ἔχει λόγον τριπλάσιον (τῶν κύβων) τοῦ Γ πρὸς τὸν Δ· ὅπερ ἔδει δεῖξαι.

ιγ΄.

Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, καὶ πολλαπλασιάσας ἕκαστος ἑαυτὸν ποιῇ τινα, οἱ γενόμενοι ἐξ αὐτῶν ἀνάλογον ἔσονται· καὶ ἐὰν οἱ ἐξ ἀρχῆς τοὺς γενομένους πολλαπλασιάσαντες ποιῶσί τινας, καὶ αὐτοὶ ἀνάλογον ἔσονται [καὶ ἀεὶ περὶ τοὺς ἄκρους τοῦτο συμβαίνει].

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, οἱ Α, Β, Γ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Γ, καὶ οἱ Α, Β, Γ ἑαυτοὺς μὲν πολλαπλασιάσαντες τοὺς Δ, Ε, Ζ ποιείτωσαν, τοὺς δὲ Δ, Ε, Ζ πολλαπλασιάσαντες τοὺς Η, Θ, Κ ποιείτωσαν· λέγω, ὅτι οἵ τε Δ, Ε, Ζ καὶ οἱ Η, Θ, Κ ἑξῆς ἀνάλογόν εἰσιν.



Ὁ μὲν γὰρ Α τὸν Β πολλαπλασιάσας τὸν Λ ποιείτω, ἑκάτερος δὲ τῶν Α, Β τὸν Λ πολλαπλασιάσας ἑκάτερον τῶν Μ, Ν ποιείτω. καὶ πάλιν ὁ μὲν Β τὸν Γ πολλαπλασιάσας τὸν Ξ ποιείτω, ἑκάτερος δὲ τῶν Β, Γ τὸν Ξ πολλαπλασιάσας ἑκάτερον τῶν Ο, Π ποιείτω.

Ὁμοίως δὴ τοῖς ἐπάνω δείξομεν, ὅτι οἱ Δ, Λ, Ε καὶ οἱ Η, Μ, Ν, Θ ἑξῆς εἰσιν ἀνάλογον ἐν τῷ τοῦ Α πρὸς τὸν Β λόγῳ, καὶ ἔτι οἱ Ε, Ξ, Ζ καὶ οἱ Θ, Ο, Π, Κ ἑξῆς εἰσιν ἀνάλογον ἐν τῷ τοῦ Β πρὸς τὸν Γ λόγῳ. καί ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Γ· καὶ οἱ Δ, Λ, Ε ἄρα τοῖς Ε, Ξ, Ζ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶ καὶ ἔτι οἱ Η, Μ, Ν, Θ τοῖς Θ, Ο, Π, Κ. καί ἐστιν ἴσον τὸ μὲν τῶν Δ, Λ, Ε πλῆθος τῷ τῶν Ε, Ξ, Ζ πλήθει, τὸ δὲ τῶν Η, Μ, Ν, Θ τῷ τῶν Θ, Ο, Π, Κ· δι' ἴσου ἄρα ἐστὶν ὡς μὲν ὁ Δ πρὸς τὸν Ε, οὕτως ὁ Ε πρὸς τὸν Ζ, ὡς δὲ ὁ Η πρὸς τὸν Θ, οὕτως ὁ Θ πρὸς τὸν Κ· ὅπερ ἔδει δεῖξαι.

ιδ΄.

Ἐὰν τετράγωνος τετράγωνον μετρῇ, καὶ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει· καὶ ἐὰν ἡ πλευρὰ τὴν πλευρὰν μετρῇ, καὶ ὁ τετράγωνος τὸν τετράγωνον μετρήσει.

Ἔστωσαν τετράγωνοι ἀριθμοὶ οἱ Α, Β, πλευραὶ δὲ αὐτῶν ἔστωσαν οἱ Γ, Δ, ὁ δὲ Α τὸν Β μετρείτω· λέγω, ὅτι καὶ ὁ Γ τὸν Δ μετρεῖ.

13.

Ἐὰν ὑπάρχωσιν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ καὶ ἕκαστος πολλαπλασιάσας τὸν ἑαυτόν του δίδῃ γινόμενόν τι, τὰ ἐξ αὐτῶν γινόμενα θὰ εἶναι ἐν ἀναλογίᾳ· καὶ ἐὰν οἱ ἐξ ἀρχῆς πολλαπλασιάσωσι τὰ σχηματισθέντα γινόμενα, καὶ αὐτὰ θὰ εἶναι ἐν ἀναλογίᾳ [καὶ πάντοτε περὶ τοὺς ἄκρους τοῦτο συμβαίνει].

Ἔστωσαν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ, οἱ Α, Β, Γ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Γ, καὶ οἱ Α, Β, Γ ἑαυτοὺς μὲν πολλαπλασιάσαντες ἂς δίδωσιν τοὺς Δ, Ε, Ζ, τοὺς δὲ Δ, Ε, Ζ πολλαπλασιάσαντες ἂς δίδωσι τοὺς Η, Θ, Κ· λέγω, ὅτι οἱ Δ, Ε, Ζ καὶ οἱ Η, Θ, Κ εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ.

Διότι ὁ μὲν Α πολλαπλασιάσας τὸν Β ἂς δίδῃ τὸν Λ, ἕκαστος δὲ τῶν Α, Β πολλαπλασιάσας τὸν Λ ἂς δίδῃ ἕκαστον τῶν Μ, Ν ἀντιστοίχως. Καὶ πάλιν ὁ μὲν Β τὸν Γ πολλαπλασιάσας ἂς δίδῃ τὸν Ξ, ἕκαστος δὲ τῶν Β, Γ τὸν Ξ πολλαπλασιάσας ἂς δίδῃ ἕκαστον τῶν Ο, Π ἀντιστοίχως.

Καθ' ὅμοιον τρόπον πρὸς τὰ ἀνωτέρω (προηγ. θεώρημα) ἀποδεικνύομεν, ὅτι οἱ Δ, Λ, Ε καὶ οἱ Η, Μ, Ν, Θ εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ ἔχοντες τὸν λόγον τοῦ Α πρὸς τὸν Β καὶ ἀκόμη οἱ Ε, Ξ, Ζ καὶ οἱ Θ, Ο, Π, Κ εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ ἔχοντες τὸν λόγον τοῦ Β πρὸς τὸν Γ. Καὶ εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Γ· καὶ οἱ Δ, Λ, Ε ἄρα ἔχουσι τὸν αὐτὸν λόγον πρὸς τοὺς Ε, Ξ, Ζ καὶ ἀκόμη οἱ Η, Μ, Ν, Θ πρὸς τοὺς Θ, Ο, Π, Κ. Καὶ εἶναι ἴσον τὸ μὲν πλῆθος τῶν Δ, Λ, Ε πρὸς τὸ πλῆθος τῶν Ε, Ξ, Ζ, τὸ δὲ πλῆθος τῶν Η, Μ, Ν, Θ πρὸς τὸ πλῆθος τῶν Θ, Ο, Π, Κ· δι' ἴσου ἄρα εἶναι ὡς μὲν ὁ Δ πρὸς τὸν Ε, οὕτως ὁ Ε πρὸς τὸν Ζ, ὡς δὲ ὁ Η πρὸς τὸν Θ, οὕτως ὁ Θ πρὸς τὸν Κ· ὅπερ ἔδει δεῖξαι.

14.

Ἐὰν τετράγωνος ἀριθμὸς μετρῇ τετράγωνον, καὶ ἡ πλευρὰ θὰ μετρῇ τὴν πλευράν· καὶ ἐὰν ἡ πλευρὰ μετρῇ τὴν πλευράν, καὶ ὁ τετράγωνος θὰ μετρῇ τὸν τετράγωνον.

Ἔστωσαν τετράγωνοι ἀριθμοὶ οἱ Α, Β, πλευραὶ δὲ αὐτῶν ἔστωσαν οἱ Γ; Δ, ὁ δὲ Α ἂς μετρῇ τὸν Β· λέγω, ὅτι καὶ ὁ Γ μετρεῖ τὸν Δ.

Ὁ Γ γὰρ τὸν Δ πολλαπλασιάσας τὸν Ε ποιείτω· οἱ Α, Ε, Β ἄρα ἑξῆς ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεὶ οἱ Α, Ε, Β ἑξῆς ἀνάλογόν εἰσιν, καὶ μετρεῖ ὁ Α τὸν Β, μετρεῖ ἄρα καὶ ὁ Α τὸν Ε. καί ἐστιν ὡς ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Γ πρὸς τὸν Δ· μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ.



Πάλιν δὴ ὁ Γ τὸν Δ μετρείτω· λέγω, ὅτι καὶ ὁ Α τὸν Β μετρεῖ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων ὁμοίως δείξομεν, ὅτι οἱ Α, Ε, Β ἑξῆς ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεί ἐστιν ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Ε, μετρεῖ δὲ ὁ Γ τὸν Δ, μετρεῖ ἄρα καὶ ὁ Α τὸν Ε. καί εἰσιν οἱ Α, Ε, Β ἑξῆς ἀνάλογον· μετρεῖ ἄρα καὶ ὁ Α τὸν Β.

Ἐὰν ἄρα τετράγωνος τετράγωνον μετρῇ, καὶ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει· καὶ ἐὰν ἡ πλευρὰ τὴν πλευρὰν μετρῇ, καὶ ὁ τετράγωνος τὸν τετράγωνον μετρήσει· ὅπερ ἔδει δεῖξαι.

ιε'.

Ἐὰν κύβος ἀριθμὸς κύβον ἀριθμὸν μετρῇ, καὶ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει· καὶ ἐὰν ἡ πλευρὰ τὴν πλευρὰν μετρῇ, καὶ ὁ κύβος τὸν κύβον μετρήσει.

Κύβος γὰρ ἀριθμὸς ὁ Α κύβον τὸν Β μετρείτω, καὶ τοῦ μὲν Α πλευρὰ ἔστω ὁ Γ, τοῦ δὲ Β ὁ Δ· λέγω, ὅτι ὁ Γ τὸν Δ μετρεῖ.

Ὁ Γ γὰρ ἑαυτὸν πολλαπλασιάσας τὸν Ε ποιείτω, ὁ δὲ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Η ποιείτω, καὶ ἔτι ὁ Γ τὸν Δ πολλαπλασιάσας τὸν Ζ [ποιείτω], ἑκάτερος δὲ τῶν Γ, Δ τὸν Ζ πολλαπλασιάσας ἑκάτερον τῶν Θ, Κ ποιείτω. φανερὸν δή, ὅτι οἱ Ε, Ζ, Η καὶ οἱ Α, Θ, Κ, Β ἑξῆς ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεὶ οἱ Α, Θ, Κ, Β ἑξῆς ἀνάλογόν εἰσιν, καὶ μετρεῖ ὁ Α τὸν Β, μετρεῖ ἄρα καὶ τὸν Θ. καί ἐστιν ὡς ὁ Α πρὸς τὸν Θ, οὕτως ὁ Γ πρὸς τὸν Δ· μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ.

Ἀλλὰ δὴ μετρείτω ὁ Γ τὸν Δ· λέγω, ὅτι καὶ ὁ Α τὸν Β μετρήσει.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων ὁμοίως δὴ δείξομεν, ὅτι οἱ Α, Θ, Κ, Β ἑξῆς ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεὶ ὁ Γ τὸν Δ μετρεῖ, καί ἐστιν ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Θ, καὶ ὁ Α ἄρα τὸν Θ μετρεῖ· ὥστε καὶ τὸν Β μετρεῖ ὁ Α· ὅπερ ἔδει δεῖξαι.

Διότι ὁ Γ πολλαπλασιάσας τὸν Δ ἂς δίδῃ τὸν Ε· οἱ Α, Ε, Β ἄρα εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ ἔχοντες τὸν λόγον τοῦ Γ πρὸς τὸν Δ (θεώρ. 11). Καὶ ἐπειδὴ οἱ Α, Ε, Β εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ καὶ ὁ Α μετρεῖ τὸν Β, μετρεῖ ἄρα καὶ ὁ Α τὸν Ε (θεώρ. 7). Καὶ εἶναι ὡς ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Γ πρὸς τὸν Δ· μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ (VII. ὁρ. 21).

Πάλιν ἂς μετρῇ ὁ Γ τὸν Δ· λέγω, ὅτι καὶ ὁ Α μετρεῖ τὸν Β.

Διότι, ἀφοῦ γίνῃ ἡ αὐτὴ κατασκευή, ἀποδεικνύομεν ὁμοίως, ὅτι οἱ Α, Ε, Β εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ ἔχοντες τὸν λόγον τοῦ Γ πρὸς τὸν Δ. Καὶ ἐπειδὴ εἶναι ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Ε, μετρεῖ δὲ ὁ Γ τὸν Δ, μετρεῖ ἄρα καὶ ὁ Α τὸν Ε (VII. ὁρ. 21). Καὶ εἶναι οἱ Α, Ε, Β ἐν συνεχεῖ ἀναλογίᾳ· μετρεῖ ἄρα καὶ ὁ Α τὸν Β.

Ἐὰν ἄρα τετράγωνος τετράγωνον μετρῇ, καὶ ἡ πλευρὰ θὰ μετρῇ τὴν πλευράν· καὶ ἐὰν ἡ πλευρὰ μετρῇ τὴν πλευράν, καὶ ὁ τετράγωνος θὰ μετρῇ τὸν τετράγωνον· ὅπερ ἔδει δεῖξαι.

15.

Ἐὰν ἀριθμὸς κύβος μετρῇ ἀριθμὸν κύβον, καὶ ἡ πλευρὰ θὰ μετρῇ τὴν πλευράν· καὶ ἐὰν ἡ πλευρὰ μετρῇ τὴν πλευράν, καὶ ὁ κύβος θὰ μετρῇ τὸν κύβον.

Διότι ἂς μετρῇ κύβος ἀριθμὸς ὁ Α τὸν κύβον Β, καὶ τοῦ μὲν Α πλευρὰ ἔστω ὁ Γ, τοῦ δὲ Β ὁ Δ· λέγω, ὅτι ὁ Γ μετρεῖ τὸν Δ.

Διότι ὁ Γ πολλαπλασιάσας ἑαυτὸν ἂς δίδῃ τὸν Ε, ὁ δὲ Δ πολλαπλασιάσας τὸν ἑαυτόν του ἂς δίδῃ τὸν Η καὶ ἀκόμη ὁ Γ πολλαπλασιάσας τὸν Δ ἂς δίδῃ τὸν Ζ, ἕκαστος δὲ τῶν Γ, Δ πολλαπλασιάσας τὸν Ζ ἂς δίδῃ ἕκαστον τῶν Θ, Κ ἀντιστοίχως. Εἶναι φανερόν, ὅτι οἱ Ε, Ζ, Η καὶ οἱ Α, Θ, Κ, Β εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ ἔχοντες τὸν λόγον τοῦ Γ πρὸς τὸν Δ (θεώρ. 12). Καὶ ἐπειδὴ οἱ Α, Θ, Κ, Β εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ καὶ μετρεῖ ὁ Α τὸν Β, μετρεῖ ἄρα καὶ τὸν Θ (θεώρ. 7). Καὶ εἶναι ὡς ὁ Α πρὸς τὸν Θ, οὕτως ὁ Γ πρὸς τὸν Δ· μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ.

Ἀλλὰ τώρα ἂς μετρῇ ὁ Γ τὸν Δ· λέγω, ὅτι καὶ ὁ Α μετρεῖ τὸν Β.

Διότι, ἀφοῦ γίνῃ ἡ αὐτὴ κατασκευή, ἀποδεικνύομεν καθ' ὅμοιον τρόπον, ὅτι οἱ Α, Θ, Κ, Β εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ ἔχοντες τὸν λόγον τοῦ Γ πρὸς τὸν Δ. Καὶ ἐπειδὴ ὁ Γ μετρεῖ τὸν Δ καὶ εἶναι ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Θ, καὶ ὁ Α ἄρα τὸν Θ μετρεῖ (VII. ὁρ. 21)· ὥστε καὶ τὸν Β μετρεῖ ὁ Α· ὅπερ ἔδει δεῖξαι.

ις'.

Ἐὰν τετράγωνος ἀριθμὸς τετράγωνον ἀριθμὸν μὴ μετρῇ, οὐδὲ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει· κἂν ἡ πλευρὰ τὴν πλευρὰν μὴ μετρῇ, οὐδὲ ὁ τετράγωνος τὸν τετράγωνον μετρήσει.

Ὅτι μὲν λοιπὸν ὁ τέταρτος ἀπὸ τῆς μονάδος εἶναι κύβος καὶ ὅλοι οἱ παραλείποντες δύο, ἀπεδείχθη (θεώρ. 8)· λέγω τώρα, ὅτι καὶ ὅλοι οἱ ἄλλοι εἶναι κύβοι. Διότι, ἐπειδὴ ὡς εἶναι ἡ μονὰς πρὸς τὸν Α, οὕτως εἶναι ὁ Α πρὸς τὸν Β, ἰσάκις ἄρα ἡ μονὰς μετρεῖ τὸν Α καὶ ὁ Α τὸν Β. Ἡ δὲ μονὰς μετρεῖ τὸν Α κατὰ τὰς εἰς αὐτὸν μονάδας· καὶ ὁ Α ἄρα μετρεῖ τὸν Β κατὰ τὰς εἰς αὐτὸν μονάδας· ὁ Α ἄρα πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει τὸν Β. Καὶ εἶναι ὁ Α κύβος. Ἐὰν δὲ κύβος ἀριθμὸς πολλαπλασιάσας τὸν ἑαυτόν του δίδῃ ἀριθμόν τινα, ὁ γενόμενος εἶναι κύβος (θεώρ. 3)· καὶ ὁ Β ἄρα εἶναι κύβος. Καὶ ἐπειδὴ τέσσαρες ἀριθμοὶ οἱ Α, Β, Γ, Δ εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ καὶ ὁ Α εἶναι κύβος, καὶ ὁ Δ ἄρα εἶναι κύβος (VIII. 23). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὁ Ε εἶναι κύβος καὶ ὁμοίως ὅλοι οἱ ἄλλοι εἶναι κύβοι· ὅπερ ἔδει δεῖξαι.

10.

Ἐὰν ἀπὸ μονάδος ὑπάρχωσιν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ, ὁ δὲ μετὰ τὴν μονάδα δὲν εἶναι τετράγωνος, οὔτε ἄλλος κανεὶς θὰ εἶναι τετράγωνος ἐξαιρέσει τοῦ τρίτου ἀπὸ τῆς μονάδος καὶ ὅλων, οἱ ὁποῖοι παραλείπουσιν ἕνα. Καὶ ἐὰν ὁ μετὰ τὴν μονάδα δὲν εἶναι κύβος, οὔτε ἄλλος κανεὶς θὰ εἶναι κύβος ἐξαιρέσει τοῦ τετάρτου ἀπὸ τῆς μονάδος καὶ ὅλων, οἱ ὁποῖοι παραλείπουσι δύο.

Ἔστωσαν ἀπὸ μονάδος ἐν συνεχεῖ ἀναλογίᾳ ὁσοιδήποτε ἀριθμοὶ οἱ Α, Β, Γ, Δ, Ε, Ζ , ὁ δὲ μετὰ τὴν μονάδα ὁ Α ἂς μὴ εἶναι τετράγωνος· λέγω, ὅτι οὔτε ἄλλος κανεὶς θὰ εἶναι τετράγωνος ἐξαιρέσει τοῦ τρίτου ἀπὸ τῆς μονάδος καὶ ἐκείνων, οἱ ὁποῖοι παραλείπουσιν ἕνα.

Διότι, ἐὰν εἶναι δυνατόν, ἔστω ὁ Γ τετράγωνος. Εἶναι δὲ καὶ ὁ Β τετράγωνος (θεώρ. 8)· οἱ Β, Γ ἄρα ἔχουσι λόγον πρὸς ἀλλήλους, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. Καὶ εἶναι ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Α πρὸς τὸν Β · οἱ Α, Β ἄρα ἔχουσι λόγον πρὸς ἀλλήλους, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ὥστε οἱ Α, Β εἶναι ὅμοιοι ἐπίπεδοι (VIII. 26)· καὶ ὁ Β εἶναι τετράγωνος· τετράγωνος ἄρα εἶναι καὶ ὁ Α· πρᾶγμα ἀντίθετον πρὸς τὴν ὑπόθεσιν. Δὲν εἶναι ἄρα ὁ Γ τετράγωνος. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι οὔτε ἄλλος κανεὶς εἶναι τετράγωνος ἐξαιρέσει τοῦ τρίτου ἀπὸ τῆς μονάδος καὶ τῶν παραλειπόντων ἕνα.

Ἀλλὰ τώρα ἂς μὴ εἶναι ὁ Α κύβος. Λέγω, ὅτι οὔτε ἄλλος κανεὶς θὰ εἶναι κύβος ἐξαιρέσει τοῦ τετάρτου ἀπὸ τῆς μονάδος καὶ τῶν παραλειπόντων δύο.

Διότι, ἐὰν εἶναι δυνατόν, ἔστω ὁ Δ κύβος· εἶναι δὲ καὶ ὁ Γ κύβος· διότι εἶναι τέταρτος ἀπὸ τῆς μονάδος (θεώρ. 8). Καὶ εἶναι ὡς ὁ Γ πρὸς

Γ· καὶ ὁ Β ἄρα πρὸς τὸν Γ λόγον ἔχει, ὃν κύβος πρὸς κύβον. καί ἐστιν ὁ Γ κύβος· καὶ ὁ Β ἄρα κύβος ἐστίν. καὶ ἐπεί ἐστιν ὡς ἡ μονὰς πρὸς τὸν Α, ὁ Α πρὸς τὸν Β, ἡ δὲ μονὰς τὸν Α μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας, καὶ ὁ Α ἄρα τὸν Β μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· ὁ Α ἄρα ἑαυτὸν πολλαπλασιάσας κύβον τὸν Β πεποίηκεν· ἐὰν δὲ ἀριθμὸς ἑαυτὸν πολλαπλασιάσας κύβον ποιῇ, καὶ αὐτὸς κύβος ἔσται. κύβος ἄρα καὶ ὁ Α· ὅπερ οὐχ ὑπόκειται. οὐκ ἄρα ὁ Δ κύβος ἐστίν. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἄλλος οὐδεὶς κύβος ἐστὶ χωρὶς τοῦ τετάρτου ἀπὸ τῆς μονάδος καὶ τῶν δύο διαλειπόντων· ὅπερ ἔδει δεῖξαι.

ια'.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὁ ἐλάττων τὸν μείζονα μετρεῖ κατά τινα τῶν ὑπαρχόντων ἐν τοῖς ἀνάλογον ἀριθμοῖς.

Ἔστωσαν ἀπὸ μονάδος τῆς Α ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Β, Γ, Δ, Ε· λέγω, ὅτι τῶν Β, Γ, Δ, Ε ὁ ἐλάχιστος ὁ Β τὸν Ε μετρεῖ κατά τινα τῶν Γ, Δ.



Ἐπεὶ γάρ ἐστιν ὡς ἡ Α μονὰς πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε, ἰσάκις ἄρα ἡ Α μονὰς τὸν Β ἀριθμὸν μετρεῖ καὶ ὁ Δ τὸν Ε· ἐναλλὰξ ἄρα ἰσάκις ἡ Α μονὰς τὸν Δ μετρεῖ καὶ ὁ Β τὸν Ε. ἡ δὲ Α μονὰς τὸν Δ μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· καὶ ὁ Β ἄρα τὸν Ε μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὥστε ὁ ἐλάσσων ὁ Β τὸν μείζονα τὸν Ε μετρεῖ κατά τινα ἀριθμὸν τῶν ὑπαρχόντων ἐν τοῖς ἀνάλογον ἀριθμοῖς.

Πόρισμα.

Καὶ φανερόν, ὅτι ἣν ἔχει τάξιν ὁ μετρῶν ἀπὸ μονάδος, τὴν αὐτὴν ἔχει καὶ ὁ καθ' ὃν μετρεῖ ἀπὸ τοῦ μετρουμένου ἐπὶ τὸ πρὸ αὐτοῦ.—ὅπερ ἔδει δεῖξαι.

ιβ'.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὑφ' ὅσων ἂν ὁ ἔσχατος πρώτων ἀριθμῶν μετρῆται, ὑπὸ τῶν αὐτῶν καὶ ὁ παρὰ τὴν μονάδα μετρηθήσεται.

Ἔστωσαν ἀπὸ μονάδος ὁποσοιδηποτοῦν ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, τὸν Δ, οὕτως ὁ Β πρὸς τὸν Γ· καὶ ὁ Β ἄρα πρὸς τὸν Γ ἔχει λόγον, ὃν ἔχει κύβος πρὸς κύβον· καὶ εἶναι ὁ Γ κύβος· καὶ ὁ Β ἄρα εἶναι κύβος (VII. 13, VIII. 25). Καὶ ἐπειδὴ εἶναι ὡς ἡ μονὰς πρὸς τὸν Α, οὕτως ὁ Α πρὸς τὸν Β, ἡ δὲ μονὰς μετρεῖ τὸν Α κατὰ τὰς εἰς αὐτὸν μονάδας, καὶ ὁ Α ἄρα μετρεῖ τὸν Β κατὰ τὰς εἰς αὐτὸν μονάδας· ὁ Α ἄρα πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει τὸν Β κύβον. Ἐὰν δὲ ἀριθμὸς πολλαπλασιάσας τὸν ἑαυτόν του δίδῃ κύβον, καὶ αὐτὸς θὰ εἶναι κύβος (θεώρ. 6). Ἄρα καὶ ὁ Α εἶναι κύβος· πρᾶγμα ἀντίθετον πρὸς τὴν ὑπόθεσιν. Δὲν εἶναι ἄρα ὁ Δ κύβος. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι οὔτε ἄλλος κανεὶς εἶναι κύβος ἐξαιρέσει τοῦ τετάρτου ἀπὸ τῆς μονάδος καὶ τῶν παραλειπόντων δύο· ὅπερ ἔδει δεῖξαι.

11.

Ἐὰν ἀπὸ μονάδος ὑπάρχωσιν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ, ὁ μικρότερος μετρεῖ τὸν μεγαλύτερον κατά τινα τῶν ὑπαρχόντων ἐν τῇ συνεχεῖ ἀναλογίᾳ ἀριθμῶν.

Ἔστωσαν ἀπὸ μονάδος τῆς Α ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ οἱ Β, Γ, Δ, Ε· λέγω, ὅτι ἐκ τῶν Β, Γ, Δ, Ε ὁ ἐλάχιστος ὁ Β μετρεῖ τὸν Ε κατά τινα τῶν Γ, Δ.

Διότι, ἐπειδὴ εἶναι ὡς ἡ μονὰς Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε, ἰσάκις ἄρα ἡ μονὰς Α μετρεῖ τὸν ἀριθμὸν Β καὶ ὁ Δ τὸν Ε· ἐναλλὰξ ἄρα ἰσάκις ἡ μονὰς Α μετρεῖ τὸν Δ καὶ ὁ Β τὸν Ε (VII. 15). Ἡ δὲ μονὰς Α μετρεῖ τὸν Δ κατὰ τὰς εἰς αὐτὸν μονάδας· καὶ ὁ Β ἄρα μετρεῖ τὸν Ε κατὰ τὰς εἰς τὸν Δ μονάδας· ὥστε ὁ μικρότερος ὁ Β μετρεῖ τὸν μεγαλύτερον τὸν Ε κατά τινα ἀριθμὸν ἐκ τῶν ὑπαρχόντων εἰς τὴν συνεχῆ ἀναλογίαν ἀριθμῶν.

Πόρισμα.

Καὶ εἶναι φανερόν, ὅτι ἣν τάξιν ἔχει ὁ μετρῶν ἀπὸ τῆς μονάδος, τὴν αὐτὴν τάξιν ἔχει, ἀναδρομικῶς ὅμως, ὁ καθ' ὃν μετρεῖ ἀπὸ τοῦ μετρουμένου· ὅπερ ἔδει δεῖξαι.

12.

Ἐὰν ἀπὸ μονάδος ὁσοιδήποτε ἀριθμοὶ εὑρίσκωνται ἐν συνεχεῖ ἀναλογίᾳ, ὑφ' ὅσων τυχὸν πρώτων ἀριθμῶν μετρεῖται ὁ τελευταῖος, ὑπὸ τῶν αὐτῶν θὰ μετρηθῇ καὶ ὁ μετὰ τὴν μονάδα.

Ἔστωσαν ἀπὸ μονάδος ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ οἱ

Δ· λέγω, ὅτι ὑφ' ὅσων ἂν ὁ Δ πρώτων ἀριθμῶν μετρῆται, ὑπὸ τῶν αὐτῶν καὶ ὁ Α μετρηθήσεται.



Μετρείσθω γὰρ ὁ Δ ὑπό τινος πρώτου ἀριθμοῦ τοῦ Ε· λέγω, ὅτι ὁ Ε τὸν Α μετρεῖ. μὴ γάρ· καί ἐστιν ὁ Ε πρῶτος, ἅπας δὲ πρῶτος ἀριθμὸς πρὸς ἅπαντα, ὃν μὴ μετρεῖ, πρῶτός ἐστιν· οἱ Ε, Α ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἐπεὶ ὁ Ε τὸν Δ μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν Ζ· ὁ Ε ἄρα τὸν Ζ πολλαπλασιάσας τὸν Δ πεποίηκεν. πάλιν, ἐπεὶ ὁ Α τὸν Δ μετρεῖ κατὰ τὰς ἐν τῷ Γ μονάδας, ὁ Α ἄρα τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Ε τὸν Ζ πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν Α, Γ ἴσος ἐστὶ τῷ ἐκ τῶν Ε, Ζ. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Ε, ὁ Ζ πρὸς τὸν Γ. οἱ δὲ Α, Ε πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Ε τὸν Γ. μετρείτω αὐτὸν κατὰ τὸν Η. ὁ Ε ἄρα τὸν Η πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ἀλλὰ μὴν διὰ τὸ πρὸ τούτου καὶ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ὁ ἄρα ἐκ τῶν Α, Β ἴσος ἐστὶ τῷ ἐκ τῶν Ε, Η. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Ε, ὁ Η πρὸς τὸν Β. οἱ δὲ Α, Ε πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Ε τὸν Β. μετρείτω αὐτὸν κατὰ τὸν Θ· ὁ Ε ἄρα τὸν Θ πολλαπλασιάσας τὸν Β πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Α ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκεν· ὁ ἄρα ἐκ τῶν Ε, Θ ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ Α. ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Α, ὁ Α πρὸς τὸν Θ. οἱ δὲ Α, Ε πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Ε τὸν Α ὡς ἡγούμενος ἡγούμενον. ἀλλὰ μὴν καὶ οὐ μετρεῖ· ὅπερ ἀδύνατον. οὐκ ἄρα οἱ Ε, Α πρῶτοι πρὸς ἀλλήλους εἰσίν. σύνθετοι ἄρα. οἱ δὲ σύνθετοι ὑπὸ [πρώτου] ἀριθμοῦ τινος μετροῦνται. καὶ ἐπεὶ ὁ Ε πρῶτος ὑπόκειται, ὁ δὲ πρῶτος ὑπὸ ἑτέρου ἀριθμοῦ οὐ μετρεῖται ἢ ὑφ' ἑαυτοῦ, ὁ Ε ἄρα τοὺς Α, Ε μετρεῖ· ὥστε ὁ Ε τὸν Α μετρεῖ. μετρεῖ δὲ καὶ τὸν Δ· ὁ Ε ἄρα τοὺς Α, Δ μετρεῖ. ὁμοίως δὴ δείξομεν, ὅτι ὑφ' ὅσων ἂν ὁ Δ πρώτων ἀριθμῶν μετρῆται, ὑπὸ τῶν αὐτῶν καὶ ὁ Α μετρηθήσεται· ὅπερ ἔδει δεῖξαι.

ιγ'.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὁ δὲ

Α, Β, Γ, Δ· λέγω, ὅτι ὑφ' ὅσων πρώτων ἀριθμῶν εἶναι δυνατὸν νὰ μετρῆται ὁ Δ, ὑπὸ τῶν αὐτῶν θὰ μετρηθῇ καὶ ὁ Α.

Διότι ἂς μετρῆται ὁ Δ ὑπό τινος πρώτου ἀριθμοῦ τοῦ Ε· λέγω, ὅτι ὁ Ε μετρεῖ τὸν Α. Διότι ἔστω, ὅτι δὲν τὸν μετρεῖ. Καὶ εἶναι ὁ Ε πρῶτος, πᾶς δὲ πρῶτος ἀριθμὸς πρὸς πάντα, τὸν ὁποῖον δὲν μετρεῖ, εἶναι πρῶτος (VII. 29)· ἄρα οἱ Ε, Α εἶναι πρῶτοι πρὸς ἀλλήλους. Καὶ ἐπειδὴ ὁ Ε μετρεῖ τὸν Δ, ἂς μετρῇ αὐτὸν κατὰ τὸν ἀριθμὸν Ζ· ὁ Ε ἄρα πολλαπλασιάσας τὸν Ζ δίδει τὸν Δ. Πάλιν ἐπειδὴ ὁ Α μετρεῖ τὸν Δ κατὰ τὰς εἰς τὸν Γ μονάδας, ὁ Α ἄρα πολλαπλασιάσας τὸν Γ δίδει τὸν Δ. 'Αλλ' ὅμως καὶ ὁ Ε πολλαπλασιάσας τὸν Ζ ἔδωσε τὸν Δ. Τὸ γινόμενον ἄρα τῶν Α, Γ εἶναι ἴσον πρὸς τὸ γινόμενον τῶν Ε, Ζ. Εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Ζ πρὸς τὸν Γ (VII. 19). Οἱ δὲ Α, Ε εἶναι πρῶτοι, οἱ δὲ πρῶτοι εἶναι καὶ ἐλάχιστοι (VII. 21)· οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς ἔχοντας τὸν αὐτὸν λόγον ἰσάκις καὶ ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον (VII. 20)· ἄρα ὁ Ε μετρεῖ τὸν Γ. "Ας τὸν μετρῇ κατὰ τὸν Η· ὁ Ε ἄρα πολλαπλασιάσας τὸν Η δίδει τὸν Γ. 'Αλλ' ὅμως κατὰ τὸ προηγούμενον (θεώρ. 11. πόρ.) καὶ ὁ Α πολλαπλασιάσας τὸν Β δίδει τὸν Γ. Τὸ γινόμενον ἄρα τῶν Α, Β εἶναι ἴσον πρὸς τὸ γινόμενον τῶν Ε, Η. Εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Η πρὸς τὸν Β (VII. 19). Οἱ δὲ Α, Ε εἶναι πρῶτοι, οἱ δὲ πρῶτοι εἶναι καὶ ἐλάχιστοι (VII. 21), οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς ἔχοντας τὸν αὐτὸν λόγον ἰσάκις (VII. 20) καὶ ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· ἄρα ὁ Ε μετρεῖ τὸν Β. "Ας τὸν μετρῇ κατὰ τὸν Θ· ὁ Ε ἄρα πολλαπλασιάσας τὸν Θ δίδει τὸν Β. 'Αλλ' ὅμως καὶ ὁ Α πολλαπλασιάσας ἑαυτὸν ἔδωσε τὸν Β (θεώρ. 8)· τὸ γινόμενον ἄρα τῶν Ε, Θ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τοῦ Α. Εἶναι ἄρα ὡς ὁ Ε πρὸς τὸν Α, οὕτως ὁ Α πρὸς τὸν Θ (VII. 19). Οἱ δὲ Α, Ε εἶναι πρῶτοι, οἱ δὲ πρῶτοι εἶναι καὶ ἐλάχιστοι (VII. 21), οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς ἔχοντας τὸν αὐτὸν λόγον ἰσάκις (VII. 20) καὶ ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· ἄρα μετρεῖ ὁ Ε τὸν Α ὡς ἡγούμενος ἡγούμενον. 'Αλλὰ καὶ δὲν τὸν μετρεῖ· ὅπερ ἀδύνατον. Δὲν εἶναι ἄρα οἱ Ε, Α πρῶτοι πρὸς ἀλλήλους. "Αρα εἶναι σύνθετοι. Οἱ δὲ σύνθετοι μετροῦνται ὑπό τινος πρώτου ἀριθμοῦ (VII. 15). Καὶ ἐπειδὴ ὁ Ε ἐλήφθη ἐξ ὑποθέσεως πρῶτος, ὁ δὲ πρῶτος δὲν μετρεῖται ὑπ' ἄλλου ἀριθμοῦ ἢ τοῦ ἑαυτοῦ του (VII. ὁρ. 12), ὁ Ε ἄρα μετρεῖ τοὺς Α, Ε· ὥστε ὁ Ε μετρεῖ τὸν Α. Μετρεῖ δὲ καὶ τὸν Δ ὁ Ε ἄρα μετρεῖ τοὺς Α, Δ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι ἐξ ὅσων πρώτων ἀριθμῶν μετρῆται ὁ Δ, ὑπὸ τῶν αὐτῶν θὰ μετρηθῇ καὶ ὁ Α· ὅπερ ἔδει δεῖξαι.

13.

'Εὰν ἀπὸ μονάδος ὑπάρχωσιν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ

μετὰ τὴν μονάδα πρῶτος ᾖ, ὁ μέγιστος ὑπ' οὐδενὸς [ἄλλου] μετρηθήσεται παρὲξ τῶν ὑπαρχόντων ἐν τοῖς ἀνάλογον ἀριθμοῖς.

Ἔστωσαν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὁ δὲ μετὰ τὴν μονάδα ὁ Α πρῶτος ἔστω· λέγω, ὅτι ὁ μέγιστος αὐτῶν ὁ Δ ὑπ' οὐδενὸς ἄλλου μετρηθήσεται παρὲξ τῶν Α, Β, Γ.



Εἰ γὰρ δυνατόν, μετρείσθω ὑπὸ τοῦ Ε, καὶ ὁ Ε μηδενὶ τῶν Α, Β, Γ, ἔστω ὁ αὐτός. φανερὸν δή, ὅτι ὁ Ε πρῶτος οὐκ ἔστιν. εἰ γὰρ ὁ Ε πρῶτός ἐστι καὶ μετρεῖ τὸν Δ, καὶ τὸν Α μετρήσει πρῶτον ὄντα μὴ ὢν αὐτῷ ὁ αὐτός· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ὁ Ε πρῶτός ἐστιν. σύνθετος ἄρα. πᾶς δὲ σύνθετος ἀριθμὸς ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται· ὁ Ε ἄρα ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται. λέγω δή, ὅτι ὑπ' οὐδενὸς ἄλλου πρώτου μετρηθήσεται πλὴν τοῦ Α. εἰ γὰρ ὑφ' ἑτέρου μετρεῖται ὁ Ε, ὁ δὲ Ε τὸν Δ μετρεῖ, κἀκεῖνος ἄρα τὸν Δ μετρήσει· ὥστε καὶ τὸν Α μετρήσει πρῶτον ὄντα μὴ ὢν αὐτῷ ὁ αὐτός· ὅπερ ἐστὶν ἀδύνατον. ὁ Α ἄρα τὸν Ε μετρεῖ. καὶ ἐπεὶ ὁ Ε τὸν Δ μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν Ζ. λέγω, ὅτι ὁ Ζ οὐδενὶ τῶν Α, Β, Γ ἐστιν ὁ αὐτός. εἰ γὰρ ὁ Ζ ἑνὶ τῶν Α, Β, Γ ἐστιν ὁ αὐτὸς καὶ μετρεῖ τὸν Δ κατὰ τὸν Ε, καὶ εἷς ἄρα τῶν Α, Β, Γ τὸν Δ μετρεῖ κατὰ τὸν Ε. ἀλλὰ εἷς τῶν Α, Β, Γ τὸν Δ μετρεῖ κατά τινα τῶν Α, Β, Γ· καὶ ὁ Ε ἄρα ἑνὶ τῶν Α, Β, Γ ἐστιν ὁ αὐτός· ὅπερ οὐχ ὑπόκειται. οὐκ ἄρα ὁ Ζ ἑνὶ τῶν Α, Β, Γ ἐστιν ὁ αὐτός. ὁμοίως δὴ δείξομεν, ὅτι μετρεῖται ὁ Ζ ὑπὸ τοῦ Α, δεικνύντες πάλιν, ὅτι ὁ Ζ οὐκ ἔστι πρῶτος. εἰ γάρ, καὶ μετρεῖ τὸν Δ, καὶ τὸν Α μετρήσει πρῶτον ὄντα μὴ ὢν αὐτῷ ὁ αὐτός· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα πρῶτός ἐστιν ὁ Ζ· σύνθετος ἄρα. ἅπας δὲ σύνθετος ἀριθμὸς ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται· ὁ Ζ ἄρα ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται. λέγω δή, ὅτι ὑφ' ἑτέρου πρώτου οὐ μετρηθήσεται πλὴν τοῦ Α. εἰ γὰρ ἕτερός τις πρῶτος τὸν Ζ μετρεῖ, ὁ δὲ Ζ τὸν Δ μετρεῖ, κἀκεῖνος ἄρα τὸν Δ μετρήσει· ὥστε καὶ τὸν Α μετρήσει πρῶτον ὄντα μὴ ὢν αὐτῷ ὁ αὐτός· ὅπερ ἐστὶν ἀδύνατον. ὁ Α ἄρα τὸν Ζ μετρεῖ. καὶ ἐπεὶ ὁ Ε τὸν Δ μετρεῖ κατὰ τὸν Ζ, ὁ Ε ἄρα τὸν Ζ πολλαπλασιάσας τὸν Δ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Α τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν Α, Γ ἴσος ἐστὶ τῷ ἐκ τῶν Ε, Ζ. ἀνάλογον ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Ζ πρὸς τὸν Γ. ὁ δὲ Α τὸν Ε μετρεῖ· καὶ ὁ Ζ ἄρα τὸν Γ μετρεῖ. μετρείτω αὐτὸν κατὰ τὸν Η. ὁμοίως δὴ δείξομεν, ὅτι ὁ Η οὐδενὶ τῶν Α, Β ἐστιν ὁ αὐτός, καὶ ὅτι μετρεῖται ὑπὸ τοῦ Α. καὶ ἐπεὶ ὁ Ζ τὸν Γ μετρεῖ κατὰ τὸν Η, ὁ Ζ ἄρα τὸν Η πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν

ἀναλογίᾳ, ὁ δὲ μετὰ τὴν μονάδα εἶναι πρῶτος, ὁ μέγιστος δὲν θὰ μετρῆται ὑπὸ οὐδενὸς ἄλλου ἐκτὸς ὑπὸ τῶν ὑπαρχόντων εἰς τὴν συνεχῆ ἀναλογίαν ἀριθμῶν.

Ἔστωσαν ἀπὸ μονάδος ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ οἱ Α, Β, Γ, Δ, ὁ δὲ μετὰ τὴν μονάδα ὁ Α ἔστω πρῶτος· λέγω, ὅτι ὁ μέγιστος ἐξ αὐτῶν ὁ Δ δὲν μετρεῖται ὑπὸ οὐδενὸς ἄλλου ἐκτὸς τῶν Α, Β, Γ.

Διότι, ἐὰν εἶναι δυνατόν, ἂς μετρῆται ὑπὸ τοῦ Ε καὶ ὁ Ε ἂς μὴ εἶναι ὁ αὐτὸς πρὸς οὐδένα ἐκ τῶν Α, Β, Γ. Εἶναι φανερόν, ὅτι ὁ Ε δὲν εἶναι πρῶτος. Διότι ἐὰν ὁ Ε εἶναι πρῶτος καὶ μετρῇ τὸν Δ, θὰ μετρῇ καὶ τὸν Α (θεώρ. 12), ὁ ὁποῖος εἶναι πρῶτος, μὴ ὢν πρὸς αὐτὸν ὁ αὐτός· ὅπερ ἀδύνατον. Δὲν εἶναι ἄρα ὁ Ε πρῶτος. Ἄρα εἶναι σύνθετος. Πᾶς δὲ σύνθετος ἀριθμὸς μετρεῖται ὑπὸ πρώτου τινὸς ἀριθμοῦ (VII. 32)· ὁ Ε ἄρα μετρεῖται ὑπὸ πρώτου τινὸς ἀριθμοῦ· λέγω τώρα, ὅτι ὑπ' οὐδενὸς ἄλλου πρώτου θὰ μετρῆται πλὴν τοῦ Α. Διότι, ἐὰν ὁ Ε μετρῆται ὑπὸ ἄλλου, ὁ δὲ Ε μετρῇ τὸν Δ, καὶ ἐκεῖνος ἄρα θὰ μετρῇ τὸν Δ· ὥστε θὰ μετρῇ καὶ τὸν Α, ὁ ὁποῖος εἶναι πρῶτος (θεώρ. 12) μὴ ὢν ὁ αὐτὸς πρὸς αὐτόν· ὅπερ ἀδύνατον. Ὁ Α ἄρα μετρεῖ τὸν Ε. Καὶ ἐπειδὴ ὁ Ε μετρεῖ τὸν Δ, ἂς τὸν μετρῇ κατὰ τὸν Ζ. Λέγω, ὅτι ὁ Ζ πρὸς οὐδένα τῶν Α, Β, Γ εἶναι ὁ αὐτός. Διότι, ἐὰν ὁ Ζ εἶναι ὁ αὐτὸς πρὸς ἕνα τῶν Α, Β, Γ καὶ μετρῇ τὸν Δ κατὰ τὸν Ε, καὶ εἷς ἄρα τῶν Α, Β, Γ, θὰ μετρῇ τὸν Δ κατὰ τὸν Ε. Ἀλλὰ εἷς τῶν Α, Β, Γ μετρεῖ τὸν Δ κατά τινα τῶν Α, Β, Γ (θεώρ. 11)· καὶ ὁ Ε ἄρα εἶναι ὁ αὐτὸς πρὸς ἕνα τῶν Α, Β, Γ· πρᾶγμα ἀντίθετον πρὸς τὴν ὑπόθεσιν. Δὲν εἶναι ἄρα ὁ Ζ ὁ αὐτὸς πρὸς ἕνα τῶν Α, Β, Γ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι ὁ Ζ μετρεῖται ὑπὸ τοῦ Α, ἀποδεικνύοντες πάλιν, ὅτι ὁ Ζ δὲν εἶναι πρῶτος. Διότι, ἐὰν εἶναι καὶ μετρῇ τὸν Δ, θὰ μετρῇ καὶ τὸν Α (θεώρ. 12) πρῶτον ὄντα, μὴ ὢν ὁ αὐτὸς πρὸς αὐτόν· ὅπερ ἀδύνατον· ἄρα ὁ Ζ δὲν εἶναι πρῶτος· ἄρα εἶναι σύνθετος. Πᾶς δὲ σύνθετος ἀριθμὸς μετρεῖται ὑπὸ πρώτου τινος ἀριθμοῦ (VII. 32)· ὁ Ζ ἄρα μετρεῖται ὑπὸ πρώτου τινὸς ἀριθμοῦ. Λέγω τώρα, ὅτι ὑπὸ οὐδενὸς ἄλλου πρώτου θὰ μετρηθῇ πλὴν τοῦ Α. Διότι, ἐὰν ἄλλος τις πρῶτος μετρῇ τὸν Ζ, ὁ δὲ Ζ μετρῇ τὸν Δ, καὶ ἐκεῖνος ἄρα θὰ μετρῇ τὸν Δ· ὥστε θὰ μετρῇ καὶ τὸν Α (θεώρ. 12) πρῶτον ὄντα μὴ ὢν πρὸς αὐτὸν ὁ αὐτός· ὅπερ ἀδύνατον. Ὁ Α ἄρα μετρεῖ τὸν Ζ. Καὶ ἐπειδὴ ὁ Ε μετρεῖ τὸν Δ κατὰ τὸν Ζ, ὁ Ε ἄρα πολλαπλασιάσας τὸν Ζ δίδει τὸν Δ. Ἀλλ' ὅμως καὶ ὁ Α πολλαπλασιάσας τὸν Γ δίδει τὸν Δ (θεώρ. 11)· τὸ γινόμενον ἄρα τῶν Α, Γ εἶναι ἴσον πρὸς τὸ γινόμενον τῶν Ε, Ζ. Ἄρα ὑπάρχει ἡ ἀναλογία ὡς ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Ζ πρὸς τὸν Γ (VII. 19). Ὁ δὲ Α μετρεῖ τὸν Ε· καὶ ὁ Ζ ἄρα μετρεῖ τὸν Γ. Ἂς τὸν μετρῇ κατὰ τὸν Η. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι ὁ Η πρὸς οὐδένα τῶν Α, Β εἶναι ὁ αὐτός καὶ ὅτι μετρεῖται ὑπὸ τοῦ Α. Καὶ ἐπειδὴ ὁ Ζ μετρεῖ τὸν Γ κατὰ τὸν Η, ὁ Ζ ἄρα πολλαπλασιά-

16

Γ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν Α, Β ἴσος ἐστὶ τῷ ἐκ τῶν Ζ, Η. ἀνάλογον ἄρα ὡς ὁ Α πρὸς τὸν Ζ, ὁ Η πρὸς τὸν Β. μετρεῖ δὲ ὁ Α τὸν Ζ· μετρεῖ ἄρα καὶ ὁ Η τὸν Β. μετρείτω αὐτὸν κατὰ τὸν Θ. ὁμοίως δὴ δείξομεν, ὅτι ὁ Θ τῷ Α οὐκ ἔστιν ὁ αὐτός. καὶ ἐπεὶ ὁ Η τὸν Β μετρεῖ κατὰ τὸν Θ, ὁ Η ἄρα τὸν Θ πολλαπλασιάσας τὸν Β πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Α ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκεν· ὁ ἄρα ὑπὸ Θ, Η ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ Α τετραγώνῳ. ἔστιν ἄρα ὡς ὁ Θ πρὸς τὸν Α, ὁ Α πρὸς τὸν Η. μετρεῖ δὲ ὁ Α τὸν Η· μετρεῖ ἄρα καὶ ὁ Θ τὸν Α πρῶτον ὄντα μὴ ὢν αὐτῷ ὁ αὐτός· ὅπερ ἄτοπον. οὐκ ἄρα ὁ μέγιστος ὁ Δ ὑπὸ ἑτέρου ἀριθμοῦ μετρηθήσεται παρὲξ τῶν Α, Β, Γ· ὅπερ ἔδει δεῖξαι.

ιδ'.

Ἐὰν ἐλάχιστος ἀριθμὸς ὑπὸ πρώτων ἀριθμῶν μετρῆται, ὑπ' οὐδενὸς ἄλλου πρώτου ἀριθμοῦ μετρηθήσεται παρὲξ τῶν ἐξ ἀρχῆς μετρούντων.

Ἐλάχιστος γὰρ ἀριθμὸς ὁ Α ὑπὸ πρώτων ἀριθμῶν τῶν Β, Γ, Δ μετρείσθω· λέγω, ὅτι ὁ Α ὑπ' οὐδενὸς ἄλλου πρώτου ἀριθμοῦ μετρηθήσεται παρὲξ τῶν Β, Γ, Δ.



Εἰ γὰρ δυνατόν, μετρείσθω ὑπὸ πρώτου τοῦ Ε, καὶ ὁ Ε μηδενὶ τῶν Β, Γ, Δ ἔστω ὁ αὐτός. καὶ ἐπεὶ ὁ Ε τὸν Α μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν Ζ· ὁ Ε ἄρα τὸν Ζ πολλαπλασιάσας τὸν Α πεποίηκεν. καὶ μετρεῖται ὁ Α ὑπὸ πρώτων ἀριθμῶν τῶν Β, Γ, Δ. ἐὰν δὲ δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινα, τὸν δὲ γενόμενον ἐξ αὐτῶν μετρῇ τις πρῶτος ἀριθμός, καὶ ἕνα τῶν ἐξ ἀρχῆς μετρήσει· οἱ Β, Γ, Δ ἄρα ἕνα τῶν Ε, Ζ μετρήσουσιν. τὸν μὲν οὖν Ε οὐ μετρήσουσιν· ὁ γὰρ Ε πρῶτός ἐστι καὶ οὐδενὶ τῶν Β, Γ, Δ ὁ αὐτός. τὸν Ζ ἄρα μετροῦσιν ἐλάσσονα ὄντα τοῦ Α· ὅπερ ἀδύνατον. ὁ γὰρ Α ὑπόκειται ἐλάχιστος ὑπὸ τῶν Β, Γ, Δ μετρούμενος. οὐκ ἄρα τὸν Α μετρήσει πρῶτος ἀριθμὸς παρὲξ τῶν Β, Γ, Δ· ὅπερ ἔδει δεῖξαι.

ιε'.

Ἐὰν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, δύο ὁποιοιοῦν συντεθέντες πρὸς τὸν λοιπὸν πρῶτοί εἰσιν.

σας τὸν Η δίδει τὸν Γ. Ἀλλ' ὅμως καὶ ὁ Α πολλαπλασιάσας τὸν Β δίδει τὸν Γ (θεώρ. 11)· τὸ γινόμενον ἄρα τῶν Α, Β εἶναι ἴσον πρὸς τὸν γινόμενον τῶν Ζ, Η. Ὑπάρχει ἄρα ἡ ἀναλογία ὡς ὁ Α πρὸς τὸν Ζ, οὕτως ὁ Η πρὸς τὸν Β (VII. 19). Μετρεῖ δὲ ὁ Α τὸν Ζ· μετρεῖ ἄρα καὶ ὁ Η τὸν Β. Ἄς μετρῇ αὐτὸν κατὰ τὸν Θ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι ὁ Θ δὲν εἶναι ὁ αὐτὸς πρὸς τὸν Α. Καὶ ἐπειδὴ ὁ Η μετρεῖ τὸν Β κατὰ τὸν Θ, ὁ Η ἄρα πολλαπλασιάσας τὸν Θ δίδει τὸν Β. Ἀλλ' ὅμως καὶ ὁ Α πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει τὸν Β (θεώρ. 8)· τὸ γινόμενον ἄρα τῶν Θ, Η εἶναι ἴσον πρὸς τὸ τετράγωνον τοῦ Α. Εἶναι ἄρα ὡς ὁ Θ πρὸς τὸν Α, οὕτως ὁ Α πρὸς τὸν Η (VII. 19). Μετρεῖ δὲ ὁ Α τὸν Η· μετρεῖ ἄρα καὶ ὁ Θ τὸν Α πρῶτον ὄντα μὴ ὢν ὁ αὐτὸς πρὸς αὐτόν· ὅπερ ἄτοπον. Δὲν θὰ μετρῆται ἄρα ὁ μέγιστος ὁ Δ ὑπὸ ἄλλου ἀριθμοῦ ἐκτὸς τῶν Α, Β, Γ· ὅπερ ἔδει δεῖξαι.

14.

Ἐὰν ἐλάχιστος ἀριθμὸς μετρῆται ὑπὸ πρώτων ἀριθμῶν, ὑπὸ οὐδενὸς ἄλλου πρώτου ἀριθμοῦ θὰ μετρῆται ἐκτὸς τῶν ἐξ ἀρχῆς μετρούντων.

Διότι ἂς μετρῆται ὁ ἐλάχιστος ἀριθμὸς Α ὑπὸ τῶν πρώτων Β, Γ, Δ· λέγω, ὅτι ὁ Α ὑπὸ οὐδενὸς ἄλλου πρώτου ἀριθμοῦ θὰ μετρῆται ἐκτὸς τῶν Β, Γ, Δ.

Διότι, ἐὰν εἶναι δυνατόν, ἂς μετρῆται ὑπὸ πρώτου τινὸς τοῦ Ε, καὶ ὁ Ε νὰ μὴ εἶναι ὁ αὐτὸς πρὸς οὐδένα τῶν Β, Γ, Δ. Καὶ ἐπειδὴ ὁ Ε μετρεῖ τὸν Α, ἂς μετρῇ αὐτὸν κατὰ τὸν Ζ· ὁ Ε ἄρα πολλαπλασιάσας τὸν Ζ δίδει τὸν Α. Καὶ ὁ Α μετρεῖται ὑπὸ τῶν πρώτων ἀριθμῶν Β, Γ, Δ. Ἐὰν δὲ δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους δίδωσι γινόμενόν τι, τὸ δὲ γινόμενον τοῦτο μετρῇ ἀριθμός τις πρῶτος, θὰ μετρῇ καὶ ἕνα τῶν ἐξ ἀρχῆς (VII. 30). Ἄρα οἱ Β, Γ, Δ θὰ μετρήσωσιν ἕνα τῶν Ε, Ζ. Ὅμως δὲν θὰ μετρήσωσι τὸν Ε· διότι ὁ Ε εἶναι πρῶτος καὶ πρὸς οὐδένα τῶν Β, Γ, Δ ὁ αὐτός. Ἄρα μετροῦσι τὸν Ζ, ὁ ὁποῖος εἶναι μικρότερος τοῦ Α· ὅπερ ἀδύνατον. Διότι κατὰ τὴν ὑπόθεσιν ὁ Α εἶναι ὁ ἐλάχιστος μετρούμενος ὑπὸ τῶν Β, Γ, Δ. Δὲν θὰ μετρήσῃ ἄρα τὸν Α πρῶτος ἀριθμὸς ἄλλος ἐκτὸς τῶν Β, Γ, Δ· ὅπερ ἔδει δεῖξαι.

15.

Ἐὰν τρεῖς ἀριθμοὶ εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς αὐτούς, δύο οἱοιδήποτε προστεθέντες εἶναι πρὸς τὸν ἄλλον πρῶτοι.

Ἔστωσαν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς οἱ Α, Β, Γ· λέγω, ὅτι τῶν Α, Β, Γ δύο ὁποιοιοῦν συντεθέντες πρὸς τὸν λοιπὸν πρῶτοί εἰσιν, οἱ μὲν Α, Β πρὸς τὸν Γ, οἱ δὲ Β, Γ πρὸς τὸν Α καὶ ἔτι οἱ Α, Γ πρὸς τὸν Β.



Εἰλήφθωσαν γὰρ ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α, Β, Γ δύο οἱ ΔΕ, ΕΖ. φανερὸν δή, ὅτι ὁ μὲν ΔΕ ἑαυτὸν πολλαπλασιάσας τὸν Α πεποίηκεν, τὸν δὲ ΕΖ πολλαπλασιάσας τὸν Β πεποίηκεν, καὶ ἔτι ὁ ΕΖ ἑαυτὸν πολλαπλασιάσας τὸν Γ πεποίηκεν. καὶ ἐπεὶ οἱ ΔΕ, ΕΖ ἐλάχιστοί εἰσιν, πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ἐὰν δὲ δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, καὶ συναμφότερος πρὸς ἑκάτερον πρῶτός ἐστιν· καὶ ὁ ΔΖ ἄρα πρὸς ἑκάτερον τῶν ΔΕ, ΕΖ πρῶτός ἐστιν. ἀλλὰ μὴν καὶ ὁ ΔΕ πρὸς τὸν ΕΖ πρῶτός ἐστιν· οἱ ΔΖ, ΔΕ ἄρα πρὸς τὸν ΕΖ πρῶτοί εἰσιν. ἐὰν δὲ δύο ἀριθμοὶ πρός τινα ἀριθμὸν πρῶτοι ὦσιν, καὶ ὁ ἐξ αὐτῶν γενόμενος πρὸς τὸν λοιπὸν πρῶτός ἐστιν· ὥστε ὁ ἐκ τῶν ΖΔ, ΔΕ πρὸς τὸν ΕΖ πρῶτός ἐστιν· ὥστε καὶ ὁ ἐκ τῶν ΖΔ, ΔΕ πρὸς τὸν ἀπὸ τοῦ ΕΖ πρῶτός ἐστιν. [ἐὰν γὰρ δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ὁ ἐκ τοῦ ἑνὸς αὐτῶν γενόμενος πρὸς τὸν λοιπὸν πρῶτός ἐστιν]. ἀλλ' ὁ ἐκ τῶν ΖΔ, ΔΕ ὁ ἀπὸ τοῦ ΔΕ ἐστι μετὰ τοῦ ἐκ τῶν ΔΕ, ΕΖ· ὁ ἄρα ἀπὸ τοῦ ΔΕ μετὰ τοῦ ἐκ τῶν ΔΕ, ΕΖ πρὸς τὸν ἀπὸ τοῦ ΕΖ πρῶτός ἐστιν. καί ἐστιν ὁ μὲν ἀπὸ τοῦ ΔΕ ὁ Α, ὁ δὲ ἐκ τῶν ΔΕ, ΕΖ ὁ Β, ὁ δὲ ἀπὸ τοῦ ΕΖ ὁ Γ· οἱ Α, Β ἄρα συντεθέντες πρὸς τὸν Γ πρῶτοί εἰσιν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ οἱ Β, Γ πρὸς τὸν Α πρῶτοί εἰσιν. λέγω δή, ὅτι καὶ οἱ Α, Γ πρὸς τὸν Β πρῶτοί εἰσιν. ἐπεὶ γὰρ ὁ ΔΖ πρὸς ἑκάτερον τῶν ΔΕ, ΕΖ πρῶτός ἐστιν, καὶ ὁ ἀπὸ τοῦ ΔΖ πρὸς τὸν ἐκ τῶν ΔΕ, ΕΖ πρῶτός ἐστιν. ἀλλὰ τῷ ἀπὸ τοῦ ΔΖ ἴσοι εἰσὶν οἱ ἀπὸ τῶν ΔΕ, ΕΖ μετὰ τοῦ δὶς ἐκ τῶν ΔΕ, ΕΖ· καὶ οἱ ἀπὸ τῶν ΔΕ, ΕΖ ἄρα μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΕ, ΕΖ πρὸς τὸν ὑπὸ τῶν ΔΕ, ΕΖ πρῶτοί [εἰσι]. διελόντι οἱ ἀπὸ τῶν ΔΕ, ΕΖ μετὰ τοῦ ἅπαξ ὑπὸ ΔΕ, ΕΖ πρὸς τὸν ὑπὸ ΔΕ, ΕΖ πρῶτοί εἰσιν. ἔτι διελθόντι οἱ ἀπὸ τῶν ΔΕ, ΕΖ ἄρα πρὸς τὸν ὑπὸ ΔΕ, ΕΖ πρῶτοί εἰσιν. καί ἐστιν ὁ μὲν ἀπὸ τοῦ ΔΕ ὁ Α, ὁ δὲ ὑπὸ τῶν ΔΕ, ΕΖ ὁ Β, ὁ δὲ ἀπὸ τοῦ ΕΖ ὁ Γ. οἱ Α, Γ ἄρα συντεθέντες πρὸς τὸν Β πρῶτοί εἰσιν· ὅπερ ἔδει δεῖξαι.

Ἔστωσαν τρεῖς ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ ἐλάχιστοι ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς αὐτοὺς οἱ Α, Β, Γ· λέγω, ὅτι δύο οἱοιδήποτε ἐκ τῶν Α, Β, Γ προστεθέντες θὰ εἶναι πρὸς τὸν ἄλλον πρῶτοι, οἱ μὲν Α, Β πρὸς τὸν Γ, οἱ δὲ Β, Γ πρὸς τὸν Α καὶ ἀκόμη οἱ Α, Γ πρὸς τὸν Β.

Διότι ἂς ληφθῶσι δύο ἐλάχιστοι ἀριθμοὶ ἐκ τῶν ἐχόντων τὸν αὐτὸν λόγον πρὸς τοὺς Α, Β, Γ, οἱ ΔΕ, ΕΖ (VIII. 2). Εἶναι φανερόν, ὅτι ὁ μὲν ΔΕ πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει τὸν Α, τὸν δὲ ΕΖ πολλαπλασιάσας δίδει τὸν Β καὶ ἀκόμη ὁ ΕΖ πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει τὸν Γ (VIII. 2). Καὶ ἐπειδὴ οἱ ΔΕ, ΕΖ εἶναι ἐλάχιστοι, εἶναι πρῶτοι πρὸς ἀλλήλους (VII. 22). Ἐὰν δὲ δύο ἀριθμοὶ εἶναι πρῶτοι πρὸς ἀλλήλους, καὶ τὸ ἄθροισμα αὐτῶν πρὸς ἕκαστον ἀντιστοίχως θὰ εἶναι πρῶτος (VII. 28). Καὶ ὁ ΔΖ ἄρα πρὸς ἕκαστον τῶν ΔΕ, ΕΖ εἶναι πρῶτος. Ἀλλ' ὅμως καὶ ὁ ΔΕ εἶναι πρῶτος πρὸς τὸν ΕΖ· ἄρα οἱ ΔΖ, ΔΕ εἶναι πρῶτοι πρὸς τὸν ΕΖ. Ἐὰν δὲ δύο ἀριθμοὶ εἶναι πρῶτοι πρός τινα ἀριθμόν, καὶ τὸ γινόμενον αὐτῶν θὰ εἶναι πρὸς τὸν ἄλλον πρῶτος (VII. 24)· ὥστε τὸ γινόμενον τῶν ΖΔ, ΔΕ εἶναι πρὸς τὸν ΕΖ ἀριθμὸς πρῶτος· ὥστε καὶ τὸ γινόμενον τῶν ΖΔ, ΔΕ πρὸς τὸ τετράγωνον τοῦ ΕΖ εἶναι πρῶτος (VII. 25). [Διότι, ἐὰν δύο ἀριθμοὶ εἶναι πρῶτοι πρὸς ἀλλήλους, ὁ γινόμενος ἐκ τοῦ ἑνὸς ἐξ αὐτῶν (δηλ. τὸ τετράγωνον τοῦ ἑνός) εἶναι πρῶτος πρὸς τὸν ἄλλον]. Ἀλλὰ τὸ γινόμενον τῶν ΖΔ, ΔΕ εἶναι τὸ τετράγωνον τοῦ ΔΕ σὺν τὸ γινόμενον τῶν ΔΕ, ΕΖ (II. 3)· τὸ τετράγωνον ἄρα τοῦ ΔΕ μετὰ τοῦ γινομένου τῶν ΔΕ, ΕΖ εἶναι πρῶτος πρὸς τὸ τετράγωνον τοῦ ΕΖ. Καὶ τὸ μὲν τετράγωνον τοῦ ΔΕ εἶναι ὁ Α, τὸ δὲ γινόμενον τῶν ΔΕ, ΕΖ εἶναι ὁ Β, τὸ δὲ τετράγωνον τοῦ ΕΖ εἶναι ὁ Γ· τὸ ἄθροισμα ἄρα τῶν Α, Β πρὸς τὸν Γ εἶναι πρῶτοι. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ τὸ ἄθροισμα τῶν Β, Γ πρὸς τὸν Α εἶναι πρῶτοι. Λέγω τώρα, ὅτι καὶ τὸ ἄθροισμα τῶν Α, Γ πρὸς τὸν Β εἶναι πρῶτοι. Διότι, ἐπειδὴ ὁ ΔΖ εἶναι πρῶτος πρὸς ἕκαστον τῶν ΔΕ, ΕΖ, καὶ τὸ τετράγωνον τοῦ ΔΖ πρὸς τὸ γινόμενον τῶν ΔΕ, ΕΖ εἶναι πρῶτος (VII. 25). Ἀλλὰ πρὸς τὸ τετράγωνον τοῦ ΔΖ εἶναι ἴσα τὰ τετράγωνα τῶν ΔΕ, ΕΖ μετὰ τοῦ διπλασίου γινομένου τῶν ΔΕ, ΕΖ· καὶ τὰ τετράγωνα ἄρα τῶν ΔΕ, ΕΖ μετὰ τοῦ διπλασίου γινομένου τῶν ΔΕ, ΕΖ πρὸς τὸ γινόμενον τῶν ΔΕ, ΕΖ εἶναι πρῶτοι. Δι' ἀφαιρέσεως (τοῦ ΔΕ×ΕΖ), τὰ τετράγωνα τῶν ΔΕ, ΕΖ μετὰ τοῦ ἅπαξ ληφθέντος γινομένου τῶν ΔΕ, ΕΖ εἶναι πρὸς τὸ γινόμενον τῶν ΔΕ, ΕΖ πρῶτοι. Καὶ δι' ἄλλης ἀφαιρέσεως (τοῦ ΔΕ×ΕΖ), τὰ τετράγωνα ἄρα τῶν ΔΕ, ΕΖ πρὸς τὸ γινόμενον τῶν ΔΕ, ΕΖ εἶναι πρῶτοι. Καὶ εἶναι τὸ μὲν τετράγωνον τοῦ ΔΕ ὁ Α, τὸ δὲ γινόμενον τῶν ΔΕ, ΕΖ ὁ Β, τὸ δὲ τετράγωνον τοῦ ΕΖ ὁ Γ· τὸ ἄθροισμα ἄρα τῶν Α, Γ πρὸς τὸν Β εἶναι πρῶτοι· ὅπερ ἔδει δεῖξαι.

ις'.

Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, οὐκ ἔσται ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον, οὕτως ὁ δεύτερος πρὸς ἄλλον τινά.

Δύο γὰρ ἀριθμοὶ οἱ Α, Β πρῶτοι πρὸς ἀλλήλους ἔστωσαν· λέγω, ὅτι οὐκ ἔστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς ἄλλον τινά.



Εἰ γὰρ δυνατόν, ἔστω ὡς ὁ Α πρὸς τὸν Β, ὁ Β πρὸς τὸν Γ. οἱ δὲ Α, Β πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Α τὸν Β ὡς ἡγούμενος ἡγούμενον· μετρεῖ δὲ καὶ ἑαυτόν· ὁ Α ἄρα τοὺς Α, Β μετρεῖ πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἄτοπον. οὐκ ἄρα ἔσται ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Γ· ὅπερ ἔδει δεῖξαι.

ιζ'.

Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, οἱ δὲ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὦσιν, οὐκ ἔσται ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον, οὕτως ὁ ἔσχατος πρὸς ἄλλον τινά.

Ἔστωσαν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Α, Β, Γ, Δ, οἱ δὲ ἄκροι αὐτῶν οἱ Α, Δ πρῶτοι πρὸς ἀλλήλους ἔστωσαν· λέγω, ὅτι οὐκ ἔστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς ἄλλον τινά.



Εἰ γὰρ δυνατόν, ἔστω ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Δ, ὁ Β πρὸς τὸν Ε. οἱ δὲ Α, Δ πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον. μετρεῖ ἄρα ὁ Α τὸν Β. καί ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, ὁ Β πρὸς τὸν Γ. καὶ ὁ Β ἄρα τὸν Γ μετρεῖ· ὥστε καὶ ὁ Α τὸν Γ μετρεῖ. καὶ ἐπεί ἐστιν ὡς ὁ Β πρὸς τὸν Γ, ὁ Γ πρὸς τὸν Δ, μετρεῖ δὲ ὁ Β τὸν Γ, μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ. ἀλλ' ὁ Α τὸν Γ ἐμέτρει· ὥστε ὁ Α καὶ τὸν Δ μετρεῖ. μετρεῖ δὲ καὶ ἑαυτόν. ὁ Α ἄρα τοὺς Α, Δ μετρεῖ πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἔσται ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς ἄλλον τινά· ὅπερ ἔδει δεῖξαι.

16.

Ἐὰν δύο ἀριθμοὶ εἶναι πρῶτοι πρὸς ἀλλήλους, δὲν θὰ εἶναι ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον, οὕτως ὁ δεύτερος πρὸς ἄλλον τινά.

Διότι ἔστωσαν δύο ἀριθμοὶ οἱ Α, Β πρῶτοι πρὸς ἀλλήλους· λέγω, ὅτι εἶναι ἀδύνατον νὰ εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς ἄλλον τινά.

Διότι, ἐὰν εἶναι δυνατόν, ἔστω ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Γ. Οἱ δὲ Α, Β εἶναι πρῶτοι, οἱ δὲ πρῶτοι εἶναι καὶ ἐλάχιστοι (VII. 21), οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς ἔχοντας τὸν αὐτὸν λόγον ἰσάκις καὶ ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον (VII. 20)· μετρεῖ ἄρα ὁ Α τὸν Β ὡς ἡγούμενος ἡγούμενον. Μετρεῖ δὲ καὶ τὸν ἑαυτόν του· ὁ Α ἄρα μετρεῖ τοὺς Α, Β πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἄτοπον. Δὲν θὰ εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Γ· ὅπερ ἔδει δεῖξαι.

17.

Ἐὰν ὑπάρχωσιν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ, οἱ δὲ ἄκροι αὐτῶν εἶναι πρῶτοι πρὸς ἀλλήλους, δὲν θὰ εἶναι ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον, οὕτως ὁ τελευταῖος πρὸς ἄλλον τινά.

Ἔστωσαν ὁσοιδήποτε ἀριθμοὶ ἐν συνεχεῖ ἀναλογίᾳ οἱ Α, Β, Γ, Δ, οἱ δὲ ἄκροι αὐτῶν οἱ Α, Δ ἔστωσαν πρῶτοι πρὸς ἀλλήλους· λέγω, ὅτι εἶναι ἀδύνατον νὰ εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς ἄλλον τινά.

Διότι, ἐὰν εἶναι δυνατὸν, ἔστω ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε· ἐναλλὰξ ἄρα εἶναι ὡς ὁ Α πρὸς τὸν Δ, οὕτως ὁ Β πρὸς τὸν Ε (VII. 13). Οἱ δὲ Α, Δ εἶναι πρῶτοι, οἱ δὲ πρῶτοι εἶναι καὶ ἐλάχιστοι (VII. 21), οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς ἔχοντας τὸν αὐτὸν λόγον ἰσάκις καὶ ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον (VII. 20). Μετρεῖ ἄρα ὁ Α τὸν Β. Καὶ εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Γ. Καὶ ὁ Β ἄρα μετρεῖ τὸν Γ (VII. ὁρ. 21)· ὥστε καὶ ὁ Α μετρεῖ τὸν Γ. Καὶ ἐπειδὴ εἶναι ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Γ πρὸς τὸν Δ, μετρεῖ δὲ ὁ Β τὸν Γ, μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ (VII. 21)· Ἀλλ' ὁ Α ἐμέτρει τὸν Γ· ὥστε ὁ Α μετρεῖ καὶ τὸν Δ. Μετρεῖ δὲ καὶ τὸν ἑαυτόν του. Ὁ Α ἄρα μετρεῖ τοὺς Α, Δ πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἀδύνατον. Δὲν θὰ εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς ἄλλον τινά· ὅπερ ἔδει δεῖξαι.

ιη'.

Δύο ἀριθμῶν δοθέντων ἐπισκέψασθαι, εἰ δυνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν.

Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ Α, Β, καὶ δέον ἔστω ἐπισκέψασθαι, εἰ δυνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν.



Οἱ δὴ Α, Β ἤτοι πρῶτοι πρὸς ἀλλήλους εἰσὶν ἢ οὔ. καὶ εἰ πρῶτοι πρὸς ἀλλήλους εἰσίν, δέδεικται, ὅτι ἀδύνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν.

Ἀλλὰ δὴ μὴ ἔστωσαν οἱ Α, Β πρῶτοι πρὸς ἀλλήλους, καὶ ὁ Β ἑαυτὸν πολλαπλασιάσας τὸν Γ ποιείτω. ὁ Α δὴ τὸν Γ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω πρότερον κατὰ τὸν Δ· ὁ Α ἄρα τὸν Δ πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Β ἑαυτὸν πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν Α, Δ ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ Β. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, ὁ Β πρὸς τὸν Δ· τοῖς Α, Β ἄρα τρίτος ἀριθμὸς ἀνάλογον προσηύρηται ὁ Δ.

Ἀλλὰ δὴ μὴ μετρείτω ὁ Α τὸν Γ· λέγω, ὅτι τοῖς Α, Β ἀδύνατόν ἐστι τρίτον ἀνάλογον προσευρεῖν ἀριθμόν. εἰ γὰρ δυνατόν, προσηυρήσθω ὁ Δ. ὁ ἄρα ἐκ τῶν Α, Δ ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ Β. ὁ δὲ ἀπὸ τοῦ Β ἐστιν ὁ Γ· ὁ ἄρα ἐκ τῶν Α, Δ ἴσος ἐστὶ τῷ Γ. ὥστε ὁ Α τὸν Δ πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ Α ἄρα τὸν Γ μετρεῖ κατὰ τὸν Δ. ἀλλὰ μὴν ὑπόκειται καὶ μὴ μετρῶν· ὅπερ ἄτοπον. οὐκ ἄρα δυνατόν ἐστι τοῖς Α, Β τρίτον ἀνάλογον προσευρεῖν ἀριθμόν, ὅταν ὁ Α τὸν Γ μὴ μετρῇ· ὅπερ ἔδει δεῖξαι.

ιθ'.

Τριῶν ἀριθμῶν δοθέντων ἐπισκέψασθαι, πότε δυνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν.

Ἔστωσαν οἱ δοθέντες τρεῖς ἀριθμοὶ οἱ Α, Β, Γ, καὶ δέον ἔστω ἐπισκέψασθαι, πότε δυνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν.

Ἤτοι οὖν οὔκ εἰσιν ἑξῆς ἀνάλογον, καὶ οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσίν, ἢ ἑξῆς εἰσιν ἀνάλογον, καὶ οἱ ἄκροι αὐτῶν οὔκ εἰσι πρῶτοι πρὸς ἀλλήλους, ἢ οὔτε ἑξῆς εἰσιν ἀνάλογον, οὔτε οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσίν, ἢ καὶ ἑξῆς εἰσιν ἀνάλογον, καὶ οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Εἰ μὲν οὖν οἱ Α, Β, Γ ἑξῆς εἰσιν ἀνάλογον, καὶ οἱ ἄκροι αὐτῶν οἱ Α, Γ

18.

Δύο ἀριθμῶν δοθέντων νὰ ἐξετασθῇ, ἐὰν εἶναι δυνατὸν νὰ εὑρεθῇ τρίτος ἀνάλογος πρὸς αὐτούς.

Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ Α, Β καὶ ἔστω, ὅτι πρέπει νὰ ἐξετασθῇ, ἐὰν εἶναι δυνατὸν νὰ εὑρεθῇ τρίτος ἀνάλογος πρὸς αὐτούς.

Οἱ Α, Β ἢ θὰ εἶναι πρῶτοι πρὸς ἀλλήλους ἢ ὄχι. Καὶ ἐὰν εἶναι πρῶτοι πρὸς ἀλλήλους, ἀπεδείχθη ἤδη (θεώρ. 16), ὅτι εἶναι ἀδύνατον νὰ εὑρεθῇ πρὸς αὐτοὺς τρίτος ἀνάλογος.

Ἀλλὰ τώρα ἔστωσαν οἱ Α, Β μὴ πρῶτοι πρὸς ἀλλήλους καὶ ὁ Β πολλαπλασιάσας τὸν ἑαυτόν του ἂς δίδῃ τὸν Γ. Ὁ Α τώρα ἢ θὰ μετρῇ τὸν Γ ἢ δὲν θὰ τὸν μετρῇ. Ἂς τὸν μετρῇ πρῶτον κατὰ τὸν Δ· ὁ Α ἄρα τὸν Δ πολλαπλασιάσας δίδει τὸν Γ· ἀλλ' ὅμως καὶ ὁ Β πολλαπλασιάσας τὸν ἑαυτόν του δίδει τὸν Γ· τὸ γινόμενον ἄρα τῶν Α, Δ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τοῦ Β. Εἶναι ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Δ (VII. 19)· πρὸς τοὺς Α, Β ἄρα εὑρέθη τρίτος ἀνάλογος ἀριθμὸς ὁ Δ.

Ἀλλὰ τώρα ἂς μὴ μετρῇ ὁ Α τὸν Γ· λέγω, ὅτι πρὸς τοὺς Α, Β εἶναι ἀδύνατον νὰ εὑρεθῇ τρίτος ἀνάλογος ἀριθμός. Διότι, ἐὰν εἶναι δυνατόν, ἂς ἔχῃ εὑρεθῇ ὁ Δ. Τὸ γινόμενον ἄρα τῶν Α, Δ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τοῦ Β (VII. 19). Τὸ δὲ τετράγωνον τοῦ Β εἶναι ὁ Γ. Ὥστε ὁ Α πολλαπλασιάσας τὸν Δ δίδει τὸν Γ· ὁ Α ἄρα μετρεῖ τὸν Γ κατὰ τὸν Δ· ἀλλὰ κατὰ τὴν ὑπόθεσιν καὶ δὲν τὸν μετρεῖ· ὅπερ ἄτοπον. Ἄρα δὲν εἶναι δυνατὸν νὰ εὑρεθῇ πρὸς τοὺς Α, Β τρίτος ἀνάλογος ἀριθμός, ὅταν ὁ Α δὲν μετρῇ τὸν Γ· ὅπερ ἔδει δεῖξαι.

19.

Τριῶν ἀριθμῶν δοθέντων νὰ ἐξετασθῇ πότε εἶναι δυνατὸν νὰ εὑρεθῇ πρὸς αὐτοὺς τέταρτος ἀνάλογος.

Ἔστωσαν οἱ δοθέντες τρεῖς ἀριθμοὶ οἱ Α, Β, Γ καὶ ἔστω, ὅτι πρέπει νὰ ἐξετασθῇ, πότε εἶναι δυνατὸν νὰ εὑρεθῇ πρὸς αὐτοὺς τέταρτος ἀνάλογος.

Οὗτοι ἢ δὲν θὰ εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ καὶ οἱ ἄκροι αὐτῶν θὰ εἶναι πρῶτοι πρὸς ἀλλήλους, ἢ θὰ εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ καὶ οἱ ἄκροι αὐτῶν δὲν θὰ εἶναι πρῶτοι πρὸς ἀλλήλους, ἢ οὔτε ἐν συνεχεῖ ἀναλογίᾳ θὰ εἶναι, οὔτε οἱ ἄκροι αὐτῶν θὰ εἶναι πρῶτοι πρὸς ἀλλήλους, ἢ θὰ εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ καὶ οἱ ἄκροι αὐτῶν θὰ εἶναι πρῶτοι πρὸς ἀλλήλους.

Ἐὰν μὲν λοιπὸν οἱ Α, Β, Γ εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ καὶ οἱ ἄκροι *πρῶτοι πρὸς ἀλλήλους εἰσίν, δέδεικται, ὅτι ἀδύνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν ἀριθμόν. μὴ ἔστωσαν δὴ οἱ Α, Β, Γ ἑξῆς ἀνάλογον τῶν ἄκρων πάλιν ὄντων πρώτων πρὸς ἀλλήλους. λέγω, ὅτι καὶ οὕτως ἀδύνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν. εἰ γὰρ δυνατόν, προσευρήσθω ὁ Δ, ὥστε εἶναι ὡς τὸν Α πρὸς τὸν Β, τὸν Γ πρὸς τὸν Δ, καὶ γεγονέτω ὡς ὁ Β πρὸς τὸν Γ, ὁ Δ πρὸς τὸν Ε. καὶ ἐπεί ἐστιν ὡς μὲν ὁ Α πρὸς τὸν Β, ὁ Γ πρὸς τὸν Δ, ὡς δὲ ὁ Β πρὸς τὸν Γ, ὁ Δ πρὸς τὸν Ε, δι' ἴσου ἄρα ὡς ὁ Α πρὸς τὸν Γ, ὁ Γ πρὸς τὸν Ε. οἱ δὲ Α, Γ πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον. μετρεῖ ἄρα ὁ Α τὸν Γ ὡς ἡγούμενος ἡγούμενον. μετρεῖ δὲ καὶ ἑαυτόν· ὁ Α ἄρα τοὺς Α, Γ μετρεῖ πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τοῖς Α, Β, Γ δυνατόν ἐστιν τέταρτον ἀνάλογον προσευρεῖν.*

Ἀλλὰ δὴ πάλιν ἔστωσαν οἱ Α, Β, Γ ἑξῆς ἀνάλογον, οἱ δὲ Α, Γ μὴ ἔστωσαν πρῶτοι πρὸς ἀλλήλους. λέγω, ὅτι δυνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν. ὁ γὰρ Β τὸν Γ πολλαπλασιάσας τὸν Δ ποιείτω· ὁ Α ἄρα τὸν Δ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω αὐτὸν πρότερον κατὰ τὸν Ε· ὁ Α ἄρα τὸν Ε πολλαπλασιάσας τὸν Δ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Β τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν Α, Ε ἴσος ἐστὶ τῷ ἐκ τῶν Β, Γ. ἀνάλογον ἄρα [ἐστίν] ὡς ὁ Α πρὸς τὸν Β, ὁ Γ πρὸς τὸν Ε· τοῖς Α, Β, Γ ἄρα τέταρτος ἀνάλογον προσηύρηται ὁ Ε.

Ἀλλὰ δὴ μὴ μετρείτω ὁ Α τὸν Δ· λέγω, ὅτι ἀδύνατόν ἐστι τοῖς Α, Β, Γ τέταρτον ἀνάλογον προσευρεῖν ἀριθμόν. εἰ γὰρ δυνατόν, προσευρήσθω ὁ Ε· ὁ ἄρα ἐκ τῶν Α, Ε ἴσος ἐστὶ τῷ ἐκ τῶν Β, Γ. ἀλλὰ ὁ ἐκ τῶν Β, Γ ἐστιν ὁ Δ· καὶ ὁ ἐκ τῶν Α, Ε ἄρα ἴσος ἐστὶ τῷ Δ. ὁ Α ἄρα τὸν Ε πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ Α ἄρα τὸν Δ μετρεῖ κατὰ τὸν Ε· ὥστε μετρεῖ ὁ Α τὸν Δ. ἀλλὰ καὶ οὐ μετρεῖ· ὅπερ ἄτοπον. οὐκ ἄρα δυνατόν ἐστι τοῖς Α, Β, Γ τέταρτον ἀνάλογον προσευρεῖν ἀριθμόν, ὅταν ὁ Α τὸν Δ μὴ μετρῇ. ἀλλὰ δὴ οἱ Α, Β, Γ μήτε ἑξῆς ἔστωσαν ἀνάλογον μήτε οἱ ἄκροι πρῶτοι πρὸς ἀλλήλους. καὶ ὁ Β τὸν Γ πολλαπλασιάσας τὸν Δ ποιείτω. ὁμοίως δὴ δειχθήσεται, ὅτι εἰ μὲν μετρεῖ ὁ Α τὸν Δ, δυνατόν ἐστιν αὐτοῖς ἀνάλογον προσευρεῖν, εἰ δὲ οὐ μετρεῖ, ἀδύνατον· ὅπερ ἔδει δεῖξαι.

κ΄.

Οἱ πρῶτοι ἀριθμοὶ πλείους εἰσὶ παντὸς τοῦ προτεθέντος πλήθους πρώτων ἀριθμῶν.

αὐτῶν οἱ Α, Γ εἶναι πρῶτοι πρὸς ἀλλήλους, ἔχει ἀποδειχθῆ, ὅτι εἶναι ἀδύνατον νὰ εὑρεθῇ πρὸς αὐτοὺς ἀριθμὸς τέταρτος ἀνάλογος (θεώρ. 17). Ἂς μὴ εἶναι τώρα οἱ Α, Β, Γ ἐν συνεχεῖ ἀναλογίᾳ, ἐν ᾧ οἱ ἄκροι πάλιν νὰ εἶναι πρῶτοι πρὸς ἀλλήλους. Λέγω, ὅτι καὶ τοιουτοτρόπως εἶναι ἀδύνατον νὰ εὑρεθῇ τέταρτος ἀνάλογος πρὸς αὐτούς. Διότι, ἐὰν εἶναι δυνατόν, ἂς εὑρεθῇ ὁ Δ, ὥστε νὰ εἶναι ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ, καὶ ἂς ληφθῇ ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ε. Καὶ ἐπειδὴ εἶναι ὡς μὲν ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ, ὡς δὲ ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ε, δι' ἴσου ἄρα εἶναι ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Γ πρὸς τὸν Ε (VII. 14). Οἱ δὲ Α, Γ εἶναι πρῶτοι, οἱ δὲ πρῶτοι εἶναι καὶ ἐλάχιστοι (VII. 21), οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς ἔχοντας τὸν αὐτὸν λόγον καὶ ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον (VII. 20). Μετρεῖ ἄρα ὁ Α τὸν Γ ὡς ἡγούμενος ἡγούμενον. Μετρεῖ δὲ καὶ τὸν ἑαυτόν του· ὁ Α ἄρα μετρεῖ τοὺς Α, Γ πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἀδύνατον. Δὲν εἶναι ἄρα δυνατὸν νὰ εὑρεθῇ τέταρτος ἀνάλογος πρὸς τοὺς Α,Β,Γ.

Ἀλλὰ πάλιν ἔστωσαν οἱ Α, Β, Γ ἐν συνεχεῖ ἀναλογίᾳ, οἱ δὲ Α,Γ ἂς μὴ εἶναι πρῶτοι πρὸς ἀλλήλους. Λέγω, ὅτι εἶναι δυνατὸν νὰ εὑρεθῇ τέταρτος ἀνάλογος πρὸς αὐτούς. Διότι ὁ Β πολλαπλασιάσας τὸν Γ ἂς δίδῃ τὸν Δ· ὁ Α ἄρα ἢ μετρεῖ τὸν Δ ἢ δὲν τὸν μετρεῖ. Ἂς τὸν μετρῇ πρῶτον κατὰ τὸν Ε· ὁ Α ἄρα πολλαπλασιάσας τὸν Ε δίδει τὸν Δ. Ἀλλ' ὅμως καὶ ὁ Β πολλαπλασιάσας τὸν Γ δίδει τὸν Δ· τὸ γινόμενον ἄρα τῶν Α, Ε εἶναι ἴσον πρὸς τὸ γινόμενον τῶν Β,Γ. Ἄρα ὑπάρχει ἡ ἀναλογία ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Ε (VII. 19)· πρὸς τοὺς Α, Β, Γ ἄρα εὑρέθη τέταρτος ἀνάλογος ὁ Ε.

Ἀλλὰ τώρα ἂς μὴ μετρῇ ὁ Α τὸν Δ· λέγω, ὅτι εἶναι ἀδύνατον νὰ εὑρεθῇ τέταρτος ἀνάλογος ἀριθμὸς πρὸς τοὺς Α, Β, Γ. Διότι, ἐὰν εἶναι δυνατόν, ἂς εὑρεθῇ ὁ Ε. Τὸ γινόμενον ἄρα τῶν Α, Ε εἶναι ἴσον πρὸς τὸ γινόμενον τῶν Β, Γ (VII. 19). Ἀλλὰ τὸ γινόμενον τῶν Β, Γ εἶναι ὁ Δ· καὶ τὸ γινόμενον ἄρα τῶν Α, Ε εἶναι ἴσον πρὸς τὸν Δ. Ὁ Α ἄρα πολλαπλασιάσας τὸν Ε δίδει τὸν Δ· ὁ Α ἄρα μετρεῖ τὸν Δ κατὰ τὸν Ε· ὥστε μετρεῖ ὁ Α τὸν Δ. Ἀλλὰ καὶ δὲν τὸν μετρεῖ· ὅπερ ἄτοπον. Δὲν εἶναι ἄρα δυνατὸν νὰ εὑρεθῇ τέταρτος ἀνάλογος ἀριθμὸς πρὸς τοὺς Α, Β, Γ, ὅταν ὁ Α δὲν μετρῇ τὸν Δ. Ἀλλὰ τέλος οἱ Α, Β, Γ ἂς μὴ εἶναι ἐν συνεχεῖ ἀναλογίᾳ, οὔτε οἱ ἄκροι νὰ εἶναι πρῶτοι πρὸς ἀλλήλους. Καὶ ὁ Β πολλαπλασιάσας τὸν Γ ἂς δίδῃ τὸν Δ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι ἐὰν μὲν ὁ Α μετρῇ τὸν Δ, εἶναι δυνατὸν νὰ εὑρεθῇ τέταρτος ἀνάλογος πρὸς αὐτούς, ἐὰν δὲ δὲν τὸν μετρῇ, εἶναι ἀδύνατον· ὅπερ ἔδει δεῖξαι.

20.

Οἱ πρῶτοι ἀριθμοὶ εἶναι περισσότεροι παντὸς τοῦ προτεθέντος πλήθους πρώτων ἀριθμῶν.

Ἔστωσαν οἱ προτεθέντες πρῶτοι ἀριθμοὶ οἱ Α, Β, Γ· λέγω, ὅτι τῶν Α, Β, Γ πλείους εἰσὶ πρῶτοι ἀριθμοί.

Εἰλήφθω γὰρ ὁ ὑπὸ τῶν Α, Β, Γ ἐλάχιστος μετρούμενος καὶ ἔστω ὁ ΔΕ, καὶ προσκείσθω τῷ ΔΕ μονὰς ἡ ΔΖ. ὁ δὴ ΕΖ ἤτοι πρῶτός ἐστιν ἢ οὔ. ἔστω πρότερον πρῶτος· εὑρημένοι ἄρα εἰσὶ πρῶτοι ἀριθμοὶ οἱ Α, Β, Γ, ΕΖ πλείους τῶν Α, Β, Γ.



Ἀλλὰ δὴ μὴ ἔστω ὁ ΕΖ πρῶτος· ὑπὸ πρώτου ἄρα τινὸς ἀριθμοῦ μετρεῖται. μετρείσθω ὑπὸ πρώτου τοῦ Η· λέγω, ὅτι ὁ Η οὐδενὶ τῶν Α, Β, Γ ἐστιν ὁ αὐτός. εἰ γὰρ δυνατόν, ἔστω. οἱ δὲ Α, Β, Γ τὸν ΔΕ μετροῦσιν· καὶ ὁ Η ἄρα τὸν ΔΕ μετρήσει. μετρεῖ δὲ καὶ τὸν ΕΖ· καὶ λοιπὴν τὴν ΔΖ μονάδα μετρήσει ὁ Η ἀριθμὸς ὤν· ὅπερ ἄτοπον. οὐκ ἄρα ὁ Η ἑνὶ τῶν Α, Β, Γ ἐστιν ὁ αὐτός. καὶ ὑπόκειται πρῶτος. εὑρημένοι ἄρα εἰσὶ πρῶτοι ἀριθμοὶ πλείους τοῦ προτεθέντος πλήθους τῶν Α, Β, Γ οἱ Α, Β, Γ, Η· ὅπερ ἔδει δεῖξαι.

κα.ʹ

Ἐὰν ἄρτιοι ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, ὁ ὅλος ἄρτιός ἐστιν.

Συγκείσθωσαν γὰρ ἄρτιοι ἀριθμοὶ ὁποσοιοῦν οἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ· λέγω, ὅτι ὅλος ὁ ΑΕ ἄρτιός ἐστιν.



Ἐπεὶ γὰρ ἕκαστος τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΕ ἄρτιός ἐστιν, ἔχει μέρος ἥμισυ· ὥστε καὶ ὅλος ὁ ΑΕ ἔχει μέρος ἥμισυ. ἄρτιος δὲ ἀριθμός ἐστιν ὁ δίχα διαιρούμενος· ἄρτιος ἄρα ἐστὶν ὁ ΑΕ· ὅπερ ἔδει δεῖξαι.

κβ.ʹ

Ἐὰν περισσοὶ ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, τὸ δὲ πλῆθος αὐτῶν ἄρτιον ᾖ, ὁ ὅλος ἄρτιος ἔσται.

Συγκείσθωσαν γὰρ περισσοὶ ἀριθμοὶ ὁσοιδηποτοῦν ἄρτιοι τὸ πλῆθος οἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ· λέγω, ὅτι ὅλος ὁ ΑΕ ἄρτιός ἐστιν.



Ἐπεὶ γὰρ ἕκαστος τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΕ περιττός ἐστιν, ἀφαιρεθείσης μονάδος ἀφ᾽ ἑκάστου ἕκαστος τῶν λοιπῶν ἄρτιος ἔσται· ὥστε καὶ ὁ συγκείμενος ἐξ αὐτῶν ἄρτιος ἔσται. ἔστι

Ἔστωσαν οἱ προτεθέντες πρῶτοι ἀριθμοὶ οἱ Α, Β, Γ· λέγω, ὅτι τῶν Α, Β, Γ ὑπάρχουσι περισσότεροι πρῶτοι ἀριθμοί.

Διότι ἂς ληφθῇ ὁ ἐλάχιστος μετρούμενος ὑπὸ τῶν Α, Β, Γ (VII. 36) καὶ ἔστω ὁ ΔΕ καὶ ἂς προστεθῇ εἰς τὸν ΔΕ ἡ μονὰς ΔΖ. Ὁ ΕΖ ἢ εἶναι πρῶτος ἢ δὲν εἶναι. Ἔστω προηγουμένως, ὅτι εἶναι πρῶτος· συνεπῶς ἔχομεν εὕρει πρώτους ἀριθμοὺς τοὺς Α, Β, Γ, ΕΖ περισσοτέρους τῶν Α, Β, Γ.

Ἀλλὰ τώρα ἔστω, ὅτι ὁ ΕΖ δὲν εἶναι πρῶτος· ἄρα θὰ μετρῆται ὑπό τινος πρώτου ἀριθμοῦ (VII. 31). Ἂς μετρῆται ὑπὸ τοῦ πρώτου Η· λέγω, ὅτι ὁ Η πρὸς οὐδένα τῶν Α, Β, Γ εἶναι ὁ αὐτός. Διότι, ἐὰν εἶναι δυνατόν, ἔστω ὅτι εἶναι πρός τινα ὁ αὐτός. Οἱ δὲ Α, Β, Γ μετροῦσι τὸν ΔΕ· καὶ ὁ Η ἄρα μετρεῖ τὸν ΔΕ. Μετρεῖ δὲ καὶ τὸν ΕΖ· θὰ μετρῇ συνεπῶς καὶ τὴν διαφορὰν αὐτῶν, τὴν μονάδα ΔΖ, ὁ Η ἀριθμός ὤν· ὅπερ ἄτοπον. Δὲν εἶναι ἄρα ὁ Η ὁ αὐτὸς πρὸς οὐδένα τῶν ἀριθμῶν Α, Β, Γ. Καὶ κατὰ τὴν ὑπόθεσιν εἶναι πρῶτος. Ἄρα εὑρέθησαν περισσότεροι πρῶτοι ἀριθμοὶ τοῦ προτεθέντος πλήθους τῶν Α, Β, Γ οἱ Α, Β, Γ, Η· ὅπερ ἔδει δεῖξαι.

21.

Ἐὰν ὁσοιδήποτε ἄρτιοι ἀριθμοὶ προστεθῶσι, τὸ ἄθροισμα αὐτῶν εἶναι ἄρτιος.

Διότι ἂς προστεθῶσιν ὁσοιδήποτε ἀριθμοὶ ἄρτιοι οἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ· λέγω, ὅτι τὸ ἄθροισμα αὐτῶν ΑΕ εἶναι ἄρτιος.

Διότι, ἐπειδὴ ἕκαστος τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΕ εἶναι ἄρτιος, ἔχει μέρος ἥμισυ (VII. ὁρ. 6)· ὥστε καὶ τὸ ἄθροισμα ΑΕ ἔχει μέρος ἥμισυ. Ὁ ἀριθμὸς δὲ ὁ διαιρούμενος διὰ δύο εἶναι ἄρτιος· ἄρα ὁ ΑΕ εἶναι ἄρτιος· ὅπερ ἔδει δεῖξαι.

22.

Ἐὰν προστεθῶσιν ὁσοιδήποτε περιττοὶ ἀριθμοί, τὸ δὲ πλῆθος αὐτῶν εἶναι ἄρτιος, τὸ ἄθροισμα θὰ εἶναι ἄρτιος.

Διότι ἂς προστεθῶσιν ὁσοιδήποτε περιττοὶ ἀριθμοί, τῶν ὁποίων τὸ πλῆθος εἶναι ἀριθμὸς ἄρτιος οἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ· λέγω, ὅτι τὸ ἄθροισμα ΑΕ εἶναι ἄρτιος.

Διότι, ἐπειδὴ ἕκαστος τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΕ εἶναι περιττός, ἀφοῦ ἀφαιρεθῇ ἡ μονὰς ἀπὸ ἑκάστου, ἕκαστος τῶν ἀπομενόντων θὰ εἶναι ἄρτιος (VII. ὁρ. 7)· ὥστε καὶ τὸ ἄθροισμα αὐτῶν θὰ εἶναι ἄρτιος (θεώρ. 21).

δὲ καὶ τὸ πλῆθος τῶν μονάδων ἄρτιον. καὶ ὅλος ἄρα ὁ ΑΕ ἄρτιός ἐστιν· ὅπερ ἔδει δεῖξαι.

κγ΄.

Ἐὰν περισσοὶ ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, τὸ δὲ πλῆθος αὐτῶν περισσὸν ᾖ, καὶ ὁ ὅλος περισσὸς ἔσται.

Συγκείσθωσαν γὰρ ὁποσοιοῦν περισσοὶ ἀριθμοί, ὧν τὸ πλῆθος περισσὸν ἔστω, οἱ ΑΒ, ΒΓ, ΓΔ· λέγω, ὅτι καὶ ὅλος ὁ ΑΔ περισσός ἐστιν.



Ἀφῃρήσθω ἀπὸ τοῦ ΓΔ μονὰς ἡ ΔΕ· λοιπὸς ἄρα ὁ ΓΕ ἄρτιός ἐστιν. ἔστι δὲ καὶ ὁ ΓΑ ἄρτιος· καὶ ὅλος ἄρα ὁ ΑΕ ἄρτιός ἐστιν. καί ἐστι μονὰς ἡ ΔΕ. περισσὸς ἄρα ἐστὶν ὁ ΑΔ· ὅπερ ἔδει δεῖξαι.

κδ΄.

Ἐὰν ἀπὸ ἀρτίου ἀριθμοῦ ἄρτιος ἀφαιρεθῇ, ὁ λοιπὸς ἄρτιος ἔσεται.

Ἀπὸ γὰρ ἀρτίου τοῦ ΑΒ ἄρτιος ἀφῃρήσθω ὁ ΒΓ· λέγω, ὅτι ὁ λοιπὸς ὁ ΓΑ ἄρτιός ἐστιν.



Ἐπεὶ γὰρ ὁ ΑΒ ἄρτιός ἐστιν, ἔχει μέρος ἥμισυ. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ ΒΓ ἔχει μέρος ἥμισυ· ὥστε καὶ λοιπὸς [ὁ ΓΑ ἔχει μέρος ἥμισυ] ἄρτιος [ἄρα] ἐστὶν ὁ ΑΓ· ὅπερ ἔδει δεῖξαι.

κε΄.

Ἐὰν ἀπὸ ἀρτίου ἀριθμοῦ περισσὸς ἀφαιρεθῇ, ὁ λοιπὸς περισσὸς ἔσται.

Ἀπὸ γὰρ ἀρτίου τοῦ ΑΒ περισσὸς ἀφῃρήσθω ὁ ΒΓ· λέγω, ὅτι ὁ λοιπὸς ὁ ΓΑ περισσός ἐστιν.



Ἀφῃρήσθω γὰρ ἀπὸ τοῦ ΒΓ μονὰς ἡ ΓΔ· ὁ ΔΒ ἄρα ἄρτιός ἐστιν. ἔστι δὲ καὶ ὁ ΑΒ ἄρτιος· καὶ λοιπὸς ἄρα ὁ ΑΔ ἄρτιός ἐστιν. καί ἐστι μονὰς ἡ ΓΔ· ὁ ΓΑ ἄρα περισσός ἐστιν· ὅπερ ἔδει δεῖξαι.

κϛ΄.

Ἐὰν ἀπὸ περισσοῦ ἀριθμοῦ περισσὸς ἀφαιρεθῇ, ὁ λοιπὸς ἄρτιος ἔσται.

Εἶναι δὲ καὶ τὸ πλῆθος τῶν μονάδων ἄρτιος. Καὶ ὅλος ἄρα ὁ ΑΕ εἶναι ἄρτιος· ὅπερ ἔδει δεῖξαι.

23.

Ἐὰν προστεθῶσιν ὁσοιδήποτε περιττοὶ ἀριθμοί, τὸ δὲ πλῆθος αὐτῶν εἶναι περιττός, καὶ τὸ ἄθροισμα θὰ εἶναι περιττός.

Διότι ἂς προστεθῶσιν ὁσοιδήποτε περιττοὶ ἀριθμοί, τῶν ὁποίων τὸ πλῆθος ἔστω ἀριθμὸς περιττός, οἱ ΑΒ, ΒΓ, ΓΔ· λέγω, ὅτι καὶ τὸ ἄθροισμα ΑΔ εἶναι περιττός.

Διότι ἂς ἀφαιρεθῇ ἀπὸ τοῦ ΓΔ ἡ μονὰς ΔΕ· τὸ ὑπόλοιπον ἄρα ὁ ΓΕ εἶναι ἄρτιος (VII. ὁρ. 7)· εἶναι δὲ καὶ ὁ ΓΑ ἄρτιος (θεώρ. 22)· καὶ τὸ ἄθροισμα ἄρα ΑΕ εἶναι ἄρτιος. Καὶ ὁ ΔΕ εἶναι ἡ μονάς. Ἄρα ὁ ΑΔ εἶναι περιττὸς (VII. ὁρ. 7)· ὅπερ ἔδει δεῖξαι.

24.

Ἐὰν ἀπὸ ἀρτίου ἀριθμοῦ ἀφαιρεθῇ ἄρτιος, τὸ ὑπόλοιπον θὰ εἶναι ἄρτιος.

Διότι ἂς ἀφαιρεθῇ ἀπὸ τοῦ ἀρτίου τοῦ ΑΒ ὁ ἄρτιος ΒΓ· λέγω, ὅτι τὸ ὑπόλοιπον ὁ ΓΑ εἶναι ἄρτιος.

Διότι, ἐπειδὴ ὁ ΑΒ εἶναι ἄρτιος, ἔχει μέρος ἥμισυ (VII. ὁρ. 6)· ὥστε καὶ τὸ ὑπόλοιπον ὁ ΓΑ ἔχει μέρος ἥμισυ· ἄρα ὁ ΑΓ εἶναι ἄρτιος· ὅπερ ἔδει δεῖξαι.

25.

Ἐὰν ἀπὸ ἀρτίου ἀριθμοῦ ἀφαιρεθῇ περιττός, τὸ ὑπόλοιπον θὰ εἶναι περιττός.

Διότι ἂς ἀφαιρεθῇ ἀπὸ τοῦ ἀρτίου τοῦ ΑΒ ὁ περιττὸς ΒΓ· λέγω, ὅτι τὸ ὑπόλοιπον ὁ ΓΑ εἶναι περιττός.

Διότι ἂς ἀφαιρεθῇ ἀπὸ τοῦ ΒΓ ἡ μονὰς ἡ ΓΔ· ἄρα ὁ ΔΒ εἶναι ἄρτιος (VII. ὁρ. 7). Εἶναι δὲ καὶ ὁ ΑΒ ἄρτιος· καὶ τὸ ὑπόλοιπον ἄρα ὁ ΑΔ εἶναι ἄρτιος (θεώρ. 24). Καὶ ὁ ΓΔ εἶναι ἡ μονάς· ὁ ΓΑ ἄρα εἶναι περιττὸς (VII. ὁρ. 7)· ὅπερ ἔδει δεῖξαι.

26.

Ἐὰν ἀπὸ περιττοῦ ἀριθμοῦ ἀφαιρεθῇ περιττός, τὸ ὑπόλοιπον θὰ εἶναι ἄρτιος.

Ἀπὸ γὰρ περισσοῦ τοῦ ΑΒ περισσὸς ἀφῃρήσθω ὁ ΒΓ· λέγω, ὅτι ὁ λοιπὸς ὁ ΓΑ ἄρτιός ἐστιν.



Ἐπεὶ γὰρ ὁ ΑΒ περισσός ἐστιν, ἀφῃρήσθω μονὰς ἡ ΒΔ· λοιπὸς ἄρα ὁ ΑΔ ἄρτιός ἐστιν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ ΓΔ ἄρτιός ἐστιν· ὥστε καὶ λοιπὸς ὁ ΓΑ ἄρτιός ἐστιν· ὅπερ ἔδει δεῖξαι.

κζ'.

Ἐὰν ἀπὸ περισσοῦ ἀριθμοῦ ἄρτιος ἀφαιρεθῇ, ὁ λοιπὸς περισσὸς ἔσται.

Ἀπὸ γὰρ περισσοῦ τοῦ ΑΒ ἄρτιος ἀφῃρήσθω ὁ ΒΓ· λέγω, ὅτι ὁ λοιπὸς ὁ ΓΑ περισσός ἐστιν.

Ἀφῃρήσθω [γὰρ] μονὰς ἡ ΑΔ· ὁ ΔΒ ἄρα ἄρτιός ἐστιν. ἔστι δὲ καὶ ὁ ΒΓ ἄρτιος· καὶ λοιπὸς ἄρα ὁ ΓΔ ἄρτιός ἐστιν. περισσὸς ἄρα ὁ ΓΑ· ὅπερ ἔδει δεῖξαι.

κη'.

Ἐὰν περισσὸς ἀριθμὸς ἄρτιον πολλαπλασιάσας ποιῇ τινα, ὁ γενόμενος ἄρτιος ἔσται.

Περισσὸς γὰρ ἀριθμὸς ὁ Α ἄρτιον τὸν Β πολλαπλασιάσας τὸν Γ ποιείτω· λέγω, ὅτι ὁ Γ ἄρτιός ἐστιν.



Ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν, ὁ Γ ἄρα σύγκειται ἐκ τοσούτων ἴσων τῷ Β, ὅσαι εἰσὶν ἐν τῷ Α μονάδες. καί ἐστιν ὁ Β ἄρτιος· ὁ Γ ἄρα σύγκειται ἐξ ἀρτίων. ἐὰν δὲ ἄρτιοι ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, ὁ ὅλος ἄρτιός ἐστιν. ἄρτιος ἄρα ἐστὶν ὁ Γ· ὅπερ ἔδει δεῖξαι.

κθ'.

Ἐὰν περισσὸς ἀριθμὸς περισσὸν ἀριθμὸν πολλαπλασιάσας ποιῇ τινα, ὁ γενόμενος περισσὸς ἔσται.

Περισσὸς γὰρ ἀριθμὸς ὁ Α περισσὸν τὸν Β πολλαπλασιάσας τὸν Γ ποιείτω· λέγω, ὅτι ὁ Γ περισσός ἐστιν.



Ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν, ὁ Γ ἄρα σύγκειται ἐκ τοσούτων ἴσων τῷ Β, ὅσαι εἰσὶν ἐν τῷ Α μονάδες. καί ἐστιν ἑκάτερος τῶν Α, Διότι ἂς ἀφαιρεθῇ ἀπὸ τοῦ περιττοῦ τοῦ ΑΒ ὁ περιττὸς ΒΓ· λέγω, ὅτι τὸ ὑπόλοιπον ὁ ΓΑ εἶναι ἄρτιος.

Διότι, ἐπειδὴ ὁ ΑΒ εἶναι περιττός, ἂς ἀφαιρεθῇ ἡ μονὰς ΒΔ· ἄρα τὸ ὑπόλοιπον ὁ ΑΔ εἶναι ἄρτιος. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ὁ ΓΔ εἶναι ἄρτιος (VII. ὁρ. 7)· ὥστε καὶ τὸ ὑπόλοιπον ὁ ΓΑ εἶναι ἄρτιος (θεώρ. 24)· ὅπερ ἔδει δεῖξαι.

27.

Ἐὰν ἀπὸ περιττοῦ ἀριθμοῦ ἀφαιρεθῇ ἄρτιος, τὸ ὑπόλοιπον θὰ εἶναι περιττός.

Διότι, ἂς ἀφαιρεθῇ ἀπὸ τοῦ περιττοῦ ΑΒ ὁ ἄρτιος ΒΓ· λέγω, ὅτι τὸ ὑπόλοιπον ὁ ΓΑ εἶναι περιττός.

Διότι ἂς ἀφαιρεθῇ ἡ μονὰς ἡ ΑΔ· ἄρα ὁ ΔΒ εἶναι ἄρτιος. Εἶναι δὲ καὶ ὁ ΒΓ ἄρτιος· ἄρα καὶ τὸ ὑπόλοιπον ὁ ΓΔ εἶναι ἄρτιος (θεώρ. 24). Ἄρα ὁ ΓΑ εἶναι περιττός· ὅπερ ἔδει δεῖξαι.

28.

Ἐὰν περιττὸς ἀριθμὸς πολλαπλασιάσας ἄρτιον δίδῃ τινά, ὁ γενόμενος θὰ εἶναι ἄρτιος.

Διότι ἂς δίδῃ ὁ περιττὸς ἀριθμὸς Α πολλαπλασιάσας τὸν ἄρτιον Β, τὸν Γ· λέγω, ὅτι ὁ Γ εἶναι ἄρτιος.

Διότι, ἐπειδὴ ὁ Α πολλαπλασιάσας τὸν Β δίδει τὸν Γ, ὁ Γ ἄρα σύγκειται ἐκ τόσων ἀριθμῶν ἴσων πρὸς τὸν Β, ὅσαι εἶναι αἱ μονάδες εἰς τὸν Α (VII. ὁρ. 16). Καὶ εἶναι ὁ Β ἄρτιος· ὁ Γ ἄρα σύγκειται ἐξ ἀρτίων. Ἐὰν δὲ ὁσοιδήποτε ἄρτιοι ἀριθμοὶ προστεθῶσι, τὸ ἄθροισμα αὐτῶν εἶναι ἄρτιος (θεώρ. 21). Ἄρα ὁ Γ εἶναι ἄρτιος· ὅπερ ἔδει δεῖξαι.

29.

Ἐὰν περιττὸς ἀριθμὸς πολλαπλασιάσας περιττὸν δίδῃ τινά, ὁ γενόμενος θὰ εἶναι περιττός.

Διότι ἂς δίδῃ ὁ περιττὸς ἀριθμὸς Α πολλαπλασιάσας τὸν Β, τὸν Γ· λέγω, ὅτι ὁ Γ εἶναι περιττός.

Διότι, ἐπειδὴ ὁ Α πολλαπλασιάσας τὸν Β δίδει τὸν Γ, ὁ Γ ἄρα σύγκειται ἐκ τοσούτων ἀριθμῶν ἴσων πρὸς τὸν Β, ὅσαι μονάδες εἶναι εἰς τὸν Α (VII. ὁρ. 16). Καὶ εἶναι ἕκαστος τῶν Α, Β περιττός· ὁ Γ ἄρα σύγκειται ἐκ

Β περισσός· ὁ Γ ἄρα σύγκειται ἐκ περισσῶν ἀριθμῶν, ὧν τὸ πλῆθος περισσόν ἐστιν. ὥστε ὁ Γ περισσός ἐστιν· ὅπερ ἔδει δεῖξαι.

λ'.

Ἐὰν περισσὸς ἀριθμὸς ἄρτιον ἀριθμὸν μετρῇ, καὶ τὸν ἥμισυν αὐτοῦ μετρήσει.

Περισσὸς γὰρ ἀριθμὸς ὁ Α ἄρτιον τὸν Β μετρείτω· λέγω, ὅτι καὶ τὸν ἥμισυν αὐτοῦ μετρήσει.

Ἐπεὶ γὰρ ὁ Α τὸν Β μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν Γ· λέγω, ὅτι ὁ Γ οὐκ ἔστι περισσός. εἰ γὰρ δυνατόν, ἔστω. καὶ ἐπεὶ ὁ Α τὸν Β μετρεῖ κατὰ τὸν Γ, ὁ Α ἄρα τὸν Γ πολλαπλασιάσας τὸν Β πεποίηκεν. ὁ Β ἄρα σύγκειται ἐκ περισσῶν ἀριθμῶν, ὧν τὸ πλῆθος περισσόν ἐστιν. ὁ Β ἄρα περισσός ἐστιν· ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἄρτιος. οὐκ ἄρα ὁ Γ περισσός ἐστιν· ἄρτιος ἄρα ἐστὶν ὁ Γ. ὥστε ὁ Α τὸν Β μετρεῖ ἀρτιάκις. διὰ δὴ τοῦτο καὶ τὸν ἥμισυν αὐτοῦ μετρήσει· ὅπερ ἔδει δεῖξαι.

λα'.

Ἐὰν περισσὸς ἀριθμὸς πρός τινα ἀριθμὸν πρῶτος ᾖ, καὶ πρὸς τὸν διπλασίονα αὐτοῦ πρῶτος ἔσται.

Περισσὸς γὰρ ἀριθμὸς ὁ Α πρός τινα ἀριθμὸν τὸν Β πρῶτος ἔστω, τοῦ δὲ Β διπλασίων ἔστω ὁ Γ· λέγω, ὅτι ὁ Α [καὶ] πρὸς τὸν Γ πρῶτός ἐστιν.



Εἰ γὰρ μή εἰσιν [οἱ Α, Γ] πρῶτοι, μετρήσει τις αὐτοὺς ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Δ· καί ἐστιν ὁ Α περισσός· περισσὸς ἄρα καὶ ὁ Δ. καὶ ἐπεὶ ὁ Δ περισσὸς ὢν τὸν Γ μετρεῖ, καί ἐστιν ὁ Γ ἄρτιος, καὶ τὸν ἥμισυν ἄρα τοῦ Γ μετρήσει [ὁ Δ]. τοῦ δὲ Γ ἥμισύ ἐστιν ὁ Β· ὁ Δ ἄρα τὸν Β μετρεῖ. μετρεῖ δὲ καὶ τὸν Α. ὁ Δ ἄρα τοὺς Α, Β μετρεῖ πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ὁ Α πρὸς τὸν Γ πρῶτος οὐκ ἐστιν. οἱ Α, Γ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν· ὅπερ ἔδει δεῖξαι.

λβ'.

Τῶν ἀπὸ δυάδος διπλασιαζομένων ἀριθμῶν ἕκαστος ἀρτιάκις ἄρτιός ἐστι μόνον.

περιττῶν ἀριθμῶν, τῶν ὁποίων τὸ πλῆθος εἶναι περιττόν. Ὥστε ὁ Γ εἶναι περιττὸς (θεώρ. 23)· ὅπερ ἔδει δεῖξαι.

30.

Ἐὰν περιττὸς ἀριθμὸς μετρῇ ἄρτιον ἀριθμόν, θὰ μετρῇ καὶ τὸν ἥμισυν αὐτοῦ.

Διότι ἂς μετρῇ ὁ περιττὸς ἀριθμὸς Α τὸν ἄρτιον Β· λέγω, ὅτι θὰ μετρῇ καὶ τὸν ἥμισυν αὐτοῦ.

Διότι, ἐπειδὴ ὁ Α μετρεῖ τὸν Β, ἂς μετρῇ αὐτὸν κατὰ τὸν Γ· λέγω, ὅτι ὁ Γ δὲν εἶναι περιττός. Διότι, ἐὰν εἶναι δυνατόν, ἔστω ὅτι εἶναι περιττός. Καὶ ἐπειδὴ ὁ Α μετρεῖ τὸν Β κατὰ τὸν Γ, ὁ Α ἄρα πολλαπλασιάσας τὸν Γ δίδει τὸν Β. Ὁ Β ἄρα σύγκειται ἐκ περιττῶν ἀριθμῶν, τῶν ὁποίων τὸ πλῆθος εἶναι περιττὸν (θεώρ. 23). Ὁ Β ἄρα εἶναι περιττός· ὅπερ ἄτοπον· διότι ἐλήφθη ἄρτιος. Δὲν εἶναι ἄρα ὁ Γ περιττός· ἄρα ὁ Γ εἶναι ἄρτιος. Ὥστε ὁ Α μετρεῖ τὸν Β ἀρτιάκις. Συνεπῶς θὰ μετρήσῃ καὶ τὸν ἥμισυν αὐτοῦ. ὅπερ ἔδει δεῖξαι.

31.

Ἐὰν περιττὸς ἀριθμὸς εἶναι πρῶτος πρός τινα ἀριθμόν, καὶ πρὸς τὸν διπλάσιον αὐτοῦ θὰ εἶναι πρῶτος.

Διότι ἔστω ὁ περιττὸς ἀριθμὸς Α πρῶτος πρός τινα ἀριθμὸν τὸν Β, τοῦ δὲ Β ἔστω διπλάσιος ὁ Γ· λέγω, ὅτι ὁ Α εἶναι πρῶτος καὶ πρὸς τὸν Γ.

Διότι, ἐὰν οἱ Α, Γ δὲν εἶναι πρῶτοι, θὰ μετρῇ αὐτοὺς ἀριθμός τις. Ἂς τοὺς μετρῇ καὶ ἔστω ὁ Δ. Καὶ εἶναι ὁ Α περιττός· περιττὸς ἄρα εἶναι καὶ ὁ Δ. Καὶ ἐπειδὴ ὁ Δ περιττὸς ὢν μετρεῖ τὸν Γ καὶ ὁ Γ εἶναι ἄρτιος, ἄρα ὁ Δ θὰ μετρῇ καὶ τὸν ἥμισυν τοῦ Γ. Τοῦ δὲ Γ ἥμισυ εἶναι ὁ Β· ὁ Δ ἄρα μετρεῖ τὸν Β. Μετρεῖ δὲ καὶ τὸν Α. Ὁ Δ ἄρα μετρεῖ τοὺς Α, Β πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἀδύνατον. Ὄχι ἄρα ὁ Α δὲν εἶναι πρῶτος πρὸς τὸν Γ· οἱ Α, Γ ἄρα εἶναι πρῶτοι πρὸς ἀλλήλους· ὅπερ ἔδει δεῖξαι.

32.

Τῶν ἀπὸ δυάδος διπλασιαζομένων ἀριθμῶν ἕκαστος εἶναι μόνον ἀρτιάκις ἄρτιος.

Ἀπὸ γὰρ δύαδος τῆς Α δεδιπλασιάσθωσαν ὁσοιδηποτοῦν ἀριθμοὶ οἱ Β, Γ, Δ· λέγω, ὅτι οἱ Β, Γ, Δ ἀρτιάκις ἄρτιοί εἰσι μόνον.



Ὅτι μὲν οὖν ἕκαστος [τῶν Β, Γ, Δ] ἀρτιάκις ἄρτιός ἐστιν, φανερόν· ἀπὸ γὰρ δυάδος ἐστὶ διπλασιασθείς. λέγω, ὅτι καὶ μόνον. ἐκκείσθω γὰρ μονάς. ἐπεὶ οὖν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογόν εἰσιν, ὁ δὲ μετὰ τὴν μονάδα ὁ Α πρῶτός ἐστιν, ὁ μέγιστος τῶν Α, Β, Γ, Δ ὁ Δ ὑπ' οὐδενὸς ἄλλου μετρηθήσεται παρὲξ τῶν Α, Β, Γ. καί ἐστιν ἕκαστος τῶν Α, Β, Γ ἄρτιος· ὁ Δ ἄρα ἀρτιάκις ἄρτιός ἐστι μόνον. ὁμοίως δὴ δείξομεν ὅτι [καὶ] ἑκάτερος τῶν Β, Γ ἀρτιάκις ἄρτιός ἐστιν μόνον· ὅπερ ἔδει δεῖξαι.

λγ'.

Ἐὰν ἀριθμὸς τὸν ἥμισυν ἔχῃ περισσόν, ἀρτιάκις περισσός ἐστι μόνον.

Ἀριθμὸς γὰρ ὁ Α τὸν ἥμισυν ἐχέτω περισσόν· λέγω, ὅτι ὁ Α ἀρτιάκις περισσός ἐστι μόνον.



Ἐπεὶ δέδεικται, ὅτι αἱ μήκει σύμμετροι πάντως καὶ δυνάμει [εἰσὶ σύμμετροι], αἱ δὲ δυνάμει οὐ πάντως καὶ μήκει, ἀλλὰ δὴ δύνανται μήκει καὶ σύμμετροι εἶναι καὶ ἀσύμμετροι, φανερόν, ὅτι, ἐὰν τῇ ἐκκειμένῃ ῥητῇ σύμμετρός τις ᾖ μήκει, λέγεται ῥητὴ καὶ σύμμετρος αὐτῇ οὐ μόνον μήκει, ἀλλὰ καὶ δυνάμει, ἐπεὶ αἱ μήκει σύμμετροι πάντως καὶ δυνάμει. ἐὰν δὲ τῇ ἐκκειμένῃ ῥητῇ σύμμετρός τις ᾖ δυνάμει, εἰ μὲν καὶ μήκει, λέγεται καὶ οὕτως ῥητὴ καὶ σύμμετρος αὐτῇ μήκει καὶ δυνάμει· εἰ δὲ τῇ ἐκκειμένῃ πάλιν ῥητῇ σύμμετρός τις οὖσα δυνάμει μήκει αὐτῇ ᾖ ἀσύμμετρος, λέγεται καὶ οὕτως ῥητὴ δυνάμει μόνον σύμμετρος.

ιθ′

Τὸ ὑπὸ ῥητῶν μήκει συμμέτρων κατά τινα τῶν προειρημένων τρόπων εὐθειῶν περιεχόμενον ὀρθογώνιον ῥητόν ἐστιν.



Ὑπὸ γὰρ ῥητῶν μήκει συμμέτρων εὐθειῶν τῶν ΑΒ, ΒΓ ὀρθογώνιον περιεχέσθω τὸ ΑΓ· λέγω, ὅτι ῥητόν ἐστι τὸ ΑΓ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔ· ῥητὸν ἄρα ἐστὶ τὸ ΑΔ. καὶ ἐπεὶ σύμμετρός ἐστιν ἡ ΑΒ τῇ ΒΓ μήκει, ἴση δέ ἐστιν ἡ ΑΒ τῇ ΒΔ, σύμμετρος ἄρα ἐστὶν ἡ ΒΔ τῇ ΒΓ μήκει. καί ἐστιν ὡς ἡ ΒΔ πρὸς τὴν ΒΓ, οὕτως τὸ ΔΑ πρὸς τὸ ΑΓ. σύμμετρον ἄρα ἐστὶ τὸ ΔΑ τῷ ΑΓ. ῥητὸν δὲ τὸ ΔΑ· ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ΑΓ.

Τὸ ἄρα ὑπὸ ῥητῶν μήκει συμμέτρων, καὶ τὰ ἑξῆς.

τῆς Α, ὥστε νὰ ἐλλείπῃ τετράγωνον σχῆμα, καὶ ἔστω τὸ ὀρθογώνιον $ΒΔ \times ΔΓ$. Πρέπει νὰ δειχθῇ ὅτι ἡ ΒΔ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΔΓ.

Διότι, ἀφοῦ γίνῃ ἡ αὐτὴ κατασκευὴ ἀποδεικνύεται ὁμοίως, ὅτι $ΖΔ^2 = ΒΓ^2 - Α^2$. Ἀλλὰ τὸ $ΒΓ^2$ ὑπερέχει τοῦ $Α^2$ κατὰ τετράγωνον τοῦ ὁποίου ἡ πλευρὰ εἶναι ἀσύμμετρος πρὸς αὐτὴν (τὴν ΒΓ). Εἶναι ἄρα μήκει ἀσύμμετρος ἡ ΒΓ πρὸς τὴν ΖΔ· ὥστε καὶ ἡ ΒΓ εἶναι ἀσύμμετρος καὶ πρὸς τὴν διαφορὰν $(ΒΓ - ΖΔ) = (ΒΖ + ΔΓ)$, (θεώρ. 16)· Ἀλλὰ τὸ ἄθροισμα $ΒΖ + ΔΓ$ εἶναι εὐθεῖα μήκει σύμμετρος πρὸς τὴν ΔΓ, (θεώρ. 6)· καὶ ἡ ΒΓ ἄρα εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΔΓ, (θεώρ. 13)· ὥστε καὶ δι' ἀφαιρέσεως ἡ ΒΔ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΔΓ.

Ἐὰν ἄρα ὑπάρχωσι δύο εὐθεῖαι, καὶ τὰ ἑξῆς.

Λ ῆ μ μ α

Ἐπειδὴ ἀπεδείχθη ὅτι αἱ μήκει σύμμετροι εὐθεῖαι εἶναι καὶ δυνάμει σύμμετροι (δηλ. καὶ τὰ τετράγωνα αὐτῶν εἶναι σύμμετρα) αἱ δὲ εὐθεῖαι τῶν ὁποίων τὰ τετράγωνα εἶναι σύμμετρα δὲν εἶναι κατ' ἀνάγκην σύμμετροι, ἀλλὰ δύνανται νὰ εἶναι μήκει καὶ σύμμετροι καὶ ἀσύμμετροι, εἶναι φανερόν, ὅτι ἐὰν πρὸς δοθεῖσαν ῥητὴν ὑπάρχῃ εὐθεῖά τις μήκει σύμμετρος, αὕτη λέγεται ῥητὴ καὶ σύμμετρος πρὸς τὴν δοθεῖσαν οὐ μόνον μήκει ἀλλὰ καὶ δυνάμει (τὰ τετράγωνά των δηλ. εἶναι σύμμετρα), ἐπειδὴ αἱ μήκει σύμμετροι εἶναι πάντως σύμμετροι καὶ δυνάμει. Ἐὰν δὲ πρὸς τὴν δοθεῖσαν ῥητὴν ὑπάρχῃ εὐθεῖά τις σύμμετρος δυνάμει, ἐὰν μὲν εἶναι καὶ μήκει σύμμετρος λέγεται τότε ῥητὴ καὶ σύμμετρος πρὸς αὐτὴν μήκει καὶ δυνάμει· ἐὰν δὲ εὐθεῖά τις εἶναι πρὸς δοθεῖσαν ῥητὴν σύμμετρος μὲν δυνάμει, ἀσύμμετρος δὲ μήκει λέγεται καὶ πάλιν ῥητὴ δυνάμει μόνον σύμμετρος.

19

Τὸ ὑπὸ ῥητῶν μήκει συμμέτρων εὐθειῶν κατά τινα τῶν προειρημένων τρόπων περιεχόμενον ὀρθογώνιον εἶναι ῥητόν.

Διότι ἂς περιέχηται τὸ ὀρθογώνιον ΑΓ ὑπὸ τῶν ῥητῶν μήκει συμμέτρων εὐθειῶν, τῶν ΑΒ, ΒΓ· λέγω, ὅτι τὸ ΑΓ εἶναι ῥητόν.

Διότι ἂς ἀναγραφῇ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔ· ἄρα τὸ ΑΔ εἶναι ῥητὸν (ὁρ. 4). Καὶ ἐπειδὴ ἡ ΑΒ εἶναι πρὸς τὴν ΒΓ μήκει σύμμετρος, εἶναι δὲ $ΑΒ = ΒΔ$, ἡ ΒΔ ἄρα εἶναι μήκει σύμμετρος πρὸς τὴν ΒΓ. Καὶ εἶναι $ΒΔ : ΒΓ = ΔΑ : ΑΓ$, (VI. 1). Τὸ ΔΑ ἄρα εἶναι σύμμετρον πρὸς τὸ ΑΓ (θεώρ. 11). Εἶναι δὲ τὸ ΔΑ ῥητόν· ἄρα εἶναι ῥητὸν καὶ τὸ ΑΓ.

Τὸ ὀρθογώνιον ἄρα τὸ περιεχόμενον ὑπὸ ῥητῶν μήκει συμμέτρων, καὶ τὰ ἑξῆς.

κ´

Ἐὰν ῥητὸν παρὰ ῥητὴν παραβληθῇ, πλάτος ποιεῖ ῥητὴν καὶ σύμμετρον τῇ, παρ' ἣν παράκειται μήκει.

Ῥητὸν γὰρ τὸ ΑΓ παρὰ ῥητὴν κατά τινα πάλιν τῶν προειρημένων τρόπων τὴν ΑΒ παραβεβλήσθω πλάτος ποιοῦν τὴν ΒΓ· λέγω, ὅτι ῥητή ἐστιν ἡ ΒΓ καὶ σύμμετρος τῇ ΒΑ μήκει.



Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔ· ῥητὸν ἄρα ἐστὶ τὸ ΑΛ. ῥητὸν δὲ καὶ τὸ ΑΓ· σύμμετρον ἄρα ἐστὶ τὸ ΔΑ τῷ ΑΓ. καί ἐστιν ὡς τὸ ΔΑ πρὸς τὸ ΑΓ, οὕτως ἡ ΔΒ πρὸς τὴν ΒΓ. σύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΔΒ τῇ ΒΓ· ἴση δὲ ἡ ΔΒ τῇ ΒΑ· σύμμετρος ἄρα καὶ ἡ ΑΒ τῇ ΒΓ. ῥητὴ δέ ἐστιν ἡ ΑΒ· ῥητή ἄρα ἐστὶ καὶ ἡ ΒΓ καὶ σύμμετρος τῇ ΑΒ μήκει.

Ἐὰν ἄρα ῥητὸν παρὰ ῥητὴν παραβληθῇ, καὶ τὰ ἑξῆς.

κα´

Τὸ ὑπὸ ῥητῶν δυνάμει μόνον συμμέτρων εὐθειῶν περιεχόμενον ὀρθογώνιον ἄλογόν ἐστιν, καὶ ἡ δυναμένη αὐτὸ ἄλογός ἐστιν, καλείσθω δὲ μέση.

Ὑπὸ γὰρ ῥητῶν δυνάμει μόνον συμμέτρων εὐθειῶν τῶν ΑΒ, ΒΓ ὀρθογώνιον περιεχέσθω τὸ ΑΓ· λέγω, ὅτι ἄλογόν ἐστι τὸ ΑΓ, καὶ ἡ δυναμένη αὐτὸ ἄλογός ἐστιν, καλείσθω δὲ μέση.



Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔ. ῥητὸν ἄρα ἐστὶ τὸ ΑΔ· καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΑΒ τῇ ΒΓ μήκει· δυνάμει γὰρ μόνον ὑπόκεινται σύμμετροι· ἴση δὲ ἡ ΑΒ τῇ ΒΔ, ἀσύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΔΒ τῇ ΒΓ μήκει. καί ἐστιν ὡς ἡ ΔΒ πρὸς τὴν ΒΓ, οὕτως τὸ ΑΔ πρὸς τὸ ΑΓ· ἀσύμμετρον ἄρα [ἐστὶ] τὸ ΔΑ τῷ ΑΓ. ῥητὸν δὲ τὸ ΔΑ· ἄλογον ἄρα ἐστὶ τὸ ΑΓ· ὥστε καὶ ἡ δυναμένη τὸ ΑΓ [τουτέστιν ἡ ἴσον αὐτῷ τετράγωνον δυναμένη] ἄλογός ἐστιν, καλείσθω δὲ μέση· ὅπερ ἔδει δεῖξαι.

Λῆμμα

Ἐὰν ὦσι δύο εὐθεῖαι, ἔστιν ὡς ἡ πρώτη πρὸς τὴν δευτέραν, οὕτως τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ὑπὸ τῶν δύο εὐθειῶν.

Ἔστωσαν δύο εὐθεῖαι αἱ ΖΕ, ΕΗ. λέγω, ὅτι ἐστὶν ὡς ἡ ΖΕ πρὸς τὴν ΕΗ, οὕτως τὸ ἀπὸ τῆς ΖΕ πρὸς τὸ ὑπὸ τῶν ΖΕ, ΕΗ.

20

Ἐὰν ῥητὸν παρὰ ῥητὴν παραβληθῇ, σχηματίζει πλάτος εὐθεῖαν ῥητήν, ἡ ὁποία πρὸς τὴν εὐθεῖαν, παρ' ἣν παρεβλήθη, εἶναι μήκει σύμμετρος.

Διότι ἂς παραβληθῇ πάλιν κατά τινα τῶν προειρημένων τρόπων τὸ ῥητὸν ΑΓ παρὰ τὴν ΑΒ σχηματίζον πλάτος τὴν ΒΓ· λέγω, ὅτι ἡ ΒΓ εἶναι ῥητὴ καὶ μήκει σύμμετρος πρὸς τὴν ΒΑ.

Διότι ἂς ἀναγραφῇ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔ· ἄρα τὸ ΑΔ εἶναι ῥητόν, (ὁρ. 4). Εἶναι δὲ καὶ τὸ ΑΓ ῥητόν· ἄρα τὸ ΔΑ εἶναι σύμμετρον πρὸς τὸ ΑΓ. Καὶ εἶναι ΔΑ : ΑΓ = ΔΒ : ΒΓ, (VI. 1). Ἄρα εἶναι σύμμετρος ἡ ΔΒ πρὸς τὴν ΒΓ, (θεώρ. 11)· εἶναι δὲ ΔΒ = ΒΑ· ἄρα καὶ ἡ ΑΒ εἶναι σύμμετρος πρὸς τὴν ΒΓ. Ἡ δὲ ΑΒ εἶναι ῥητή· ἄρα εἶναι ῥητὴ καὶ ἡ ΒΓ καὶ μήκει σύμμετρος πρὸς τὴν ΑΒ.

Ἐὰν ἄρα ῥητὸν παρὰ ῥητὴν παραβληθῇ, καὶ τὰ ἑξῆς.

21

Τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ ῥητῶν εὐθειῶν δυνάμει μόνον συμμέτρων εἶναι ἄλογον, καὶ ἡ πλευρὰ τοῦ ἰσοδυνάμου τετραγώνου εἶναι ἄλογος, ἂς καλῆται δὲ μέση.

Διότι ἂς περιέχηται τὸ ὀρθογώνιον ΑΓ ὑπὸ ῥητῶν εὐθειῶν, δυνάμει μόνον συμμέτρων, τῶν ΑΒ, ΒΓ· λέγω, ὅτι τὸ ΑΓ εἶναι ἄλογον, καὶ ἡ πλευρὰ τοῦ ἰσοδυνάμου τετραγώνου εἶναι ἄλογος, ἂς καλῆται δὲ μέση.

Διότι ἂς ἀναγραφῇ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔ· ἄρα τὸ ΑΔ εἶναι ῥητόν, (ὁρ. 4). Καὶ ἐπειδὴ ἡ ΑΒ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΒΓ· διότι ἐξ ὑποθέσεως ἐλήφθησαν ὡς σύμμετροι μόνον δυνάμει· εἶναι δὲ ἡ ΑΒ=ΒΔ, ἄρα καὶ ἡ ΔΒ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΒΓ. Καὶ εἶναι ΔΒ : ΒΓ=ΑΔ : ΑΓ· ἄρα τὸ ΔΑ εἶναι πρὸς τὸ ΑΓ ἀσύμμετρον, (θεώρ. 11). Τὸ δὲ ΔΑ εἶναι ῥητόν· ἄλογον ἄρα εἶναι τὸ ΑΓ, (ὁρ. 4)· ὥστε καὶ ἡ δυναμένη τὸ ΑΓ [τουτέστι ἡ πλευρὰ τοῦ ἰσοδυνάμου τετραγώνου] εἶναι ἄλογος, ἂς καλῆται δὲ μέση· ὅπερ ἔδει δεῖξαι.

Λῆμμα

Ἐὰν ὑπάρχωσι δύο εὐθεῖαι, εἶναι ὡς ἡ πρώτη πρὸς τὴν δευτέραν, οὕτως τὸ τετράγωνον τῆς πρώτης πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν δύο εὐθειῶν.

Ἔστωσαν δύο εὐθεῖαι αἱ ΖΕ, ΕΗ. Λέγω ὅτι ΖΕ : ΕΗ=ΖΕ^2 : ΖΕ × ΕΗ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΖΕ τετράγωνον τὸ ΔΖ, καὶ συμπεπληρώσθω τὸ ΗΔ. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΖΕ πρὸς τὴν ΕΗ, οὕτως τὸ ΖΔ πρὸς τὸ ΔΗ, καί ἐστι τὸ μὲν ΖΔ τὸ ἀπὸ τῆς ΖΕ, τὸ δὲ ΔΗ τὸ ὑπὸ τῶν ΔΕ, ΕΗ, τουτέστι τὸ ὑπὸ τῶν ΖΕ, ΕΗ, ἔστιν ἄρα ὡς ἡ ΖΕ πρὸς τὴν ΕΗ, οὕτως τὸ ἀπὸ τῆς ΖΕ πρὸς τὸ ὑπὸ τῶν ΖΕ, ΕΗ. ὁμοίως δὲ καὶ ὡς τὸ ὑπὸ τῶν ΗΕ, ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΕΖ, τουτέστιν ὡς τὸ ΗΔ πρὸς τὸ ΖΔ, οὕτως ἡ ΗΕ πρὸς τὴν ΕΖ· ὅπερ ἔδει δεῖξαι.



κβ´

Τὸ ἀπὸ μέσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ῥητὴν καὶ ἀσύμμετρον τῇ, παρ᾽ ἣν παράκειται, μήκει.

Ἔστω μέση μὲν ἡ Α, ῥητὴ δὲ ἡ ΓΒ, καὶ τῷ ἀπὸ τῆς Α ἴσον παρὰ τὴν ΒΓ παραβεβλήσθω χωρίον ὀρθογώνιον τὸ ΒΔ πλάτος ποιοῦν τὴν ΓΔ· λέγω, ὅτι ῥητή ἐστιν ἡ ΓΔ καὶ ἀσύμμετρος τῇ ΓΒ μήκει.

Ἐπεὶ γὰρ μέση ἐστὶν ἡ Α, δύναται χωρίον περιεχόμενον ὑπὸ ῥητῶν δυνάμει μόνον συμμέτρων. δυνάσθω τὸ ΗΖ. δύναται δὲ καὶ τὸ ΒΔ· ἴσον ἄρα ἐστὶ τὸ ΒΔ τῷ ΗΖ. ἔστι δὲ αὐτῷ καὶ ἰσογώνιον· τῶν δὲ ἴσων τε καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΒΓ πρὸς τὴν ΕΗ, οὕτως ἡ ΕΖ πρὸς τὴν ΓΔ. ἔστιν ἄρα καὶ ὡς τὸ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ἀπὸ τῆς ΕΗ, οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΓΔ. σύμμετρον δέ ἐστι τὸ ἀπὸ τῆς ΓΒ τῷ ἀπὸ τῆς ΕΗ· ῥητὴ γάρ ἐστιν ἑκατέρα αὐτῶν· σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΕΖ τῷ ἀπὸ τῆς ΓΔ. ῥητὸν δέ ἐστι τὸ ἀπὸ τῆς ΕΖ· ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΓΔ· ῥητὴ ἄρα ἐστὶ ἡ ΓΔ. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΕΖ τῇ ΕΗ μήκει· δυνάμει γὰρ μόνον εἰσὶ σύμμετροι· ὡς δὲ ἡ ΕΖ πρὸς τὴν ΕΗ, οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ὑπὸ τῶν ΖΕ, ΕΗ, ἀσύμμετρον ἄρα [ἐστὶ] τὸ ἀπὸ τῆς ΕΖ τῷ ὑπὸ τῶν ΖΕ, ΕΗ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΕΖ σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ· ῥηταὶ γάρ εἰσι δυνάμει· τῷ δὲ ὑπὸ τῶν ΖΕ, ΕΗ σύμμετρόν ἐστι τὸ ὑπὸ τῶν ΔΓ, ΓΒ· ἴσα γάρ ἐστι τῷ ἀπὸ τῆς Α· ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΓΔ τῷ ὑπὸ τῶν ΔΓ, ΓΒ. ὡς δὲ τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ὑπὸ τῶν ΔΓ, ΓΒ, οὕτως ἐστὶν ἡ ΔΓ πρὸς τὴν ΓΒ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΔΓ τῇ ΓΒ μήκει. ῥητὴ ἄρα ἐστὶν ἡ ΓΔ καὶ ἀσύμμετρος τῇ ΓΒ μήκει· ὅπερ ἔδει δεῖξαι.



κγ´

Ἡ τῇ μέσῃ σύμμετρος μέση ἐστίν.

Διότι ἂς ἀναγραφῇ ἀπὸ τῆς ΖΕ τετράγωνον τὸ ΔΖ καὶ ἂς συμπληρωθῇ τὸ ΗΔ. Ἐπειδὴ λοιπὸν ΖΕ : ΕΗ = ΖΔ : ΔΗ, (VI. 1), καὶ εἶναι τὸ μὲν ΖΔ = ZE^2, τὸ δὲ ΔΗ = ΔΕ × ΕΗ δηλ. = ΖΕ × ΕΗ, εἶναι ἄρα ΖΕ : ΕΗ = ZE^2 : ΖΕ × ΕΗ. Ὁμοίως δὲ καὶ ΗΕ × ΕΖ = EZ^2 δηλ. ΗΔ : ΖΔ = ΗΕ : ΕΖ· ὅπερ ἔδει δεῖξαι.

22

Τὸ τετράγωνον τοῦ ὁποίου ἡ πλευρὰ εἶναι μέση παραβαλλόμενον ὡς ὀρθογώνιον παρὰ ῥητὴν σχηματίζει πλάτος εὐθεῖαν, ἡ ὁποία εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν εὐθεῖαν παρ' ἣν παράκειται.

Ἔστω μέση μὲν ἡ Α, ῥητὴ δὲ ἡ ΓΒ καὶ ἂς παραβληθῇ τὸ τετράγωνον τῆς Α παρὰ τὴν ΒΓ, ἀφοῦ τοῦτο μετασχηματισθῇ εἰς ὀρθογώνιον τὸ ΒΔ ἔχον πλάτος τὴν ΓΔ· λέγω, ὅτι ἡ ΓΔ εἶναι ῥητὴ καὶ πρὸς τὴν ΓΒ μήκει ἀσύμμετρος.

Διότι, ἐπειδὴ ἡ Α εἶναι μέση τὸ τετράγωνον αὐτῆς εἶναι ἰσοδύναμον πρὸς ὀρθογώνιον τοῦ ὁποίου αἱ πλευραὶ εἶναι ῥηταί, δυνάμει μόνον σύμμετροι (θεώρ. 21). Ἔστω τὸ ἰσοδύναμον τοῦτο ὀρθογώνιον τὸ ΗΖ. Ἰσοδύναμον ὅμως εἶναι καὶ τὸ ΒΔ· ἄρα τὸ ΒΔ = ΗΖ. Εἶναι δὲ καὶ πρὸς αὐτὸ ἰσογώνιον· τῶν δὲ ἴσων καὶ ἰσογωνίων παραλληλογράμμων αἱ περὶ τὰς ἴσας γωνίας πλευραὶ εἶναι ἀντιστρόφως ἀνάλογοι, (VI. 14)· εἶναι ἄρα ΒΓ : ΕΗ = ΕΖ : ΓΔ. Εἶναι ἄρα καὶ $B\Gamma^2 : EH^2 = EZ^2 : \Gamma\Delta^2$, (VI. 20). Εἶναι δὲ σύμμετρον τὸ ΓB^2 πρὸς τὸ EH^2· ἄρα ἑκάστη αὐτῶν (τῶν ΓΒ, ΕΗ) εἶναι ῥητή· ἄρα εἶναι σύμμετρον καὶ τὸ EZ^2 πρὸς τὸ $\Gamma\Delta^2$, (θεώρ. 11). Εἶναι δὲ ῥητὸν τὸ EZ^2· ἄρα εἶναι ῥητὸν καὶ τὸ $\Gamma\Delta^2$, (ὅρ. 4)· ἄρα ἡ ΓΔ εἶναι ῥητή. Καὶ ἐπειδὴ ἡ ΕΖ εἶναι πρὸς τὴν ΕΗ μήκει ἀσύμμετρος· διότι εἶναι σύμμετροι μόνον δυνάμει καὶ εἶναι ΕΖ : ΕΗ = EZ^2 : ΖΕ × ΕΗ, (λῆμμα τοῦ 21), ἄρα τὸ EZ^2 εἶναι ἀσύμμετρον πρὸς τὸ ὀρθογώνιον ΖΕ × ΕΗ (θεώρ. 11). Ἀλλὰ πρὸς μὲν τὸ EZ^2 εἶναι σύμμετρον τὸ $\Gamma\Delta^2$· διότι αὗται (αἱ ΕΖ, ΓΔ) εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι· πρὸς δὲ τὸ ὀρθογώνιον ΖΕ × ΕΗ εἶναι σύμμετρον τὸ ὀρθογώνιον ΔΓ × ΓΒ· διότι ἕκαστον τῶν ὀρθογωνίων τούτων εἶναι ἴσον πρὸς A^2· ἄρα τὸ $\Gamma\Delta^2$ εἶναι ἀσύμμετρον πρὸς τὸ ὀρθογώνιον ΔΓ × ΓΒ, (θεώρ. 13). Ὡς δὲ $\Gamma\Delta^2$: ΔΓ × ΓΒ = ΔΓ : ΓΒ· (λῆμμα τοῦ 21)· ἄρα ἡ ΔΓ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΓΒ, (θεώρ. 11). Ἄρα ἡ ΓΔ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΓΒ· ὅπερ ἔδει δεῖξαι.

23

Ἡ σύμμετρος πρὸς τὴν μέσην εἶναι μέση.

Ἔστω μέση ἡ Α, καὶ τῇ Α σύμμετρος ἔστω ἡ Β· λέγω, ὅτι καὶ ἡ Β μέση ἐστίν.

Ἐκκείσθω γὰρ ῥητὴ ἡ ΓΔ, καὶ τῷ μὲν ἀπὸ τῆς Α ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω χωρίον ὀρθογώνιον τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΕΔ· ῥητὴ ἄρα ἐστὶν ἡ ΕΔ καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. τῷ δὲ ἀπὸ τῆς Β ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω χωρίον ὀρθογώνιον τὸ ΓΖ πλάτος ποιοῦν τὴν ΔΖ· ἐπεὶ οὖν σύμμετρός ἐστιν ἡ Α τῇ Β, σύμμετρόν ἐστι καὶ τὸ ἀπὸ τῆς Α τῷ ἀπὸ τῆς Β. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς Α ἴσον ἐστὶ τὸ ΕΓ, τῷ δὲ ἀπὸ τῆς Β ἴσον ἐστὶ τὸ ΓΖ· σύμμετρον ἄρα ἐστὶ τὸ ΕΓ τῷ ΓΖ. καί ἐστιν ὡς τὸ ΕΓ πρὸς τὸ ΓΖ, οὕτως ἡ ΕΔ πρὸς τὴν ΔΖ· σύμμετρος ἄρα ἐστὶν ἡ ΕΔ τῇ ΔΖ μήκει. ῥητὴ δέ ἐστιν ἡ ΕΔ καὶ ἀσύμμετρος τῇ ΔΓ μήκει· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΔΖ καὶ ἀσύμμετρος τῇ ΔΓ μήκει· αἱ ΓΔ, ΔΖ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. ἡ δὲ τὸ ὑπὸ ῥητῶν δυνάμει μόνον συμμέτρων δυναμένη μέση ἐστίν. ἡ ἄρα τὸ ὑπὸ τῶν ΓΔ, ΔΖ δυναμένη μέση ἐστίν· καὶ δύναται τὸ ὑπὸ τῶν ΓΔ, ΔΖ ἡ Β· μέση ἄρα ἐστὶν ἡ Β.



Π ό ρ ι σ μ α

Ἐκ δὴ τούτου φανερόν, ὅτι τὸ τῷ μέσῳ χωρίῳ σύμμετρον μέσον ἐστὶν [δύνανται γὰρ αὐτὰ εὐθεῖαι, αἵ εἰσι δυνάμει σύμμετροι, ὧν ἡ ἑτέρα μέση· ὥστε καὶ ἡ λοιπὴ μέση ἐστίν].

Ὡσαύτως δὲ τοῖς ἐπὶ τῶν ῥητῶν εἰρημένοις καὶ ἐπὶ τῶν μέσων ἐξακολουθεῖ, τὴν τῇ μέσῃ μήκει σύμμετρον λέγεσθαι μέσην *καὶ σύμμετρον αὐτῇ μὴ μόνον μήκει, ἀλλὰ καὶ δυνάμει, ἐπειδήπερ καθόλου αἱ μήκει σύμμετροι πάντως καὶ δυνάμει. ἐὰν δὲ τῇ μέσῃ σύμμετρός τις ᾖ δυνάμει, εἰ μὲν καὶ μήκει, λέγονται καὶ οὕτως μέσαι καὶ σύμμετροι μήκει καὶ δυνάμει, εἰ δὲ δυνάμει μόνον, λέγονται μέσαι δυνάμει μόνον σύμμετροι.*

κδ'

Τὸ ὑπὸ μέσων μήκει συμμέτρων εὐθειῶν κατά τινα τῶν εἰρημένων τρόπων περιεχόμενον ὀρθογώνιον μέσον ἐστίν.



Ὑπὸ γὰρ μέσων μήκει συμμέτρων εὐθειῶν τῶν ΑΒ, ΒΓ περιεχέσθω ὀρθογώνιον τὸ ΑΓ· λέγω, ὅτι τὸ ΑΓ μέσον ἐστίν.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔ· μέσον ἄρα ἐστὶ τὸ ΑΔ. καὶ ἐπεὶ σύμμετρός ἐστιν ἡ ΑΒ τῇ ΒΓ μήκει, ἴση δὲ ἡ ΑΒ τῇ ΒΔ, σύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΔΒ τῇ ΒΓ μήκει· ὥστε καὶ τὸ ΔΑ τῷ ΑΓ σύμμετρόν ἐστιν. μέσον δὲ τὸ ΔΑ· μέσον ἄρα καὶ τὸ ΑΓ· ὅπερ ἔδει δεῖξαι.

Ἔστω μέση ἡ A, καὶ ἔστω ἡ B σύμμετρος πρὸς τὴν A· λέγω, ὅτι καὶ ἡ B εἶναι μέση.

Διότι ἂς ληφθῇ ῥητὴ ἡ ΓΔ καὶ ἂς παραβληθῇ παρὰ τὴν ΓΔ ὀρθογώνιον παραλληλόγραμμον ἴσον πρὸς τὸ A^2 ἔχον πλάτος τὴν ΕΔ· ἄρα ἡ ΕΔ εἶναι ῥητὴ καὶ μήκει σύμμετρος πρὸς τὴν ΓΔ, (θεώρ. 22). Πρὸς δὲ τὸ B^2 ἴσον ὀρθογώνιον παραλληλόγραμμον ἂς παραβληθῇ παρὰ τὴν ΓΔ τὸ ΓΖ ἔχον πλάτος τὴν ΔΖ. Ἐπειδὴ λοιπὸν ἡ A εἶναι σύμμετρος πρὸς τὴν B εἶναι σύμμετρον καὶ τὸ A^2 πρὸς τὸ B^2. Ἀλλὰ τὸ μὲν τὸ $A^2 = ΕΓ$, τὸ δὲ $B^2 = ΓΖ$. Ἄρα τὸ ΕΓ εἶναι σύμμετρον πρὸς τὸ ΓΖ. Καὶ εἶναι $ΕΓ : ΓΖ = ΕΔ : ΔΖ$, (VI. 1)· ἄρα ἡ ΕΔ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΔΖ, (θεώρ. 11). Εἶναι δὲ ῥητὴ ἡ ΕΔ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΔΓ· ἄρα εἶναι ῥητὴ καὶ ἡ ΔΖ, (ὁρ. 3) καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΔΓ, (θεώρ. XIII)· ἄρα αἱ ῥηταὶ ΓΔ, ΔΖ εἶναι δυνάμει μόνον σύμμετροι. Ἡ δὲ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς ὀρθογώνιον, τοῦ ὁποίου αἱ πλευραὶ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι εἶναι μέση (θεώρ. 21). Ἡ δυναμένη ἄρα τὸ ὀρθογώνιον $ΓΔ \times ΔΖ$ εἶναι μέση. Καὶ $B^2 = ΓΔ \times ΔΖ$· ἄρα ἡ B εἶναι μέση.

Πόρισμα

Ἐκ τούτου εἶναι φανερόν, ὅτι τὸ σύμμετρον πρὸς τὸ μέσον χωρίον εἶναι μέσον [διότι τὰ χωρία ταῦτα ἰσοδυναμοῦσι πρὸς τετράγωνα αἱ πλευραί, τῶν ὁποίων εἶναι δυνάμει σύμμετροι, ἡ μία τῶν ὁποίων εἶναι μέση· ὥστε καὶ ἡ ἄλλη εἶναι μέση]. Ὁμοίως δὲ πρὸς τὰ ἐπὶ τῶν ῥητῶν εἰρημένα, (18 λημ.) ἰσχύουσι καὶ ἐπὶ τῶν μέσων, ὥστε ἡ πρὸς τὴν μέσην μήκει σύμμετρος νὰ λέγεται πρὸς αὐτὴν μέση καὶ σύμμετρος πρὸς αὐτὴν οὐ μόνον μήκει, ἀλλὰ καὶ δυνάμει, διότι ἐν γένει, αἱ μήκει σύμμετροι εἶναι πάντως καὶ δυνάμει. Ἐὰν δὲ πρὸς τὴν μέσην ὑπάρχῃ εὐθεῖα τις δυνάμει σύμμετρος, ἐὰν μὲν εἶναι καὶ μήκει σύμμετρος, λέγονται αἱ εὐθεῖαι καὶ τότε μέσαι καὶ σύμμετροι μήκει καὶ δυνάμει, ἐὰν δὲ δυνάμει μόνον, λέγονται μέσαι δυνάμει μόνον σύμμετροι.

24

Τὸ ὀρθογώνιον τὸ περιεχόμενον κατά τινα τῶν εἰρημένων τρόπων ὑπὸ εὐθειῶν μέσων μήκει συμμέτρων εἶναι μέσον.

Διότι ἂς περιέχηται τὸ ὀρθογώνιον ΑΓ ὑπὸ τῶν μέσων καὶ μήκει συμμέτρων εὐθειῶν τῶν ΑΒ, ΒΓ· λέγω, ὅτι τὸ ΑΓ εἶναι μέσον.

Διότι ἂς ἀναγραφῇ ἀπὸ τῆς ΑΒ τὸ τετράγωνον ΑΔ· ἄρα τὸ ΑΔ εἶναι μέσον. Καὶ ἐπειδὴ ἡ ΑΒ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΒΓ, εἶναι δὲ $ΑΒ = ΒΔ$, ἄρα καὶ ἡ ΔΒ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΒΓ· ὥστε καὶ τὸ ΔΑ εἶναι σύμμετρον πρὸς τὸ ΑΓ, (VI. 1 καὶ θεώρ. 11). Τὸ δὲ ΔΑ εἶναι μέσον· ἄρα εἶναι μέσον καὶ τὸ ΑΓ, (θεώρ. 23, πόρ.)· ὅπερ ἔδει δεῖξαι.

κε´

Τὸ ὑπὸ μέσων δυνάμει μόνον συμμέτρων εὐθειῶν περιεχόμενον ὀρθογώνιον ἤτοι ῥητὸν ἢ μέσον ἐστίν.

Ὑπὸ γὰρ μέσων δυνάμει μόνον συμμέτρων εὐθειῶν τῶν ΑΒ, ΒΓ ὀρθογώνιον περιεχέσθω τὸ ΑΓ· λέγω, ὅτι τὸ ΑΓ ἤτοι ῥητὸν ἢ μέσον ἐστίν.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα τὰ ΑΔ, ΒΕ· μέσον ἄρα ἐστὶν ἑκάτερον τῶν ΑΔ, ΒΕ. καὶ ἐκκείσθω ῥητὴ ἡ ΖΗ, καὶ τῷ μὲν ΑΔ ἴσον παρὰ τὴν ΖΗ παραβεβλήσθω ὀρθογώνιον παραλληλόγραμμον τὸ ΗΘ πλάτος ποιοῦν τὴν ΖΘ, τῷ δὲ ΑΓ ἴσον παρὰ τὴν ΘΜ παραβεβλήσθω ὀρθογώνιον παραλληλόγραμμον τὸ ΜΚ πλάτος ποιοῦν τὴν ΘΚ, καὶ ἔτι τῷ ΒΕ ἴσον ὁμοίως παρὰ τὴν ΚΝ παραβεβλήσθω τὸ ΝΛ πλάτος ποιοῦν τὴν ΚΛ· ἐπ' εὐθείας ἄρα εἰσὶν αἱ ΖΘ, ΘΚ, ΚΛ. ἐπεὶ οὖν μέσον ἐστὶν ἑκάτερον τῶν ΑΔ, ΒΕ, καί ἐστιν ἴσον τὸ μὲν ΑΔ τῷ ΗΘ, τὸ δὲ ΒΕ τῷ ΝΛ, μέσον ἄρα καὶ ἑκάτερον τῶν ΗΘ, ΝΛ. καὶ παρὰ ῥητὴν τὴν ΖΗ παράκειται· ῥητὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ΖΘ, ΚΛ καὶ ἀσύμμετρος τῇ ΖΗ μήκει. καὶ ἐπεὶ σύμμετρόν ἐστι τὸ ΑΔ τῷ ΒΕ, σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ΗΘ τῷ ΝΛ. καί ἐστιν ὡς τὸ ΗΘ πρὸς τὸ ΝΛ, οὕτως ἡ ΖΘ πρὸς τὴν ΚΛ· σύμμετρος ἄρα ἐστὶν ἡ ΖΘ τῇ ΚΛ μήκει. αἱ ΖΘ, ΚΛ ἄρα ῥηταί εἰσι μήκει σύμμετροι· ῥητὸν ἄρα ἐστὶ τὸ ὑπὸ τῶν ΖΘ, ΚΛ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΔΒ τῇ ΒΑ, ἡ δὲ ΞΒ τῇ ΒΓ, ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΞ. ἀλλ' ὡς μὲν ἡ ΔΒ πρὸς τὴν ΒΓ, οὕτως τὸ ΔΑ πρὸς τὸ ΑΓ· ὡς δὲ ἡ ΑΒ πρὸς τὴν ΒΞ, οὕτως τὸ ΑΓ πρὸς τὸ ΓΞ· ἔστιν ἄρα ὡς τὸ ΔΑ πρὸς τὸ ΑΓ, οὕτως τὸ ΑΓ πρὸς τὸ ΓΞ. ἴσον δέ ἐστιν τὸ μὲν ΑΔ τῷ ΗΘ, τὸ δὲ ΑΓ τῷ ΜΚ, τὸ δὲ ΓΞ τῷ ΝΛ· ἔστιν ἄρα ὡς τὸ ΗΘ πρὸς τὸ ΜΚ, οὕτως τὸ ΜΚ πρὸς τὸ ΝΛ· ἔστιν ἄρα καὶ ὡς ἡ ΖΘ πρὸς τὴν ΘΚ, οὕτως ἡ ΘΚ πρὸς τὴν ΚΛ· τὸ ἄρα ὑπὸ τῶν ΖΘ, ΚΛ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΘΚ. ῥητὸν δὲ τὸ ὑπὸ τῶν ΖΘ, ΚΛ· ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΘΚ· ῥητὴ ἄρα ἐστὶν ἡ ΘΚ. καὶ εἰ μὲν σύμμετρός ἐστι τῇ ΖΗ μήκει, ῥητόν ἐστι τὸ ΘΝ· εἰ δὲ ἀσύμμετρός ἐστι τῇ ΖΗ μήκει, αἱ ΚΘ, ΘΜ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· μέσον ἄρα τὸ ΘΝ. τὸ ΘΝ ἄρα ἤτοι ῥητὸν ἢ μέσον ἐστίν. ἴσον δὲ τὸ ΘΝ τῷ ΑΓ· τὸ ΑΓ ἄρα ἤτοι ῥητὸν ἢ μέσον ἐστίν.



Τὸ ἄρα ὑπὸ μέσων δυνάμει μόνον συμμέτρων, καὶ τὰ ἑξῆς.

κϛ´

Μέσον μέσου οὐχ ὑπερέχει ῥητῷ.

Εἰ γὰρ δυνατόν, μέσον τὸ ΑΒ μέσου τοῦ ΑΓ ὑπερεχέτω ῥητῷ τῷ ΔΒ, καὶ ἐκκείσθω ῥητὴ ἡ ΕΖ, καὶ τῷ ΑΒ ἴσον παρὰ τὴν ΕΖ παραβεβλήσθω παραλ-

25

Τὸ ὑπὸ μέσων δυνάμει μόνον συμμέτρων εὐθειῶν περιεχόμενον ὀρθογώνιον εἶναι ἢ ῥητὸν ἢ μέσον.

Διότι ἂς περιέχηται τὸ ὀρθογώνιον ΑΓ ὑπὸ τῶν μέσων δυνάμει μόνον συμμέτρων εὐθειῶν τῶν ΑΒ, ΒΓ· λέγω, ὅτι τὸ ΑΓ εἶναι ἢ ῥητὸν ἢ μέσον.

Διότι ἂς ἀναγραφῶσι ἀπὸ τῶν εὐθειῶν ΑΒ, ΒΓ τὰ τετράγωνα αὐτῶν τὰ ΑΒ, ΒΕ· ἄρα ἕκαστον τῶν ΑΒ, ΒΕ εἶναι μέσον. Καὶ ἂς ληφθῇ ἡ ΖΗ ῥητὴ καὶ ἂς παραβληθῇ παρὰ τὴν ΖΗ πρὸς μὲν τὸ ΑΔ ἴσον ὀρθογώνιον παραλληλόγραμμον τὸ ΗΘ ἔχον πλάτος τὴν ΖΘ, πρὸς δὲ τὸ ΑΓ ἂς παραβληθῇ παρὰ τὴν ΘΜ ἴσον ὀρθογώνιον παραλληλόγραμμον τὸ ΜΚ ἔχον πλάτος τὴν ΘΚ, καὶ προσέτι πρὸς τὸ ΒΕ ἴσον ἂς παραβληθῇ ὁμοίως πρὸς τὴν ΚΝ τὸ ΝΛ ἔχον πλάτος τὴν ΚΛ· ἄρα αἱ ΖΘ, ΘΚ, ΚΛ κεῖνται ἐπ' εὐθείας. Ἐπειδὴ λοιπὸν ἕκαστον τῶν ΑΔ, ΒΕ εἶναι μέσον καὶ τὸ μὲν ΑΔ = ΗΘ, τὸ δὲ ΒΕ = ΝΛ, ἄρα καὶ ἕκαστον τῶν ΗΘ, ΝΛ εἶναι μέσον. Καὶ ἕκαστον τούτων παρεβλήθη παρὰ τὴν ῥητὴν τὴν ΖΗ· ἄρα ἑκάστη τῶν ΖΘ, ΚΛ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΖΗ, (θεώρ. 22). Καὶ ἐπειδὴ τὸ ΑΔ εἶναι σύμμετρον πρὸς τὸ ΒΕ, ἄρα καὶ τὸ ΗΘ εἶναι σύμμετρον πρὸς τὸ ΝΛ. Καὶ εἶναι ΗΘ : ΝΛ = ΖΘ : ΚΛ, (VI. 1)· ἄρα ἡ ΖΘ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΚΛ, (θεώρ. 21). Ἄρα αἱ ῥηταὶ ΖΘ, ΚΛ εἶναι μήκει σύμμετροι, (θεώρ. 19). Καὶ ἐπειδὴ ἡ μὲν ΔΒ = ΒΑ, ἡ δὲ ΞΒ = ΒΓ, εἶναι ἄρα ΔΒ : ΒΓ = ΑΒ : ΒΞ. Ἀλλ' ὡς μὲν ΔΒ : ΒΓ = ΔΑ : ΑΓ, (VI. 1)· ὡς δὲ ΑΒ : ΒΞ = ΑΓ : ΓΞ, (VI. 1)· εἶναι ἄρα ΔΑ : ΑΓ = ΑΓ : ΓΞ. Εἶναι δὲ τὸ μὲν ΑΔ = ΗΘ, τὸ δὲ ΑΓ = ΜΚ τὸ δὲ ΓΞ = ΝΛ· εἶναι ἄρα ΗΘ : ΜΚ = ΜΚ: ΝΛ· ἄρα εἶναι καὶ ΖΘ : ΘΚ = ΘΚ : ΚΛ, (VI.1)· τὸ ὀρθογώνιον ἄρα $ΖΘ \times ΚΛ = ΘΚ^2$, (VI. 17). Εἶναι δὲ ῥητὸν τὸ ὀρθογώνιον $ΖΘ \times ΚΛ$· ἄρα εἶναι ῥητὸν καὶ τὸ $ΘΚ^2$· ἄρα ἡ ΘΚ εἶναι ῥητή. Καὶ ἂν μὲν αὕτη εἶναι μήκει σύμμετρος πρὸς τὴν ΖΗ, εἶναι τὸ ΘΝ ῥητόν, (θεώρ. 19)· ἐὰν δὲ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΖΗ αἱ ῥηταὶ ΚΘ, ΘΜ εἶναι δυνάμει μόνον σύμμετροι· ἄρα τὸ ΘΝ εἶναι μέσον, (θεώρ. 21). Τὸ ΘΝ ἄρα εἶναι ἢ ῥητὸν ἢ μέσον. Εἶναι δὲ ἴσον τὸ ΘΝ πρὸς τὸ ΑΓ· ἄρα τὸ ΑΓ εἶναι ἢ ῥητὸν ἢ μέσον.

Τὸ ἄρα ὑπὸ μέσων δυνάμει μόνον συμμέτρων, καὶ τὰ ἑξῆς.

26

Μέσον δὲν ὑπερέχει μέσου κατὰ ῥητόν.

Διότι ἐὰν εἶναι δυνατὸν ἂς ὑπερέχῃ τὸ μέσον ΑΒ τοῦ μέσου τοῦ ΑΓ κατὰ τὸ ῥητὸν ΔΒ, καὶ ἂς ληφθῇ ῥητὴ ἡ ΕΖ, καὶ ἂς παραβληθῇ παρὰ τὴν ΕΖ ὀρληλόγραμμον ὀρθογώνιον τὸ ΖΘ πλάτος ποιοῦν τὴν ΕΘ, τῷ δὲ ΑΓ ἴσον ἀφῃρήσθω τὸ ΖΗ· λοιπὸν ἄρα τὸ ΒΔ λοιπῷ τῷ ΚΘ ἐστιν ἴσον. ῥητὸν δέ ἐστι τὸ ΔΒ· ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ΚΘ. ἐπεὶ οὖν μέσον ἐστὶν ἑκάτερον τῶν ΑΒ, ΑΓ, καί ἐστι τὸ μὲν ΑΒ τῷ ΖΘ ἴσον, τὸ δὲ ΑΓ τῷ ΖΗ, μέσον ἄρα καὶ ἑκάτερον τῶν ΖΘ, ΖΗ. καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται· ῥητὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ΘΕ, ΕΗ καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. καὶ ἐπεὶ ῥητόν ἐστι τὸ ΔΒ καί ἐστιν ἴσον τῷ ΚΘ, ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ΚΘ. καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται· ῥητὴ ἄρα ἐστὶν ἡ ΗΘ καὶ σύμμετρος τῇ ΕΖ μήκει. ἀλλὰ καὶ ἡ ΕΗ ῥητή ἐστι καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΕΗ τῇ ΗΘ μήκει. καί ἐστιν ὡς ἡ ΕΗ πρὸς τὴν ΗΘ, οὕτως τὸ ἀπὸ τῆς ΕΗ πρὸς τὸ ὑπὸ τῶν ΕΗ, ΗΘ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΕΗ τῷ ὑπὸ τῶν ΕΗ, ΗΘ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΕΗ σύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΕΗ, ΗΘ τετράγωνα· ῥητὰ γὰρ ἀμφότερα· τῷ δὲ ὑπὸ τῶν ΕΗ, ΗΘ σύμμετρόν ἐστι τὸ δὶς ὑπὸ τῶν ΕΗ, ΗΘ· διπλάσιον γάρ ἐστιν αὐτοῦ· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΕΗ, ΗΘ τῷ δὶς ὑπὸ τῶν ΕΗ, ΗΘ· καὶ συναμφότερα ἄρα τά τε ἀπὸ τῶν ΕΗ, ΗΘ· καὶ τὸ δὶς ὑπὸ τῶν ΕΗ, ΗΘ, ὅπερ ἐστὶ τὸ ἀπὸ τῆς ΕΘ, ἀσύμμετρόν ἐστι τοῖς ἀπὸ τῶν ΕΗ, ΗΘ. ῥητὰ δὲ τὰ ἀπὸ τῶν ΕΗ, ΗΘ. ἄλογον ἄρα τὸ ἀπὸ τῆς ΕΘ. ἄλογος ἄρα ἐστὶν ἡ ΕΘ. ἀλλὰ καὶ ῥητή· ὅπερ ἐστὶν ἀδύνατον.



Μέσον ἄρα μέσου οὐχ ὑπερέχει ῥητῷ· ὅπερ ἔδει δεῖξαι.

κζ´

Μέσας εὑρεῖν δυνάμει μόνον συμμέτρους ῥητὸν περιεχούσας.

Ἐκκείσθωσαν δύο ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ Α, Β, καὶ εἰλήφθω τῶν Α, Β, μέση ἀνάλογον ἡ Γ, καὶ γεγονέτω ὡς ἡ Α πρὸς τὴν Β, οὕτως ἡ Γ πρὸς τὴν Δ.

Καὶ ἐπεὶ αἱ Α, Β ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, τὸ ἄρα ὑπὸ τῶν Α, Β, τουτέστι τὸ ἀπὸ τῆς Γ, μέσον ἐστίν. Μέση ἄρα ἡ Γ. καὶ ἐπεί ἐστιν ὡς ἡ Α πρὸς τὴν Β, [οὕτως] ἡ Γ πρὸς τὴν Δ, αἱ δὲ Α, Β δυνάμει μόνον [εἰσὶ] σύμμετροι, καὶ αἱ Γ, Δ ἄρα δυνάμει μόνον εἰσὶ σύμμετροι. καί ἐστι μέση ἡ Γ· μέση ἄρα καὶ ἡ Δ. αἱ Γ, Δ ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι. λέγω, ὅτι καὶ ῥητὸν περιέχουσιν. ἐπεὶ γάρ ἐστιν ὡς ἡ Α πρὸς τὴν Β, οὕτως ἡ Γ πρὸς τὴν Δ, ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ Α πρὸς τὴν Γ, ἡ Β πρὸς τὴν Δ. ἀλλ᾽ ὡς ἡ Α πρὸς τὴν Γ, ἡ Γ πρὸς τὴν Β· καὶ ὡς ἄρα ἡ Γ πρὸς τὴν Β, οὕτως ἡ Β πρὸς τὴν Δ· τὸ ἄρα ὑπὸ τῶν Γ, Δ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς Β. ῥητὸν δὲ τὸ ἀπὸ τῆς Β· ῥητὸν ἄρα [ἐστὶ] καὶ τὸ ὑπὸ τῶν Γ, Δ.



θογώνιον παραλληλόγραμμον τὸ ΖΘ ἴσον πρὸς τὸ ΑΒ, ἔχον πλάτος τὴν ΕΘ, καὶ ἐκ τούτου ἂς ἀφαιρεθῇ τὸ ΖΗ ἴσον πρὸς τὸ ΑΓ· τὸ ὑπόλοιπον ἄρα τὸ ΒΔ εἶναι ἴσον πρὸς τὸ ὑπόλοιπον τὸ ΚΘ. Εἶναι δὲ ῥητὸν τὸ ΔΒ· ἄρα εἶναι ῥητὸν καὶ τὸ ΚΘ. Ἐπειδὴ λοιπὸν ἕκαστον τῶν ΑΒ, ΑΓ εἶναι μέσον, καὶ εἶναι τὸ μὲν $ΑΒ = ΖΘ$, τὸ δὲ $ΑΓ = ΖΗ$, ἄρα καὶ ἕκαστον τῶν ΖΘ, ΖΗ εἶναι μέσον. Καὶ ἔχει παραβληθῇ παρὰ ῥητὴν τὴν ΕΖ· ἄρα εἶναι ῥητὴ καὶ ἑκάστη τῶν ΘΕ, ΕΗ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΕΖ, (θεώρ. 22). Καὶ ἐπειδὴ τὸ ΔΒ εἶναι ῥητὸν καὶ εἶναι ἴσον πρὸς τὸ ΚΘ, ἄρα εἶναι ῥητὸν καὶ τὸ ΚΘ. Καὶ ἔχει παραβληθῇ παρὰ τὴν ῥητὴν τὴν ΕΖ· ἄρα ἡ ΗΘ εἶναι ῥητὴ καὶ μήκει σύμμετρος πρὸς τὴν ΕΖ, (θεώρ. 20). Ἀλλὰ καὶ ἡ ΕΗ εἶναι ῥητὴ καὶ μήκει ἀσύμμετρος πρὸς τὴν ΕΖ· μήκει ἀσύμμετρος ἄρα εἶναι ἡ ΕΗ πρὸς τὴν ΗΘ, (θεώρ. 13). Καὶ εἶναι $ΕΗ : ΗΘ = ΕΗ^2 : ΕΗ \times ΗΘ$, (θεώρ. 21, λῆμμα)· ἄρα εἶναι ἀσύμμετρον τὸ $ΕΗ^2$ πρὸς τὸ ὀρθογώνιον $ΕΗ \times ΗΘ$, (θεώρ. 11). Ἀλλὰ πρὸς μὲν τὸ $ΕΗ^2$ εἶναι σύμμετρον τὸ ἄθροισμα $ΕΗ^2 + ΗΘ^2$· διότι καὶ τὰ δύο τετράγωνα εἶναι ῥητά· πρὸς δὲ τὸ ὀρθογώνιον $ΕΗ \times ΗΘ$ εἶναι σύμμετρον τὸ $2ΕΗ \times ΗΘ$, (θεώρ. 6)· διότι εἶναι διπλάσιον αὐτοῦ· ἀσύμμετρον ἄρα εἶναι τὸ ἄθροισμα $ΕΗ^2 + ΗΘ^2$ πρὸς τὸ $2ΕΗ \times ΗΘ$, (θεώρ. 13)· καὶ τὸ ἄθροισμα ἄρα $ΕΗ^2 + ΗΘ^2 + 2ΕΗ \times ΗΘ$ τὸ ὁποῖον εἶναι ἴσον πρὸς τὸ $ΕΘ^2$, (II. 4) εἶναι ἀσύμμετρον πρὸς τὸ ἄθροισμα $ΕΗ^2 + ΗΘ^2$, (θεώρ. 16). Εἶναι δὲ ῥητὸν τὸ ἄθροισμα $ΕΗ^2 + ΗΘ^2$· ἄρα τὸ $ΕΘ^2$ εἶναι ἄλογον, (ὁριθ. 4). Ἄρα εἶναι ἄλογος ἡ ΕΘ, (ὁρ. 4). Ἀλλὰ εἶναι καὶ ῥητή· ὅπερ ἀδύνατον.

Μέσον ἄρα δὲν ὑπερέχει μέσου κατὰ ῥητόν· ὅπερ ἔδει δεῖξαι.

27

Νὰ εὑρεθῶσι μέσαι δυνάμει μόνον σύμμετροι ῥητὸν περιέχουσαι.

Ἂς ληφθῶσι δύο ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ Α, Β, καὶ ἂς ληφθῇ τῶν Α, Β μέση ἀνάλογος ἡ Γ, (VI. 13), καὶ ἂς γίνῃ $Α : Β = Γ : Δ$, (VI. 12).

Καὶ ἐπειδὴ αἱ ῥηταὶ Α, Β εἶναι δυνάμει μόνον σύμμετροι, ἄρα τὸ ὀρθογώνιον $Α \times Β$ δηλ. τὸ $Γ^2$ εἶναι μέσον, (θεώρ. 21). Ἄρα ἡ Γ εἶναι μέση (θεώρ. 21). Καὶ ἐπειδὴ εἶναι $Α : Β = Γ : Δ$, αἱ δὲ Α, Β εἶναι μόνον δυνάμει σύμμετροι, καὶ αἱ Γ, Δ ἄρα εἶναι δυνάμει μόνον σύμμετροι, (θεώρ. 11). Καὶ εἶναι ἡ Γ μέση· ἄρα καὶ ἡ Δ εἶναι μέση, (θεώρ. 23). Αἱ μέσαι ἄρα Γ, Δ εἶναι δυνάμει μόνον σύμμετροι. Λέγω, ὅτι καὶ τὸ ὑπ' αὐτῶν περιεχόμενον ὀρθογώνιον εἶναι ῥητόν. Διότι, ἐπειδὴ εἶναι $Α : Β = Γ : Δ$, ἐναλλὰξ ἄρα εἶναι ὡς $Α : Γ = Β : Δ$, (V. 16). Ἀλλὰ $Α : Γ = Γ : Β$· ἄρα καὶ $Γ : Β = Β : Δ$, (V. 11)· τὸ ὀρθογώνιον ἄρα $Γ \times Δ = Β^2$. Τὸ δὲ $Β^2$ εἶναι ῥητόν· ἄρα καὶ τὸ $Γ \times Δ$ εἶναι ῥητόν.

Εὕρηνται ἄρα μέσαι δυνάμει μόνον σύμμετροι ῥητὸν περιέχουσαι· ὅπερ ἔδει δεῖξαι.

κη´

Μέσας εὑρεῖν δυνάμει μόνον συμμέτρους μέσον περιεχούσας.

Ἐκκείσθωσαν [τρεῖς] ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ Α, Β, Γ, καὶ εἰλήφθω τῶν Α, Β μέση ἀνάλογον ἡ Δ, καὶ γεγονέτω ὡς ἡ Β πρὸς τὴν Γ, ἡ Δ πρὸς τὴν Ε.

Ἐπεὶ αἱ Α, Β ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, τὸ ἄρα ὑπὸ τῶν Α, Β, τουτέστι τὸ ἀπὸ τῆς Δ, μέσον ἐστίν. μέση ἄρα ἡ Δ. καὶ ἐπεὶ αἱ Β, Γ δυνάμει μόνον εἰσὶ σύμμετροι, καί ἐστιν ὡς ἡ Β πρὸς τὴν Γ, ἡ Δ πρὸς τὴν Ε, καὶ αἱ Δ, Ε ἄρα δυνάμει μόνον εἰσὶ σύμμετροι. μέση δὲ ἡ Δ· μέση ἄρα καὶ ἡ Ε· αἱ Δ, Ε ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι. λέγω δή, ὅτι καὶ μέσον περιέχουσιν. ἐπεὶ γάρ ἐστιν ὡς ἡ Β πρὸς τὴν Γ, ἡ Δ πρὸς τὴν Ε, ἐναλλὰξ ἄρα ὡς ἡ Β πρὸς τὴν Δ, ἡ Γ πρὸς τὴν Ε. ὡς δὲ ἡ Β πρὸς τὴν Δ, ἡ Δ πρὸς τὴν Α· καὶ ὡς ἄρα ἡ Δ πρὸς τὴν Α, ἡ Γ πρὸς τὴν Ε· τὸ ἄρα ὑπὸ τῶν Α, Γ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν Δ, Ε. μέσον δὲ τὸ ὑπὸ τῶν Α, Γ· μέσον ἄρα καὶ τὸ ὑπὸ τῶν Δ, Ε.



Εὕρηνται ἄρα μέσαι δυνάμει μόνον σύμμετροι μέσον περιέχουσαι· ὅπερ ἔδει δεῖξαι.

Λῆμμα

Εὑρεῖν δύο τετραγώνους ἀριθμούς, ὥστε καὶ τὸν συγκείμενον ἐξ αὐτῶν εἶναι τετράγωνον.

Ἐκκείσθωσαν δύο ἀριθμοὶ οἱ ΑΒ, ΒΓ, ἔστωσαν δὲ ἤτοι ἄρτιοι ἢ περιττοί. καὶ ἐπεί, ἐάν τε ἀπὸ ἀρτίου ἄρτιος ἀφαιρεθῇ, ἐάν τε ἀπὸ περισσοῦ περισσός, ὁ λοιπὸς ἄρτιός ἐστιν, ὁ λοιπὸς ἄρα ὁ ΑΓ ἄρτιός ἐστιν. τετμήσθω ὁ ΑΓ δίχα κατὰ τὸ Δ. ἔστωσαν δὲ καὶ οἱ ΑΒ, ΒΓ ἤτοι ὅμοιοι ἐπίπεδοι ἢ τετράγωνοι, οἳ καὶ αὐτοὶ ὅμοιοί εἰσιν ἐπίπεδοι· ὁ ἄρα ἐκ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ [τοῦ] ΓΔ τετραγώνου ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ ΒΔ τετραγώνῳ. καί ἐστι τετράγωνος ὁ ἐκ τῶν ΑΒ, ΒΓ, ἐπειδήπερ ἐδείχθη, ὅτι, ἐὰν δύο ὅμοιοι ἐπίπεδοι πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινα, ὁ γενόμενος τετράγωνός ἐστιν. εὕρηνται ἄρα δύο τετράγωνοι ἀριθμοὶ ὅ τε ἐκ τῶν ΑΒ, ΒΓ καὶ ὁ ἀπὸ τοῦ ΓΔ, οἳ συντεθέντες ποιοῦσιν τὸν ἀπὸ τοῦ ΒΔ τετράγωνον.

Καὶ φανερόν, ὅτι εὕρηνται πάλιν δύο τετράγωνοι ὅ τε ἀπὸ τοῦ ΒΔ καὶ ὁ ἀπὸ τοῦ ΓΔ, ὥστε τὴν ὑπεροχὴν αὐτῶν τὸν ὑπὸ ΑΒ, ΒΓ εἶναι τετράγωνον, ὅταν οἱ ΑΒ, ΒΓ ὅμοιοι ὦσιν ἐπίπεδοι. ὅταν δὲ μὴ ὦσιν ὅμοιοι ἐπίπεδοι, εὕρην-

Εὐρέθησαν ἄρα μέσαι δυνάμει μόνον σύμμετροι τῶν ὁποίων τὸ ὀρθογώνιον εἶναι ῥητόν· ὅπερ ἔδει δεῖξαι.

28

Νὰ εὑρεθῶσι μέσαι δυνάμει μόνον σύμμετροι μέσον περιέχουσαι.

Ἂς ληφθῶσι τρεῖς ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ Α, Β, Γ, καὶ ἂς ληφθῇ τῶν Α, Β μέση ἀνάλογος ἡ Δ, (VI. 13) καὶ ἂς γίνῃ $Β : Γ = Δ : Ε$, (VI. 12).

Ἐπειδὴ αἱ ῥηταὶ Α, Β εἶναι δυνάμει μόνον σύμμετροι, τὸ ὀρθογώνιον ἄρα $Α \times Β$, δηλ. τὸ $Δ^2$, (VI. 17) εἶναι μέσον, (θεώρ. 21). Ἄρα ἡ Δ εἶναι μέση (θεώρ. 21). Καὶ ἐπειδὴ αἱ Β, Γ εἶναι δυνάμει μόνον σύμμετροι καὶ εἶναι $Β : Γ = Δ : Ε$, ἄρα καὶ αἱ Δ, Ε εἶναι δυνάμει μόνον σύμμετροι, (θεώρ. 11). Εἶναι δὲ μέση ἡ Δ· ἄρα καὶ ἡ Ε εἶναι μέση, (θεώρ. 23)· αἱ μέσαι ἄρα Δ, Ε εἶναι δυνάμει μόνον σύμμετροι. Λέγω τώρα, ὅτι τὸ ὀρθογώνιον αὐτῶν $(Δ \times Ε)$ εἶναι μέσον. Διότι, ἐπειδὴ εἶναι $Β : Γ = Δ : Ε$, ἐναλλὰξ ἄρα εἶναι $Β : Δ = Γ : Ε$, (V. 16). Ὡς δὲ $Β : Δ = Δ : Α$· καὶ ἄρα $Δ : Α = Γ : Ε$· ἄρα τὸ ὀρθογώνιον $Α \times Γ =$ ὀρθογώνιον $Δ \times Ε$, (VI. 16). Εἶναι δὲ τὸ $Α \times Γ$ μέσον· ἄρα εἶναι μέσον καὶ τὸ $Δ \times Ε$.

Εὐρέθησαν ἄρα μέσαι δυνάμει μόνον σύμμετροι περιέχουσαι μέσον· ὅπερ ἔδει δεῖξαι.

Λ ῆ μ μ α (1ον)

Νὰ εὑρεθῶσι δύο τετράγωνοι ἀριθμοί, ὥστε καὶ τὸ ἄθροισμά των νὰ εἶναι τετράγωνος.

Ἂς ληφθῶσι δύο ἀριθμοὶ οἱ ΑΒ, ΒΓ, ἔστωσαν δὲ ἢ ἄρτιοι ἢ περιττοί. Καὶ ἐπειδή, ἐὰν ἀπὸ ἀρτίου ἀφαιρεθῇ ἄρτιος, ἢ ἐὰν ἀπὸ περιττοῦ ἀφαιρεθῇ περιττός, τὸ ὑπόλοιπον εἶναι ἄρτιος, τὸ ὑπόλοιπον ἄρα ΑΓ εἶναι ἄρτιος, (IX. 24, 26). Ἂς τμηθῇ ὁ ΑΓ εἰς τὸ μέσον κατὰ τὸ σημεῖον Δ. Ἔστωσαν δὲ καὶ οἱ ΑΒ, ΒΓ ἢ ὅμοιοι ἐπίπεδοι ἀριθμοὶ ἢ τετράγωνοι, οἱ ὁποῖοι καὶ αὐτοὶ εἶναι ὅμοιοι ἐπίπεδοι. Ἄρα $ΑΒ \times ΒΓ + ΓΔ^2 = ΒΔ^2$, (II. 6). Καὶ εἶναι τὸ γινόμενον $ΑΒ \times ΒΓ$ τετράγωνος ἀριθμός, διότι ἔχει ἀποδειχθῇ ὅτι, ἐὰν δύο ὅμοιοι ἐπίπεδοι ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους δίδωσι ἀριθμόν τινα ὁ ἀριθμὸς οὗτος εἶναι τετράγωνος, (IX. 1). Εὐρέθησαν ἄρα δύο τετράγωνοι ἀριθμοὶ καὶ τὸ γινόμενον $ΑΒ \times ΒΓ$ καὶ ὁ τετράγωνος $ΓΔ^2$, τῶν ὁποίων τὸ ἄθροισμα εἶναι ὁ τετράγωνος ἀριθμὸς $ΒΔ^2$.

Καὶ εἶναι φανερόν, ὅτι ἔχουσιν ἐξ ἄλλου εὑρεθῇ δύο τετράγωνοι ἀριθμοὶ καὶ ὁ $ΒΔ^2$ καὶ ὁ $ΓΔ^2$, ὥστε ἡ διαφορά των ἡ $ΑΒ \times ΒΓ$ νὰ εἶναι τετράγωνος ἀριθμός, ὅταν οἱ ΑΒ, ΒΓ εἶναι ὅμοιοι ἐπίπεδοι ἀριθμοί. Ὅταν δὲ οὗτοι δὲν ται δύο τετράγωνοι ὅ τε ἀπὸ τοῦ ΒΔ καὶ ὁ ἀπὸ τοῦ ΔΓ, ὧν ἡ ὑπεροχὴ ὁ ὑπὸ τῶν ΑΒ, ΒΓ οὐκ ἔστι τετράγωνος· ὅπερ ἔδει δεῖξαι.

Λῆμμα

Εὑρεῖν δύο τετραγώνους ἀριθμούς, ὥστε τὸν ἐξ αὐτῶν συγκείμενον μὴ εἶναι τετράγωνον.

Ἔστω γὰρ ὁ ἐκ τῶν ΑΒ, ΒΓ, ὡς ἔφαμεν, τετράγωνος, καὶ ἄρτιος ὁ ΓΑ, καὶ τετμήσθω ὁ ΓΑ δίχα τῷ Δ. φανερὸν δή, ὅτι ὁ ἐκ τῶν ΑΒ, ΒΓ τετράγωνος μετὰ τοῦ ἀπὸ [τοῦ] ΓΔ τετραγώνου ἴσος ἐστὶ τῷ ἀπὸ [τοῦ] ΒΔ τετραγώνῳ. ἀφῃρήσθω μονὰς ἡ ΔΕ· ὁ ἄρα ἐκ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ [τοῦ] ΓΕ ἐλάσσων ἐστὶ τοῦ ἀπὸ [τοῦ] ΒΔ τετραγώνου. λέγω οὖν, ὅτι ὁ ἐκ τῶν ΑΒ, ΒΓ τετράγωνος μετὰ τοῦ ἀπὸ [τοῦ] ΓΕ οὐκ ἔσται τετράγωνος.

Εἰ γὰρ ἔσται τετράγωνος, ἤτοι ἴσος ἐστὶ τῷ ἀπὸ [τοῦ] ΒΕ ἢ ἐλάσσων τοῦ ἀπὸ [τοῦ] ΒΕ, οὐκέτι δὲ καὶ μείζων, ἵνα μὴ τμηθῇ ἡ μονάς. ἔστω, εἰ δυνατόν, πρότερον ὁ ἐκ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος τῷ ἀπὸ ΒΕ, καὶ ἔστω τῆς ΔΕ μονάδος διπλασίων ὁ ΗΑ. ἐπεὶ οὖν ὅλος ὁ ΑΓ ὅλου τοῦ ΓΔ ἐστι διπλασίων, ὧν ὁ ΑΗ τοῦ ΔΕ ἐστι διπλασίων, καὶ λοιπὸς ἄρα ὁ ΗΓ λοιποῦ τοῦ ΕΓ ἐστι διπλασίων· δίχα ἄρα τέτμηται ὁ ΗΓ τῷ Ε. ὁ ἄρα ἐκ τῶν ΗΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος ἐστὶ τῷ ἀπὸ ΒΕ τετραγώνῳ. ἀλλὰ καὶ ὁ ἐκ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος ὑπόκειται τῷ ἀπὸ [τοῦ] ΒΕ τετραγώνῳ· ὁ ἄρα ἐκ τῶν ΗΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος ἐστὶ τῷ ἐκ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ. καὶ κοινοῦ ἀφαιρεθέντος τοῦ ἀπὸ ΓΕ συνάγεται ὁ ΑΒ ἴσος τῷ ΗΒ· ὅπερ ἄτοπον. οὐκ ἄρα ὁ ἐκ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ [τοῦ] ΓΕ ἴσος ἐστὶ τῷ ἀπὸ ΒΕ. λέγω δή, ὅτι οὐδὲ ἐλάσσων τοῦ ἀπὸ ΒΕ· εἰ γὰρ δυνατόν, ἔστω τῷ ἀπὸ ΒΖ ἴσος, καὶ τοῦ ΔΖ διπλασίων ὁ ΘΑ. καὶ συναχθήσεται πάλιν διπλασίων ὁ ΘΓ τοῦ ΓΖ· ὥστε καὶ τὸν ΓΘ δίχα τετμῆσθαι κατὰ τὸ Ζ, καὶ διὰ τοῦτο τὸν ἐκ τῶν ΘΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΖΓ ἴσον γίνεσθαι τῷ ἀπὸ ΒΖ. ὑπόκειται δὲ καὶ ὁ ἐκ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος τῷ ἀπὸ ΒΖ. ὥστε καὶ ὁ ἐκ τῶν ΘΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΓΖ ἴσος ἔσται τῷ ἐκ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ· ὅπερ ἄτοπον· οὐκ ἄρα ὁ ἐκ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος ἐστὶ [τῷ] ἐλάσσονι τοῦ ἀπὸ ΒΕ. ἐδείχθη δέ, ὅτι οὐδὲ [αὐτῷ] τῷ ἀπὸ ΒΕ. οὐκ ἄρα ὁ ἐκ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ τετράγωνός ἐστιν [δυνατοῦ δὲ ὄντος καὶ κατὰ πλείονας τρόπους τοὺς εἰρημένους ἀριθμοὺς ἐπιδεικνύειν, ἀρκείσθωσιν ἡμῖν οἱ εἰρημένοι, ἵνα μὴ μακροτέρας οὔσης τῆς πραγματείας ἐπὶ πλέον αὐτὴν μηκύνωμεν]. ὅπερ ἔδει δεῖξαι.

κθ'

Εὑρεῖν δύο ῥητὰς δυνάμει μόνον συμμέτρους, ὥστε τὴν μείζονα εἶναι ἐπίπεδοι, ἔχουσιν εὑρεθῆ δύο τετράγωνοι ἀριθμοὶ καὶ ὁ $ΒΔ^2$ καὶ ὁ $ΔΓ^2$ τῶν ὁποίων ἡ διαφορὰ ἡ $ΑΒ \times ΒΓ$ δὲν εἶναι τετράγωνος· ὅπερ ἔδει δεῖξαι.

Λ ῆ μ μ α (2ον)

Νὰ εὑρεθῶσι δύο τετράγωνοι ἀριθμοί, ὥστε τὸ ἄθροισμα αὐτῶν νὰ μὴ εἶναι τετράγωνος.

Διότι ἔστω ὁ τετράγωνος ἀριθμὸς $ΑΒ \times ΒΓ$, ὡς εἴπομεν (εἰς τὸ προηγούμενον λῆμμα) καὶ ἄρτιος ὁ ΓΑ, καὶ ἂς τμηθῇ εἰς τὸ μέσον ὁ ΓΑ κατὰ τὸ σημεῖον Δ. Εἶναι φανερόν, ὅτι ὁ τετράγωνος ἀριθμὸς $ΑΒ \times ΒΓ + ΓΔ^2 = ΒΔ^2$, (λῆμμα 1). Ἂς ἀφαιρεθῇ (ἐκ τοῦ πρώτου μέλους) ἡ μονὰς ἡ ΔΕ· τότε ἄρα θὰ εἶναι $ΑΒ \times ΒΓ + ΓΕ^2 < ΒΔ^2$. Λέγω τώρα, ὅτι ὁ τετράγωνος ἀριθμὸς $ΑΒ \times ΒΓ + ΓΕ^2$ δὲν εἶναι τετράγωνος.

Διότι, ἐὰν θὰ εἶναι τετράγωνος ἢ θὰ εἶναι ἴσος πρὸς $ΒΕ^2$ ἢ μικρότερος τοῦ $ΒΕ^2$, οὐχὶ δὲ καὶ μεγαλύτερος, ἵνα μὴ τμηθῇ ἡ μονάς. Ἔστω, εἰ δυνατόν, πρότερον ὁ $ΑΒ \times ΒΓ + ΓΕ^2 = ΒΕ^2$ καὶ ἔστω διπλάσιος τῆς μονάδος ὁ ΗΑ. Ἐπειδὴ λοιπὸν ὅλος ὁ ΑΓ ὅλου τοῦ ΓΔ εἶναι διπλάσιος, ἐξ ὧν ὁ ΑΗ εἶναι διπλάσιος τοῦ ΔΕ, ἄρα καὶ ἡ διαφορὰ ΗΓ εἶναι διπλασία τῆς διαφορᾶς ΕΓ· ἄρα ὁ ΗΓ ἐδιχοτομήθη κατὰ τὸ σημεῖον Ε. Ἄρα ὁ ἀριθμὸς $ΗΒ \times ΒΓ + ΓΕ^2 = ΒΕ^2$, (ΙΙ. 6). Ἀλλὰ καὶ ὁ $ΑΒ \times ΒΓ + ΓΕ^2 = ΒΕ^2$ ἐξ ὑποθέσεως· ὁ ἀριθμὸς ἄρα $ΗΒ \times ΒΓ + ΓΕ^2 = ΑΒ \times ΒΓ + ΓΕ^2$. Καὶ ἂν ἀφαιρεθῇ ἀπὸ ἀμφότερα τὰ μέλη ὁ $ΓΕ^2$ συνάγεται $ΑΒ = ΗΒ$· ὅπερ ἄτοπον. Ἄρα ὁ $ΑΒ \times ΒΓ + ΓΕ^2$ δὲν εἶναι ἴσος πρὸς τὸν $ΒΕ^2$. Λέγω τώρα, ὅτι οὐδὲ μικρότερος εἶναι τοῦ $ΒΕ^2$. Διότι, ἐὰν εἶναι δυνατόν, ἔστω ἴσος πρὸς τὸν $ΒΖ^2$ καὶ ἔστω ὁ ΘΑ διπλάσιος τοῦ ΔΖ. Καὶ πάλιν θὰ συναχθῇ ὅτι ὁ ΘΓ εἶναι διπλάσιος τοῦ ΓΖ· ὥστε καὶ ὁ ΓΘ ἔχει διχοτομηθῇ κατὰ τὸ σημεῖον Ζ, καὶ διὰ τοῦτο ὁ $ΘΒ \times ΒΓ + ΖΓ^2 = ΒΖ^2$, (ΙΙ. 6). Ἐξ ὑποθέσεως δὲ εἶναι καὶ ὁ $ΑΒ \times ΒΓ + ΓΕ^2 = ΒΖ^2$. Ὥστε καὶ ὁ $ΘΒ \times ΒΓ + ΓΖ^2 = ΑΒ \times ΒΓ + ΓΕ^2$· ὅπερ ἄτοπον. Δὲν εἶναι ἄρα ὁ $ΑΒ \times ΒΓ + ΓΕ^2$ ἴσος πρὸς τὸν μικρότερον τὸν $ΒΕ^2$. Ἐδείχθη δὲ ὅτι οὐδὲ ἴσος εἶναι πρὸς αὐτὸν τὸν $ΒΕ^2$. Δὲν εἶναι ἄρα τετράγωνος ὁ $ΑΒ \times ΒΓ + ΓΕ^2$ [Ἐν ᾧ δὲ εἶναι δυνατὸν ν' ἀποδειχθῇ καὶ κατὰ περισσοτέρους τρόπους, ὅτι οἱ εἰρημμένοι ἀριθμοὶ δὲν ἀποτελοῦσι τετράγωνον, ἂς ἀρκεσθῶμεν εἰς τοὺς ἐκτεθέντας τρόπους, ἵνα μὴ ἐν ᾧ ἡ πραγματεία εἶναι μακρὰ ἐπιμηκύνωμεν αὐτὴν ἔτι περισσότερον]. ὅπερ ἔδει δεῖξαι.

29

Νὰ εὑρεθῶσι δύο ῥηταὶ δυνάμει μόνον σύμμετροι, ὥστε τὸ τετράγωνον τῆς μεγαλυτέρας νὰ εἶναι μεγαλύτερον τοῦ τετραγώνου τῆς μικροτέρας κατὰ τῆς ἐλάσσονος μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει.

Ἐκκείσθω γάρ τις ῥητὴ ἡ ΑΒ καὶ δύο τετράγωνοι ἀριθμοὶ οἱ ΓΔ, ΔΕ, ὥστε τὴν ὑπεροχὴν αὐτῶν τὸν ΓΕ μὴ εἶναι τετράγωνον, καὶ γεγράφθω ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΖΒ, καὶ πεποιήσθω ὡς ὁ ΔΓ πρὸς τὸν ΓΕ, οὕτως τὸ ἀπὸ τῆς ΒΑ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΑΖ τετράγωνον, καὶ ἐπεζεύχθω ἡ ΖΒ.

Ἐπεὶ [οὖν] ἐστιν ὡς τὸ ἀπὸ τῆς ΒΑ πρὸς τὸ ἀπὸ τῆς ΑΖ, οὕτως ὁ ΔΓ πρὸς τὸν ΓΕ, τὸ ἀπὸ τῆς ΒΑ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΑΖ λόγον ἔχει, ὃν ἀριθμὸς ὁ ΔΓ πρὸς ἀριθμὸν τὸν ΓΕ· σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΒΑ τῷ ἀπὸ τῆς ΑΖ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς ΑΒ· ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τῆς ΑΖ· ῥητὴ ἄρα καὶ ἡ ΑΖ. καὶ ἐπεὶ ὁ ΔΓ πρὸς τὸν ΓΕ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδὲ τὸ ἀπὸ τῆς ΒΑ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΑΖ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΑΖ μήκει· αἱ ΒΑ, ΑΖ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. καὶ ἐπεί [ἐστιν] ὡς ὁ ΔΓ πρὸς τὸν ΓΕ, οὕτως τὸ ἀπὸ τῆς ΒΑ πρὸς τὸ ἀπὸ τῆς ΑΖ, ἀναστρέψαντι ἄρα ὡς ὁ ΓΔ πρὸς τὸν ΔΕ, οὕτως τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΒΖ. ὁ δὲ ΓΔ πρὸς τὸν ΔΕ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ τὸ ἀπὸ τῆς ΑΒ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΒΖ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· σύμμετρος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΒΖ μήκει. καί ἐστι τὸ ἀπὸ τῆς ΑΒ ἴσον τοῖς ἀπὸ τῶν ΑΖ, ΖΒ· ἡ ΑΒ ἄρα τῆς ΑΖ μεῖζον δύναται τῇ ΒΖ συμμέτρῳ ἑαυτῇ.



Εὕρηνται ἄρα δύο ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ ΒΑ, ΑΖ, ὥστε τὴν μείζονα τὴν ΑΒ τῆς ἐλάσσονος τῆς ΑΖ μεῖζον δύνασθαι τῷ ἀπὸ τῆς ΒΖ συμμέτρου ἑαυτῇ μήκει· ὅπερ ἔδει δεῖξαι.

λ´

Εὑρεῖν δύο ῥητὰς δυνάμει μόνον συμμέτρους, ὥστε τὴν μείζονα τῆς ἐλάσσονος μεῖζον δύνασθαι τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει.



Ἐκκείσθω ῥητὴ ἡ ΑΒ καὶ δύο τετράγωνοι ἀριθμοὶ οἱ ΓΕ, ΕΔ, ὥστε τὸν συγκείμενον ἐξ αὐτῶν τὸν ΓΔ μὴ εἶναι τετράγωνον, καὶ γεγράφθω ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΖΒ, καὶ πεποιήσθω ὡς ὁ ΔΓ πρὸς τὸν ΓΕ, οὕτως τὸ ἀπὸ τῆς ΒΑ πρὸς τὸ ἀπὸ τῆς ΑΖ, καὶ ἐπεζεύχθω ἡ ΖΒ.

Ὁμοίως δὴ δείξομεν τῷ πρὸς τούτου, ὅτι αἱ ΒΑ, ΑΖ ῥηταί εἰσι δυνάμει τετράγωνον τοῦ ὁποίου ἡ πλευρὰ νὰ εἶναι μήκει σύμμετρος πρὸς τὴν μεγαλυτέραν.

Ἂς ληφθῇ ῥητή τις ἡ ΑΒ καὶ δύο τετράγωνοι ἀριθμοὶ οἱ ΓΔ, ΔΕ, ὥστε ἡ διαφορὰ αὐτῶν ὁ ΓΕ νὰ μὴ εἶναι τετράγωνος ἀριθμός, καὶ ἂς γραφῇ ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΖΒ, καὶ ἂς γίνῃ $\Delta\Gamma : \Gamma\mathrm{E} = \mathrm{BA}^2 : \mathrm{AZ}^2$, (θεώρ. 6, πόρ.) καὶ ἂς ἀχθῇ ἡ ΖΒ.

Ἐπειδὴ λοιπὸν εἶναι $\mathrm{BA}^2 : \mathrm{AZ}^2 = \Delta\Gamma : \Gamma\mathrm{E}$, ἄρα τὸ τετράγωνον τῆς ΒΑ ἔχει λόγον πρὸς τὸ τετράγωνον τῆς ΑΖ, ὃν λόγον ἔχει ὁ ἀριθμὸς ΔΓ πρὸς τὸν ἀριθμὸν ΓΕ· ἄρα τὸ BA^2 εἶναι σύμμετρον πρὸς τὸ AZ^2, (θεώρ. 6). Εἶναι δὲ ῥητὸν τὸ BA^2, (ὁρ. 4)· ἄρα εἶναι ῥητὸν καὶ τὸ AZ^2, (ὁρισ. 4)· ἄρα καὶ ἡ ΑΖ εἶναι ῥητή. Καὶ ἐπειδὴ ὁ ΔΓ πρὸς τὸν ΓΕ δὲν ἔχει λόγον, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, ἄρα οὔτε τὸ τετράγωνον τῆς ΒΑ πρὸς τὸ τετράγωνον τῆς ΑΖ ἔχει λόγον, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἄρα ἡ ΑΒ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΑΖ, (θεώρ. 9)· αἱ ῥηταὶ ἄρα ΒΑ, ΑΖ εἶναι δυνάμει μόνον σύμμετροι. Καὶ ἐπειδὴ εἶναι $\Delta\Gamma : \Gamma\mathrm{E} = \mathrm{BA}^2 : \mathrm{AZ}^2$, κατ' ἀναστροφὴν ἄρα εἶναι $\Gamma\Delta : \Delta\mathrm{E} = \mathrm{AB}^2 : \mathrm{BZ}^2$ [δηλ. $\Delta\Gamma : (\Delta\Gamma - \Gamma\mathrm{E}) = \mathrm{BA}^2 : (\mathrm{BA}^2 - \mathrm{AZ}^2)$], (V. 19, πόρ.). Ὁ δὲ ΓΔ πρὸς τὸν ΔΕ ἔχει λόγον, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἄρα καὶ τὸ τετράγωνον τῆς ΑΒ πρὸς τὸ τετράγωνον τῆς ΒΖ ἔχει λόγον, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἄρα ἡ ΑΒ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΒΖ, (θεώρ. 9). Καὶ εἶναι $\mathrm{AB}^2 = \mathrm{AZ}^2 + \mathrm{ZB}^2$ (III. 31, I. 47)· ἄρα τὸ τετράγωνον τῆς ΑΒ εἶναι μεγαλύτερον τοῦ τετραγώνου τῆς ΒΖ κατὰ τετράγωνον τοῦ ὁποίου ἡ πλευρὰ εἶναι σύμμετρος πρὸς αὐτὴν (τὴν ΑΒ).

Εὑρέθησαν ἄρα δύο ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ ΒΑ, ΑΖ, ὥστε τὸ τετράγωνον τῆς μεγαλυτέρας τῆς ΑΒ νὰ εἶναι μεγαλύτερον τοῦ τετραγώνου τῆς μικροτέρας τῆς ΑΖ κατὰ τετράγωνον τοῦ ὁποίου ἡ πλευρὰ ἡ ΒΖ νὰ εἶναι μήκει σύμμετρος πρὸς τὴν μεγαλυτέραν· ὅπερ ἔδει δεῖξαι.

30

Νὰ εὑρεθῶσι δύο ῥηταὶ δυνάμει μόνον σύμμετροι, ὥστε τὸ τετράγωνον τῆς μεγαλυτέρας νὰ εἶναι μεγαλύτερον τοῦ τετραγώνου τῆς μικροτέρας κατὰ τετράγωνον τοῦ ὁποίου ἡ πλευρὰ νὰ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν μεγαλυτέραν.

Ἂς ληφθῇ ἡ ΑΒ ῥητὴ καὶ δύο τετράγωνοι ἀριθμοὶ οἱ ΓΕ, ΕΔ, ὥστε τὸ ἄθροισμα αὐτῶν τὸ ΓΔ νὰ μὴ εἶναι τετράγωνος ἀριθμός, καὶ ἂς ἀναγραφῇ ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΖΒ, καὶ ἂς γίνῃ $\Delta\Gamma : \Gamma\mathrm{E} = \mathrm{BA}^2 : \mathrm{AZ}^2$, (θεώρ. 6, πόρ.) καὶ ἂς ἀχθῇ ἡ ΖΒ.

Καθ' ὅμοιον τρόπον, ὡς εἰς τὸ προηγούμενον θεώρημα, ἀποδεικνύεται, *μόνον σύμμετροι. καὶ ἐπεί ἐστιν ὡς ὁ ΔΓ πρὸς τὸν ΓΕ, οὕτως τὸ ἀπὸ τῆς ΒΑ πρὸς τὸ ἀπὸ τῆς ΑΖ, ἀναστρέψαντι ἄρα ὡς ὁ ΓΔ πρὸς τὸν ΔΕ, οὕτως τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΒΖ. ὁ δὲ ΓΔ πρὸς τὸν ΔΕ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· οὐδ᾽ ἄρα τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΒΖ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΒΖ μήκει. καὶ δύναται ἡ ΑΒ τῆς ΑΖ μεῖζον τῷ ἀπὸ τῆς ΖΒ ἀσυμμέτρου ἑαυτῇ.*

Αἱ ΑΒ, ΑΖ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, καὶ ἡ ΑΒ τῆς ΑΖ μεῖζον δύναται τῷ ἀπὸ τῆς ΖΒ ἀσυμμέτρου ἑαυτῇ μήκει· ὅπερ ἔδει δεῖξαι.

λα´

Εὑρεῖν δύο μέσας δυνάμει μόνον συμμέτρους ῥητὸν περιεχούσας, ὥστε τὴν μείζονα τῆς ἐλάσσονος μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει.

Ἐκκείσθωσαν δύο ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ Α, Β, ὥστε τὴν Α μείζονα οὖσαν τῆς ἐλάσσονος τῆς Β μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καὶ τῷ ὑπὸ τῶν Α, Β ἴσον ἔστω τὸ ἀπὸ τῆς Γ. μέσον δὲ τὸ ὑπὸ τῶν Α, Β· μέσον ἄρα καὶ τὸ ἀπὸ τῆς Γ· μέση ἄρα καὶ ἡ Γ. τῷ δὲ ἀπὸ τῆς Β ἴσον ἔστω τὸ ὑπὸ τῶν Γ, Δ· ῥητὸν δὲ τὸ ἀπὸ τῆς Β· ῥητὸν ἄρα καὶ τὸ ὑπὸ τῶν Γ, Δ. καὶ ἐπεί ἐστιν ὡς ἡ Α πρὸς τὴν Β, οὕτως τὸ ὑπὸ τῶν Α, Β πρὸς τὸ ἀπὸ τῆς Β, ἀλλὰ τῷ μὲν ὑπὸ τῶν Α, Β ἴσον ἐστὶ τὸ ἀπὸ τῆς Γ, τῷ δὲ ἀπὸ τῆς Β, ἴσον τὸ ὑπὸ τῶν Γ, Δ, ὡς ἄρα ἡ Α πρὸς τὴν Β, οὕτως τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ὑπὸ τῶν Γ, Δ. ὡς δὲ τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ὑπὸ τῶν Γ, Δ, οὕτως ἡ Γ πρὸς τὴν Δ· καὶ ὡς ἄρα ἡ Α πρὸς τὴν Β, οὕτως ἡ Γ πρὸς τὴν Δ· σύμμετρος δὲ ἡ Α τῇ Β δυνάμει μόνον· σύμμετρος ἄρα καὶ ἡ Γ τῇ Δ δυνάμει μόνον. καί ἐστι μέση ἡ Γ· μέση ἄρα καὶ ἡ Δ. καὶ ἐπεί ἐστιν ὡς ἡ Α πρὸς τὴν Β, ἡ Γ πρὸς τὴν Δ, ἡ δὲ Α τῆς Β μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ Γ ἄρα τῆς Δ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ.



Εὕρηνται ἄρα δύο μέσαι δυνάμει μόνον σύμμετροι αἱ Γ, Δ ῥητὸν περιέχουσαι, καὶ ἡ Γ τῆς Δ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει.

ὅτι αἱ ΒΑ, ΑΖ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι. Καὶ ἐπειδὴ εἶναι $\Delta\Gamma : \Gamma E = BA^2 : AZ^2$, δι' ἀναστροφῆς ἄρα εἶναι $\Gamma\Delta : \Delta E = AB^2 : BZ^2$, (V. 19) [δηλ. $\Gamma\Delta : (\Gamma\Delta - \Gamma E) = AB^2 : (AB^2 - AZ^2)$]. Ὁ δὲ ΓΔ πρὸς τὸν ΔΕ δὲν ἔχει λόγον, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· οὔτε ἄρα τὸ τετράγωνον τῆς ΑΒ ἔχει λόγον πρὸς τὸ τετράγωνον τῆς ΒΖ, ὃν ἔχει τετράγωνος ἀριθμός πρὸς τετράγωνον ἀριθμόν· ἄρα ἡ ΑΒ εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν ΒΖ, (θεώρ. 9). Καὶ εἶναι $AB^2 = AZ^2 + ZB^2$, ἐν ᾧ ἡ ΖΒ εἶναι ἀσύμμετρος πρὸς τὴν ΑΒ.

Αἱ ΑΒ, ΑΖ ἄρα εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι, καὶ τὸ τετράγωνον τῆς ΑΒ εἶναι μεγαλύτερον τοῦ τετραγώνου τῆς ΑΖ κατὰ τετράγωνον πλευρᾶς ΖΒ, ἡ ὁποία εἶναι μήκει ἀσύμμετρος πρὸς τὴν μεγαλυτέραν· ὅπερ ἔδει δεῖξαι.

31

Νὰ εὑρεθῶσι δύο μέσαι δυνάμει μόνον σύμμετροι περιέχουσαι ῥητόν, ὥστε τὸ τετράγωνον τῆς μεγαλυτέρας νὰ εἶναι μεγαλύτερον τοῦ τετραγώνου τῆς μικροτέρας κατὰ τετράγωνον τοῦ ὁποίου ἡ πλευρὰ εἶναι μήκει σύμμετρος πρὸς τὴν μεγαλυτέραν.

Ἄς ληφθῶσι δύο ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ Α, Β, ὥστε τὸ τετράγωνον τῆς Α, ἡ ὁποία νὰ εἶναι μεγαλυτέρα τῆς Β, νὰ εἶναι μεγαλύτερον τοῦ τετραγώνου τῆς Β κατὰ τετράγωνον πλευρᾶς μήκει συμμέτρου πρὸς τὴν Α (θεώρ. 29). Καὶ πρὸς τὸ ὀρθογώνιον $A \times B$ ἔστω ἴσον τὸ Γ^2. Εἶναι δὲ μέσον τὸ ὀρθογώνιον $A \times B$, (θεώρ. 21)· ἄρα καὶ τὸ Γ^2 εἶναι μέσον· ἄρα καὶ ἡ Γ εἶναι μέση, (θ. 21). Καὶ ἔστω $B^2 = \Gamma \times \Delta$· τὸ δὲ B^2 εἶναι ῥητόν· ἄρα καὶ τὸ $\Gamma \times \Delta$ εἶναι ῥητόν. Καὶ ἐπειδὴ εἶναι $A : B = A \times B : B^2$, (θεώρ. 21, λῆμμα), ἀλλὰ πρὸς μὲν τὸ ὀρθογώνιον $A \times B$ εἶναι ἴσον τὸ Γ^2, πρὸς δὲ τὸ B^2 εἶναι ἴσον τὸ ὀρθογώνιον $\Gamma \times \Delta$, εἶναι ἄρα $A : B = \Gamma^2 : \Gamma \times \Delta$. Ὡς δὲ $\Gamma^2 : \Gamma \times \Delta = \Gamma : \Delta$, (θεώρ. 21, λῆμμα)· καὶ ὡς ἄρα $A : B = \Gamma : \Delta$. Εἶναι δὲ ἡ Α πρὸς τὴν Β δυνάμει μόνον σύμμετρος· ἄρα καὶ ἡ Γ πρὸς τὴν Δ εἶναι δυνάμει μόνον σύμμετρος, (θεώρ. 14). Καὶ εἶναι ἡ Γ μέση· ἄρα καὶ ἡ Δ εἶναι μέση, (θεώρ. 23). Καὶ ἐπειδὴ εἶναι $A : B = \Gamma : \Delta$, τὸ δὲ τετράγωνον τῆς Α ὑπερέχει τοῦ τετραγώνου τῆς Β κατὰ τετράγωνον πλευρᾶς μήκει συμμέτρου πρὸς ἑαυτὴν (τὴν Α), ἄρα καὶ τὸ τετράγωνον τῆς Γ ὑπερέχει τοῦ τετραγώνου τῆς Δ κατὰ τετράγωνον πλευρᾶς μήκει συμμέτρου πρὸς ἑαυτὴν (τὴν Γ), (θεώρ. 14).

Εὑρέθησαν ἄρα δύο μέσαι δυνάμει μόνον σύμμετροι αἱ Γ, Δ περιέχουσαι ῥητόν, καὶ τὸ τετράγωνον τῆς Γ εἶναι μεγαλύτερον τοῦ τετραγώνου τῆς Δ κατὰ τετράγωνον τοῦ ὁποίου ἡ πλευρὰ εἶναι μήκει σύμμετρος πρὸς τὴν μεγαλυτέραν.

Ὁμοίως δὴ δειχθήσεται καὶ τῷ ἀπὸ ἀσυμμέτρου, ὅταν ἡ Α τῆς Β μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ.

λβ'

Εὑρεῖν δύο μέσας δυνάμει μόνον συμμέτρους μέσον περιεχούσας, ὥστε τὴν μείζονα τῆς ἐλάσσονος μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ.

Ἐκκείσθωσαν τρεῖς ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ Α, Β, Γ, ὥστε τὴν Α τῆς Γ μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ τῷ μὲν ὑπὸ τῶν Α, Β ἴσον ἔστω τὸ ἀπὸ τῆς Δ. μέσον ἄρα τὸ ἀπὸ τῆς Δ· καὶ ἡ Δ ἄρα μέση ἐστίν. τῷ δὲ ὑπὸ τῶν Β, Γ ἴσον ἔστω τὸ ὑπὸ τῶν Δ, Ε. καὶ ἐπεί ἐστιν ὡς τὸ ὑπὸ τῶν Α, Β πρὸς τὸ ὑπὸ τῶν Β, Γ, οὕτως ἡ Α πρὸς τὴν Γ, ἀλλὰ τῷ μὲν ὑπὸ τῶν Α, Β ἴσον ἐστὶ ἀπὸ τῆς Δ, τῷ δὲ ὑπὸ τῶν Β, Γ ἴσον τὸ ὑπὸ τῶν Δ, Ε, ἔστιν ἄρα ὡς ἡ Α πρὸς τὴν Γ, οὕτως τὸ ἀπὸ τῆς Δ πρὸς τὸ ὑπὸ τῶν Δ, Ε. ὡς δὲ τὸ ἀπὸ τῆς Δ πρὸς τὸ ὑπὸ τῶν Δ, Ε, οὕτως ἡ Δ πρὸς τὴν Ε· καὶ ὡς ἄρα ἡ Α πρὸς τὴν Γ, οὕτως ἡ Δ πρὸς τὴν Ε. σύμμετρος δὲ ἡ Α τῇ Γ δυνάμει [μόνον]. σύμμετρος ἄρα καὶ ἡ Δ τῇ Ε δυνάμει μόνον. μέση δὲ ἡ Δ· μέση ἄρα καὶ ἡ Ε. καὶ ἐπεί ἐστιν ὡς ἡ Α πρὸς τὴν Γ, ἡ Δ πρὸς τὴν Ε, ἡ δὲ Α τῆς Γ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ Δ ἄρα τῆς Ε μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. λέγω δή, ὅτι καὶ μέσον ἐστὶ τὸ ὑπὸ τῶν Δ, Ε. ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ ὑπὸ τῶν Β, Γ τῷ ὑπὸ τῶν Δ, Ε, μέσον δὲ τὸ ὑπὸ τῶν Β, Γ [αἱ γὰρ Β, Γ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι], μέσον ἄρα καὶ τὸ ὑπὸ τῶν Δ, Ε.



Εὕρηνται ἄρα δύο μέσαι δυνάμει μόνον σύμμετροι αἱ Δ, Ε μέσον περιέχουσαι, ὥστε τὴν μείζονα τῆς ἐλάσσονος μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ.

Ὁμοίως δὴ πάλιν δειχθήσεται καὶ τῷ ἀπὸ ἀσυμμέτρου, ὅταν ἡ Α τῆς Γ μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ.

Λῆμμα

Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ ὀρθὴν ἔχον τὴν Α, καὶ ἤχθω κάθετος ἡ ΑΔ· λέγω, ὅτι τὸ μὲν ὑπὸ τῶν ΓΒΔ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΒΑ, τὸ δὲ

Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται καὶ διὰ τὸ τετράγωνον ἀπὸ ἀσυμμέτρου πλευρᾶς, ὅταν τὸ τετράγωνον τῆς Α εἶναι μεγαλύτερον τοῦ τετραγώνου τῆς Β κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς ἑαυτὴν (τὴν Α), (θεώρ. 30).

32

Νὰ εὑρεθῶσι δύο μέσαι δυνάμει μόνον σύμμετροι περιέχουσαι μέσον, ὥστε τὸ τετράγωνον τῆς μεγαλυτέρας νὰ εἶναι μεγαλύτερον τοῦ τετραγώνου τῆς μικροτέρας κατὰ τετράγωνον σύμμετρον πρὸς ἑαυτὴν (τὴν μεγαλυτέραν).

Ἄς ληφθῶσι τρεῖς ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ Α, Β, Γ, ὥστε τὸ τετράγωνον τῆς Α νὰ ὑπερέχῃ τοῦ τετραγώνου τῆς Γ κατὰ τετράγωνον τοῦ ὁποίου ἡ πλευρὰ νὰ εἶναι σύμμετρος πρὸς ἑαυτὴν (τὴν Α), (θεώρ. 29), καὶ πρὸς τὸ ὀρθογώνιον $A \times B$ ἔστω ἴσον τὸ Δ^2. Ἄρα τὸ Δ^2 εἶναι μέσον· καὶ ἡ Δ ἄρα εἶναι μέση, (θεώρ. 21). Ἔστω δὲ $B \times \Gamma = \Delta \times E$. Καὶ ἐπειδὴ εἶναι $A \times B : B \times \Gamma = A : \Gamma$, (θ. 21, λῆμμα), ἀλλὰ $A \times B = \Delta^2$ καὶ $B \times \Gamma = \Delta \times E$, εἶναι ἄρα $A : \Gamma = \Delta^2 : \Delta \times E$. Ὡς δὲ $\Delta^2 : \Delta \times E = \Delta : E$, (θεώρ. 21, λῆμμα)· καὶ ὡς ἄρα $A : \Gamma = \Delta : E$. Εἶναι δὲ ἡ Α πρὸς τὴν Γ σύμμετρος δυνάμει μόνον. Ἄρα καὶ ἡ Δ εἶναι πρὸς τὴν Ε δυνάμει μόνον σύμμετρος (θεώρ. 11). Ἡ δὲ Δ εἶναι μέση· ἄρα καὶ ἡ Ε εἶναι μέση, (θεώρ. 23). Καὶ ἐπειδὴ εἶναι $A : \Gamma = \Delta : E$, τὸ δὲ τετράγωνον τῆς Α ὑπερέχει τοῦ τετραγώνου τῆς Γ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς ἑαυτὴν (τὴν Α), καὶ τὸ τετράγωνον τῆς Δ ἄρα θὰ ὑπερέχῃ τοῦ τετραγώνου τῆς Ε κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς ἑαυτὴν (τὴν Δ), (θεώρ. 14). Λέγω τώρα, ὅτι τὸ ὀρθογώνιον $\Delta \times E$ εἶναι μέσον. Διότι, ἐπειδὴ ὀρθογ. $B \times \Gamma =$ ὀρθογ. $\Delta \times E$ τὸ δὲ $B \times \Gamma$ εἶναι μέσον, (θεώρ. 21), [διότι αἱ Β, Γ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι], ἄρα εἶναι μέσον καὶ τὸ $\Delta \times E$.

Εὑρέθησαν ἄρα δύο μέσαι δυνάμει μόνον σύμμετροι αἱ Δ, Ε περιέχουσαι μέσον, ὥστε τὸ τετράγωνον τῆς μεγαλυτέρας νὰ εἶναι μεγαλύτερον τοῦ τετραγώνου τῆς μικροτέρας κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς ἑαυτὴν (τὴν μεγαλυτέραν).

Καθ' ὅμοιον πάλιν τρόπον ἀποδεικνύεται καὶ διὰ τὸ τετράγωνον ἀπὸ πλευρᾶς ἀσυμμέτρου, ὅταν τὸ τετράγωνον τῆς Α ὑπερέχῃ τοῦ τετραγώνου τῆς Γ κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς ἑαυτὴν (τὴν Α).

Λῆμμα

Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ ἔχον ὀρθὴν γωνίαν τὴν Α καὶ ἄς ἀχθῇ ἡ ΑΔ κάθετος· λέγω, ὅτι τὸ ὀρθογώνιον $\Gamma B \times B\Delta = BA^2$, τὸ ὀρθογ. $B\Gamma \times$

ὑπὸ τῶν ΒΓΔ ἴσον τῷ ἀπὸ τῆς ΓΑ, καὶ τὸ ὑπὸ τῶν ΒΔ, ΔΓ ἴσον τῷ ἀπὸ τῆς ΑΔ, καὶ ἔτι τὸ ὑπὸ τῶν ΒΓ, ΑΔ ἴσον [ἐστὶ] τῷ ὑπὸ τῶν ΒΑ, ΑΓ.



Καὶ πρῶτον, ὅτι τὸ ὑπὸ τῶν ΓΒΔ ἴσον [ἐστὶ] τῷ ἀπὸ τῆς ΒΑ.

Ἐπεὶ γὰρ ἐν ὀρθογωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν βάσιν κάθετος ἦκται ἡ ΑΔ, τὰ ΑΒΔ, ΑΔΓ ἄρα τρίγωνα ὅμοιά ἐστι τῷ τε ὅλῳ τῷ ΑΒΓ καὶ ἀλλήλοις. καὶ ἐπεὶ ὅμοιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΑΒΔ τριγώνῳ, ἔστιν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν ΒΑ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΒΔ· τὸ ἄρα ὑπὸ τῶν ΓΒΔ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ.

Διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ὑπὸ τῶν ΒΓΔ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ.

Καὶ ἐπεί, ἐὰν ἐν ὀρθογωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν βάσιν κάθετος ἀχθῇ, ἡ ἀχθεῖσα τῶν τῆς βάσεως τμημάτων μέση ἀνάλογόν ἐστιν, ἔστιν ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΓ· τὸ ἄρα ὑπὸ τῶν ΒΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΑ.

Λέγω, ὅτι καὶ τὸ ὑπὸ τῶν ΒΓ, ΑΔ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΑ, ΑΓ. ἐπεὶ γάρ, ὡς ἔφαμεν, ὅμοιόν ἐστι τὸ ΑΒΓ τῷ ΑΒΔ, ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΔ [ἐὰν δὲ τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν, τὸ ὑπὸ τῶν ἄκρων ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων]. τὸ ἄρα ὑπὸ τῶν ΒΓ, ΑΔ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΑ, ΑΓ· ὅπερ ἔδει δεῖξαι.

λγ´

Εὑρεῖν δύο εὐθείας δυνάμει ἀσυμμέτρους ποιούσας τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητόν, τὸ δ' ὑπ' αὐτῶν μέσον.

Ἐκκείσθωσαν δύο ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ ΑΒ, ΒΓ, ὥστε τὴν μείζονα τὴν ΑΒ τῆς ἐλάσσονος τῆς ΒΓ μεῖζον δύνασθαι τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ τετμήσθω ἡ ΒΓ δίχα κατὰ τὸ Δ, καὶ τῷ ἀφ' ὁποτέρας τῶν ΒΔ, ΔΓ ἴσον παρὰ τὴν ΑΒ παραβεβλήσθω παραλληλόγραμμον ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ ἔστω τὸ ὑπὸ τῶν ΑΕΒ, καὶ γεγράφθω ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΖΒ, καὶ ἤχθω τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΕΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΖΒ.

Καὶ ἐπεὶ [δύο] εὐθεῖαι ἄνισοί εἰσιν αἱ ΑΒ, ΒΓ, καὶ ἡ ΑΒ τῆς ΒΓ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, τῷ δὲ τετάρτῳ τοῦ ἀπὸ τῆς ΒΓ, τουτέστι τῷ ἀπὸ τῆς ἡμισείας αὐτῆς, ἴσον παρὰ τὴν ΑΒ παραβέβληται παραλληλόγραμμον ἐλλεῖπον εἴδει τετραγώνῳ καὶ ποιεῖ τὸ ὑπὸ τῶν ΑΕΒ, ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΕ τῇ ΕΒ. καί ἐστιν ὡς ἡ ΑΕ πρὸς ΕΒ, οὕτως τὸ ὑπὸ τῶν ΒΑ, ΑΕ πρὸς τὸ ὑπὸ τῶν ΑΒ, ΒΕ, ἴσον δὲ τὸ μὲν ὑπὸ τῶν ΒΑ, ΑΕ τῷ ἀπὸ τῆς ΑΖ, ΓΔ = ΓΑ², καὶ τὸ ὀρθ. ΒΔ×ΔΓ = ΑΔ², καὶ ἀκόμη τὸ ὀρθογ. ΒΓ×ΑΔ = ὀρθογ. ΒΑ×ΑΓ.

Καὶ πρῶτον, ὅτι ΓΒ×ΒΔ = ΒΑ².

Διότι, ἐπειδὴ εἰς ὀρθογώνιον τρίγωνον ἤχθη ἀπὸ τῆς κορυφῆς τῆς ὀρθῆς γωνίας κάθετος ἐπὶ τὴν βάσιν ἡ ΑΔ, ἄρα τὰ τρίγωνα ΑΒΔ, ΑΔΓ εἶναι ὅμοια καὶ πρὸς ὅλον τὸ ΑΒΓ καὶ μεταξύ των, (VI. 8). Καὶ ἐπειδὴ τὸ τρίγωνον ΑΒΓ εἶναι ὅμοιον πρὸς τὸ τρίγωνον ΑΒΔ εἶναι ἄρα ΓΒ : ΒΑ = ΒΑ : ΒΔ (VI. 4). Ἄρα ΓΒ×ΒΔ = ΑΒ², (VI 17).

Διὰ τοὺς αὐτοὺς λόγους εἶναι καὶ ΒΓ×ΓΔ = ΑΓ².

Καὶ ἐπειδή, ἐὰν εἰς ὀρθογώνιον τρίγωνον ἀχθῇ ἀπὸ τῆς κορυφῆς τῆς ὀρθῆς γωνίας κάθετος ἐπὶ τὴν βάσιν, ἡ ἀχθεῖσα εἶναι μέση ἀνάλογος τῶν τμημάτων τῆς βάσεως, εἶναι ἄρα ΒΔ : ΔΑ = ΑΔ : ΔΓ· ἄρα τὸ ὀρθογώνιον ΒΔ×ΔΓ = πρὸς τὸ ΔΑ², (VI. 17).

Λέγω τώρα, ὅτι καὶ τὸ ὀρθογώνιον ΒΓ×ΑΔ = ΒΑ×ΑΓ. Διότι, ἐπειδὴ ὡς εἴπομεν, τὸ τρίγωνον ΑΒΓ εἶναι ὅμοιον πρὸς τὸ τρίγωνον ΑΒΔ, (VI 4), εἶναι ἄρα ΒΓ : ΓΑ = ΒΑ : ΑΔ [ἐὰν δὲ τέσσαρες εὐθεῖαι εἶναι ἐν ἀναλογίᾳ τὸ γινόμενον τῶν ἄκρων εἶναι ἴσον πρὸς τὸ γινόμενον τῶν μέσων]. Ἄρα τὸ ΒΓ×ΑΔ = ΒΑ×ΑΓ, (VI. 16)· ὅπερ ἔδει δεῖξαι.

Νὰ εὑρεθῶσι δύο εὐθεῖαι δυνάμει ἀσύμμετροι, αἱ ὁποῖαι νὰ σχηματίζωσι ῥητὸν μὲν τὸ ἄθροισμα τῶν τετραγώνων αὐτῶν, τὸ δὲ ὀρθογώνιον αὐτῶν μέσον.

καὶ ὅλη ἄρα ἡ ΘΚ πρὸς ὅλην τὴν ΚΖ ἐστιν, ὡς ἡ ΖΚ πρὸς ΚΕ. ὡς γὰρ ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα. ὡς δὲ ἡ ΖΚ πρὸς ΚΕ, οὕτως ἐστὶν ἡ ΓΔ πρὸς τὴν ΔΒ· καὶ ὡς ἄρα ἡ ΘΚ πρὸς ΚΖ, οὕτως ἡ ΓΔ πρὸς τὴν ΔΒ. σύμμετρον δὲ τὸ ἀπὸ τῆς ΓΔ τῷ ἀπὸ τῆς ΔΒ· σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΘΚ τῷ ἀπὸ τῆς ΚΖ. καί ἐστιν ὡς τὸ ἀπὸ τῆς ΘΚ πρὸς τὸ ἀπὸ τῆς ΚΖ, οὕτως ἡ ΘΚ πρὸς τὴν ΚΕ, ἐπεὶ αἱ τρεῖς αἱ ΘΚ, ΚΖ, ΚΕ ἀνάλογόν εἰσιν. σύμμετρος ἄρα ἡ ΘΚ τῇ ΚΕ μήκει· ὥστε καὶ ἡ ΘΕ τῇ ΕΚ σύμμετρός ἐστι μήκει. καὶ ἐπεὶ τὸ ἀπὸ τῆς Α ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΕΘ, ΒΔ, ῥητὸν δέ ἐστι τὸ ἀπὸ τῆς Α, ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ὑπὸ τῶν ΕΘ, ΒΔ. καὶ παρὰ ῥητὴν τὴν ΒΔ παράκειται. ῥητὴ ἄρα ἐστὶν ἡ ΕΘ καὶ σύμμετρος τῇ ΒΔ μήκει· ὥστε καὶ ἡ σύμμετρος αὐτῇ ἡ ΕΚ ῥητή ἐστι καὶ σύμμετρος τῇ ΒΔ μήκει. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΓΔ πρὸς ΔΒ, οὕτως ἡ ΖΚ πρὸς ΚΕ, αἱ δὲ ΓΔ, ΔΒ δυνάμει μόνον εἰσὶ σύμμετροι, καὶ αἱ ΖΚ, ΚΕ δυνάμει μόνον εἰσὶ σύμμετροι. ῥητὴ δέ ἐστιν ἡ ΚΕ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΖΚ. αἱ ΖΚ, ΚΕ ἄρα ῥηταὶ δυνάμει μόνον εἰσὶ σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΕΖ.

Πρώτη ἀποτομὴ μέσης,
Δευτέρα ἀποτομὴ μέσης,
Ἐλάσσων,
Μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα,
Μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα.

112

Τὸ τετράγωνον ῥητῆς παραβαλλόμενον παρὰ τὴν δυώνυμον σχηματίζει πλάτος ἀποτομήν, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς δυωνύμου καὶ συνάμα εἰς τὸν αὐτὸν λόγον πρὸς αὐτά, καὶ ἀκόμη ἡ γινομένη ἀποτομὴ θὰ ἔχῃ τὴν αὐτὴν τάξιν πρὸς τὴν δυώνυμον.

Ἔστω ῥητὴ μὲν ἡ Α, δυώνυμος δὲ ἡ ΒΓ, τῆς ὁποίας τὸ μεγαλύτερον μονώνυμον ἔστω ἡ ΔΓ, καὶ $Α^2 = ΒΓ \times ΕΖ$· λέγω, ὅτι ἡ ΕΖ εἶναι ἀποτομή, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα πρὸς τὰς ΓΔ, ΔΒ, καὶ εἰς τὸν αὐτὸν λόγον, καὶ ἀκόμη ὅτι ἡ ΕΖ ἔχει τὴν αὐτὴν τάξιν πρὸς τὴν ΒΓ.

Διότι ἔστω πάλιν $Α^2 = ΒΔ \times Η$. Ἐπειδὴ λοιπὸν $ΒΓ \times ΕΖ = ΒΔ \times Η$, εἶναι ἄρα $ΓΒ : ΒΔ = Η : ΕΖ$, (VI. 16). Εἶναι δὲ μεγαλυτέρα ἡ ΓΒ τῆς ΒΔ· ἄρα καὶ ἡ Η εἶναι μεγαλυτέρα τῆς ΕΖ, (VI. 16 καὶ 14)· ἔστω $Η = ΕΘ$· εἶναι ἄρα $ΓΒ : ΒΔ = ΘΕ : ΕΖ$· καὶ διὰ διαιρέσεως τοῦ λόγου, (V. ὁρ. 15) εἶναι $ΓΔ : ΒΔ = ΘΖ : ΖΕ$, (V. 17). Ἄς γίνῃ ὡς ἡ $ΘΖ : ΖΕ = ΖΚ : ΚΕ$· καὶ ὅλη ἄρα ἡ $ΘΚ : ΚΖ = ΖΚ : ΚΕ$· διότι ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως τὸ ἄθροισμα τῶν ἡγουμένων πρὸς τὸ ἄθροισμα τῶν ἑπομένων (V. 12). Ὡς δὲ ἡ $ΖΚ : ΚΕ = ΓΔ : ΔΒ$· καὶ ὡς ἄρα ἡ $ΘΚ : ΚΖ = ΓΔ : ΔΒ$. Εἶναι δὲ σύμμετρον τὸ $ΓΔ^2$ πρὸς τὸ $ΔΒ^2$, (θ. 36)· ἄρα καὶ τὸ $ΘΚ^2$ εἶναι σύμμετρον πρὸς τὸ $ΚΖ^2$, (VI. 20, πόρ. καὶ θ. 11). Καὶ εἶναι ὡς τὸ $ΘΚ^2 : ΚΖ^2 =$ ἡ $ΘΚ : ΚΕ$, ἐπειδὴ αἱ τρεῖς εὐθεῖαι ΘΚ, ΚΖ, ΚΕ εἶναι ἀνάλογοι (V. ὁρισ. 9). Ἄρα ἡ ΘΚ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΚΕ, (θ. 11)· ὥστε καὶ ἡ ΘΕ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΕΚ, (θ. 15). Καὶ ἐπειδὴ $Α^2 = ΕΘ \times ΒΔ$, εἶναι δὲ ῥητὸν τὸ $Α^2$, ἄρα εἶναι ῥητὸν καὶ τὸ $ΕΘ \times ΒΔ$. Καὶ παράκειται παρὰ ῥητὴν τὴν ΒΔ· ἄρα ἡ ΕΘ εἶναι ῥητὴ καὶ μήκει σύμμετρος πρὸς τὴν ΒΔ, (θ. 20)· ὥστε καὶ ἡ σύμμετρος πρὸς αὐτὴν ἡ ΕΚ εἶναι ῥητή, (ὁρ. 3) καὶ μήκει σύμμετρος πρὸς τὴν ΒΔ, (θ. 12). Ἐπειδὴ λοιπὸν εἶναι $ΓΔ : ΔΒ = ΖΚ : ΚΕ$, αἱ δὲ ΓΔ, ΔΒ εἶναι δυνάμει μόνον σύμμετροι, καὶ αἱ ΖΚ, ΚΕ εἶναι δυνάμει μόνον σύμμετροι, (θ. 11). Εἶναι δὲ ῥητὴ ἡ ΚΕ· ἄρα καὶ ἡ ΖΚ εἶναι ῥητή. Αἱ ῥηταὶ ἄρα ΖΚ, ΚΕ εἶναι δυνάμει μόνον σύμμετροι· ἄρα ἡ ΕΖ εἶναι ἀποτομή, (θ. 73).

Ἤτοι δὲ ἡ ΓΔ τῆς ΔΒ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ ἢ τῷ ἀπὸ ἀσυμμέτρου.

Εἰ μὲν οὖν ἡ ΓΔ τῆς ΔΒ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου [ἑαυτῇ], καὶ ἡ ΖΚ τῆς ΚΕ μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ ΓΔ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΖΚ· εἰ δὲ ἡ ΒΔ, καὶ ἡ ΚΕ· εἰ δὲ οὐδετέρα τῶν ΓΔ, ΔΒ, καὶ οὐδετέρα τῶν ΖΚ, ΚΕ.

Εἰ δὲ ἡ ΓΔ τῆς ΔΒ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἡ ΖΚ τῆς ΚΕ μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ· καὶ εἰ μὲν ἡ ΓΔ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΖΚ· εἰ δὲ ἡ ΒΔ, καὶ ἡ ΚΕ· εἰ δὲ οὐδετέρα τῶν ΓΔ, ΔΒ, καὶ οὐδετέρα τῶν ΖΚ, ΚΕ· ὥστε ἀποτομή ἐστιν ἡ ΖΕ, ἧς τὰ ὀνόματα τὰ ΖΚ, ΚΕ σύμμετρά ἐστι τοῖς τῆς ἐκ δύο ὀνομάτων ὀνόμασι τοῖς ΓΔ, ΔΒ καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ τὴν αὐτὴν τάξιν ἔχει τῇ ΒΓ· ὅπερ ἔδει δεῖξαι.

ριγ'

Τὸ ἀπὸ ῥητῆς παρὰ ἀποτομὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων, ἧς τὰ ὀνόματα σύμμετρά ἐστι τοῖς τῆς ἀποτομῆς ὀνόμασι καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἔτι δὲ ἡ γινομένη ἐκ δύο ὀνομάτων τὴν αὐτὴν τάξιν ἔχει τῇ ἀποτομῇ.

Ἔστω ῥητὴ μὲν ἡ Α, ἀποτομὴ δὲ ἡ ΒΔ, καὶ τῷ ἀπὸ τῆς Α ἴσον ἔστω τὸ ὑπὸ τῶν ΒΔ, ΚΘ, ὥστε τὸ ἀπὸ τῆς Α ῥητῆς παρὰ τὴν ΒΔ ἀποτομὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ΚΘ· λέγω, ὅτι ἐκ δύο ὀνομάτων ἔστιν ἡ ΚΘ, ἧς τὰ ὀνόματα σύμμετρά ἐστι τοῖς τῆς ΒΔ ὀνόμασι καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ ἔτι ἡ ΚΘ τὴν αὐτὴν ἔχει τάξιν τῇ ΒΔ.



Ἔστω γὰρ τῇ ΒΔ προσαρμόζουσα ἡ ΔΓ· αἱ ΒΓ, ΓΔ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. καὶ τῷ ἀπὸ τῆς Α ἴσον ἔστω καὶ τὸ ὑπὸ τῶν ΒΓ, Η. ῥητὸν δὲ τὸ ἀπὸ τῆς Α· ῥητὸν ἄρα καὶ τὸ ὑπὸ τῶν ΒΓ, Η. καὶ παρὰ ῥητὴν τὴν ΒΓ παραβέβληται· ῥητὴ ἄρα ἐστὶν ἡ Η καὶ σύμμετρος τῇ ΒΓ μήκει. ἐπεὶ οὖν τὸ ὑπὸ τῶν ΒΓ, Η ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΔ, ΚΘ, ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΓΒ πρὸς ΒΔ, οὕτως ἡ ΚΘ πρὸς Η. μείζων δὲ ἡ ΒΓ τῆς ΒΔ· μείζων ἄρα καὶ ἡ ΚΘ τῆς Η. κείσθω τῇ Η ἴση ἡ ΚΕ· σύμμετρος ἄρα ἐστὶν ἡ ΚΕ τῇ ΒΓ μήκει. καὶ ἐπεί ἐστιν ὡς ἡ ΓΒ πρὸς ΒΔ, οὕτως ἡ ΘΚ πρὸς ΚΕ, ἀναστρέψαντι ἄρα ἐστὶν ὡς ἡ ΒΓ πρὸς τὴν ΓΔ, οὕτως ἡ ΚΘ πρὸς ΘΕ. γεγονέτω ὡς ἡ ΚΘ πρὸς ΘΕ, οὕτως ἡ ΘΖ πρὸς ΖΕ· καὶ λοιπὴ ἄρα ἡ ΚΖ πρὸς ΖΘ ἐστιν, ὡς ἡ ΚΘ πρὸς ΘΕ, τουτέστιν

Τὸ δὲ $ΓΔ^2$ ὑπερέχει τοῦ $ΔΒ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου ἢ ἀσυμμέτρου πρὸς αὐτήν, ($ΓΔ$, $\sqrt{ΓΔ^2-ΔΒ^2}$ σύμμ. ἢ ἀσύμμ.).

Ἐὰν μὲν λοιπὸν τὸ $ΓΔ^2$ ὑπερέχει τοῦ $ΔΒ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτήν, καὶ τὸ $ΖΚ^2$ θὰ ὑπερέχῃ τοῦ $ΚΕ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτὴν (τὴν ΖΚ), (θ. 14). Καὶ ἐὰν μὲν ἡ ΓΔ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, θὰ εἶναι καὶ ἡ ΖΚ, (θ. 11 καὶ 12)· ἐὰν δὲ ἡ ΒΔ, θὰ εἶναι καὶ ἡ ΚΕ, (θ. 12)· ἐὰν δὲ οὐδεμία τῶν ΓΔ, ΔΒ, καὶ οὐδεμία τῶν ΖΚ, ΚΕ.

Ἐὰν δὲ τὸ $ΓΔ^2$ ὑπερέχῃ τοῦ $ΔΒ^2$ κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς αὐτὴν (τὴν ΓΔ), καὶ τὸ $ΖΚ^2$ θὰ ὑπερέχῃ τοῦ $ΚΕ^2$ κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς αὐτὴν (τὴν ΖΚ), (θ. 14). Καὶ ἐὰν μὲν ἡ ΓΔ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, θὰ εἶναι καὶ ἡ ΖΚ· ἐὰν δὲ ἡ ΒΔ, καὶ ἡ ΚΕ· ἐὰν δὲ οὐδεμία τῶν ΓΔ, ΔΒ, καὶ οὐδεμία τῶν ΖΚ, ΚΕ· ὥστε ἡ ΖΕ εἶναι ἀποτομή, τῆς ὁποίας τὰ μονώνυμα τὰ ΖΚ, ΚΕ εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς δυωνύμου τὰ ΓΔ, ΔΒ καὶ εἰς τὸν αὐτὸν λόγον πρὸς αὐτά, καὶ ἔχει τὴν αὐτὴν τάξιν πρὸς τὴν ΒΓ· ὅπερ ἔδει δεῖξαι.

113

Τὸ τετράγωνον ῥητῆς παραβαλλόμενον παρὰ ἀποτομὴν σχηματίζει πλάτος τὴν δυώνυμον, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς ἀποτομῆς καὶ συνάμα εἰς τὸν αὐτὸν λόγον, ἀκόμη δὲ ἡ γινομένη δυώνυμος ἔχει τὴν αὐτὴν τάξιν πρὸς τὴν ἀποτομήν.

Ἔστω ῥητὴ μὲν ἡ Α, ἀποτομὴ δὲ ἡ ΒΔ καὶ πρὸς τὸ $Α^2$ ἔστω ἰσοδύναμον τὸ $ΒΔ\times ΚΘ$, ὥστε τὸ τετράγωνον τῆς ῥητῆς Α παραβαλλόμενον παρὰ τὴν ἀποτομὴν ΒΔ νὰ σχηματίζῃ πλάτος τὴν ΚΘ· λέγω ὅτι ἡ ΚΘ εἶναι δυώνυμος, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς ΒΔ καὶ εἰς τὸν αὐτὸν λόγον, καὶ ἀκόμη ὅτι ἡ ΚΘ ἔχει τὴν αὐτὴν τάξιν πρὸς τὴν ΒΔ.

Διότι ἔστω πρὸς τὴν ΒΔ προσαρμόζουσα ἡ ΔΓ· ἄρα αἱ ΒΓ, ΓΔ εἶναί ῥηταὶ δυνάμει μόνον σύμμετροι, (θ. 73). Καὶ πρὸς τὸ $Α^2$ ἔστω ἴσον τὸ $ΒΓ\times Η$. Εἶναι δὲ ῥητὸν τὸ $Α^2$· ἄρα καὶ τὸ $ΒΓ\times Η$ εἶναι ῥητόν. Καὶ ἔχει παραβληθῇ παρὰ τὴν ῥητὴν ΒΓ· ἄρα ἡ Η εἶναι ῥητὴ καὶ μήκει σύμμετρος πρὸς τὴν ΒΓ, (θ. 20). Ἐπειδὴ λοιπὸν τὸ $ΒΓ\times Η$ εἶναι ἴσον πρὸς τὸ $ΒΔ\times ΚΘ$, ἄρα εἶναι $ΓΒ:ΒΔ=ΚΘ:Η$, (VI. 16). Καὶ εἶναι ἡ ΒΓ μεγαλυτέρα τῆς ΒΔ· ἄρα καὶ ἡ ΚΘ εἶναι μεγαλυτέρα τῆς Η, (V. 16 καὶ 14). Ἂς ληφθῇ $ΚΕ=Η$· ἄρα ἡ ΚΕ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΒΓ. Καὶ ἐπειδὴ εἶναι $ΓΒ:ΒΔ=ΘΚ:ΚΕ$, δι' ἀναστροφῆς ἄρα εἶναι $ΒΓ:ΓΔ=ΚΘ:ΘΕ$, (V. 19, πόρ.). Ἂς γίνῃ ὡς ἡ $ΚΘ:ΘΕ=ΘΖ:ΖΕ$· ἄρα καὶ ἡ ὑπόλοιπος ἡ $ΚΖ:ΖΘ=ΚΘ:ΘΕ=ΒΓ:ΓΔ$, (V. 19). Αἱ δὲ *[ὡς] ἡ ΒΓ πρὸς ΓΔ. αἱ δὲ ΒΓ, ΓΔ δυνάμει μόνον [εἰσὶ] σύμμετροι· καὶ αἱ ΚΖ, ΖΘ ἄρα δυνάμει μόνον εἰσὶ σύμμετροι. καὶ ἐπεί ἐστιν ὡς ἡ ΚΘ πρὸς ΘΕ, ἡ ΚΖ πρὸς ΖΘ, ἀλλ' ὡς ἡ ΚΘ πρὸς ΘΕ, ἡ ΘΖ πρὸς ΖΕ, καὶ ὡς ἄρα ἡ ΚΖ πρὸς ΖΘ, ἡ ΘΖ πρὸς ΖΕ· ὥστε καὶ ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας· καὶ ὡς ἄρα ἡ ΚΖ πρὸς ΖΕ, οὕτως τὸ ἀπὸ τῆς ΚΖ πρὸς τὸ ἀπὸ τῆς ΖΘ. σύμμετρον δέ ἐστι τὸ ἀπὸ τῆς ΚΖ τῷ ἀπὸ τῆς ΖΘ· αἱ γὰρ ΚΖ, ΖΘ δυνάμει εἰσὶ σύμμετροι· σύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΚΖ τῇ ΖΕ μήκει· ὥστε ἡ ΚΖ καὶ τῇ ΚΕ σύμμετρός [ἐστι] μήκει. ῥητὴ δέ ἐστιν ἡ ΚΕ καὶ σύμμετρος τῇ ΒΓ μήκει· ῥητὴ ἄρα καὶ ἡ ΚΖ καὶ σύμμετρος τῇ ΒΓ μήκει. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς ΓΔ, οὕτως ἡ ΚΖ πρὸς ΖΘ, ἐναλλὰξ ὡς ἡ ΒΓ πρὸς ΚΖ, οὕτως ἡ ΔΓ πρὸς ΖΘ. σύμμετρος δὲ ἡ ΒΓ τῇ ΚΖ· σύμμετρος ἄρα καὶ ἡ ΖΘ τῇ ΓΔ μήκει. αἱ ΒΓ, ΓΔ δὲ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· καὶ αἱ ΚΖ, ΖΘ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ὀνομάτων ἐστὶν ἄρα ἡ ΚΘ.*

Εἰ μὲν οὖν ἡ ΒΓ τῆς ΓΔ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ ΚΖ τῆς ΖΘ μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ ΒΓ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΚΖ, εἰ δὲ ἡ ΓΔ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΖΘ, εἰ δὲ οὐδετέρα τῶν ΒΓ, ΓΔ, οὐδετέρα τῶν ΚΖ, ΖΘ.

Εἰ δὲ ἡ ΒΓ τῆς ΓΔ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἡ ΚΖ τῆς ΖΘ μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ ΒΓ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΚΖ, εἰ δὲ ἡ ΓΔ, καὶ ἡ ΖΘ, εἰ δὲ οὐδετέρα τῶν ΒΓ, ΓΔ, οὐδετέρα τῶν ΚΖ, ΖΘ.

Ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΚΘ, ἧς τὰ ὀνόματα τὰ ΚΖ, ΖΘ σύμμετρά [ἐστι] τοῖς τῆς ἀποτομῆς ὀνόμασι τοῖς ΒΓ, ΓΔ καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ ἔτι ἡ ΚΘ τῇ ΒΓ τὴν αὐτὴν ἕξει τάξιν· ὅπερ ἔδει δεῖξαι.

ριδ´

Ἐὰν χωρίον περιέχηται ὑπὸ ἀποτομῆς καὶ τῆς ἐκ δύο ὀνομάτων, ἧς τὰ ὀνόματα σύμμετρά τέ ἐστι τοῖς τῆς ἀποτομῆς ὀνόμασι καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἡ τὸ χωρίον δυναμένη ῥητή ἐστιν.

Περιεχέσθω γὰρ χωρίον τὸ ὑπὸ τῶν ΑΒ, ΓΔ ὑπὸ ἀποτομῆς τῆς ΑΒ καὶ τῆς ἐκ δύο ὀνομάτων τῆς ΓΔ, ἧς μεῖζον ὄνομα ἔστω τὸ ΓΕ, καὶ ἔστω τὰ ὀνόματα τῆς ἐκ δύο ὀνομάτων τὰ ΓΕ, ΕΔ σύμμετρά τε τοῖς τῆς ἀποτομῆς ὀνόμασι

ΒΓ, ΓΔ εἶναι δυνάμει μόνον σύμμετροι· ἄρα καὶ αἱ ΚΖ, ΖΘ εἶναι δυνάμει μόνον σύμμετροι, (θ. 11). Καὶ ἐπειδὴ εἶναι ΚΘ: ΘΕ=ΚΖ:ΖΘ, ἀλλὰ ΚΘ: ΘΕ= ΘΖ:ΖΕ, καὶ ὡς ἄρα ΚΖ:ΖΘ=ΘΖ:ΖΕ· ὥστε καὶ ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ τετράγωνον τῆς πρώτης πρὸς τὸ τετράγωνον τῆς δευτέρας, (V. ὁρισ. 9)· καὶ ὡς ἄρα ΚΖ:ΖΕ=$ΚΖ^2$:$ΖΘ^2$. Εἶναι δὲ τὸ $ΚΖ^2$ σύμμετρον πρὸς τὸ $ΖΘ^2$· διότι αἱ ΚΖ, ΖΘ εἶναι δυνάμει σύμμετροι· ἄρα καὶ ἡ ΚΖ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΖΕ, (θ. 11)· ὥστε ἡ ΚΖ εἶναι μήκει σύμμετρος καὶ πρὸς τὴν ΚΕ, (θ. 15). Εἶναι δὲ ῥητὴ ἡ ΚΕ καὶ μήκει σύμμετρος πρὸς τὴν ΒΓ· ἄρα καὶ ἡ ΚΖ εἶναι ῥητὴ καὶ μήκει σύμμετρος πρὸς τὴν ΒΓ, (θ. 12). Καὶ ἐπειδὴ εἶναι ὡς ΒΓ: ΓΔ= ΚΖ:ΖΘ, καὶ ἐναλλὰξ εἶναι ΒΓ: ΚΖ=ΔΓ:ΖΘ, (V. 16). Εἶναι δὲ σύμμετρος ἡ ΒΓ πρὸς τὴν ΚΖ· ἄρα καὶ ἡ ΖΘ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΓΔ, (θ. 11). Αἱ δὲ ΒΓ, ΓΔ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι· ἄρα καὶ αἱ ΚΖ, ΖΘ εἶναι ῥηταί, (ὁρ. 3) δυνάμει μόνον σύμμετροι, (θ. 13)· ἄρα ἡ ΚΘ εἶναι δυώνυμος, (θ. 36).

Ἐὰν μὲν λοιπὸν τὸ $ΒΓ^2$ ὑπερέχῃ τοῦ $ΓΔ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτὴν (τὴν ΒΓ), καὶ τὸ $ΚΖ^2$ θὰ ὑπερέχῃ τοῦ $ΖΘ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτὴν (τὴν ΚΖ), (θ. 14). Καὶ ἐὰν μὲν ἡ ΒΓ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, θὰ εἶναι καὶ ἡ ΚΖ, (θ. 12), ἐὰν δὲ ἡ ΓΔ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητήν, θὰ εἶναι καὶ ἡ ΖΘ, ἐὰν δὲ οὐδεμία τῶν ΒΓ, ΓΔ, καὶ οὐδεμία τῶν ΚΖ, ΖΘ, (θ. 13).

Ἐὰν δὲ τὸ $ΒΓ^2$ ὑπερέχῃ τοῦ $ΓΔ^2$ κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς αὐτὴν (τὴν ΒΓ) καὶ τὸ $ΚΖ^2$ θὰ ὑπερέχῃ τοῦ $ΖΘ^2$ κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς αὐτὴν (τὴν ΚΖ), (θ. 14). Καὶ ἐὰν μὲν ἡ ΒΓ εἶναι μήκει σύμμετρος πρὸς τὴν ληφθεῖσαν ῥητὴν θὰ εἶναι καὶ ἡ ΚΖ, ἐὰν δὲ ἡ ΓΔ, θὰ εἶναι καὶ ἡ ΖΘ, (θ. 12), ἐὰν δὲ οὐδεμία τῶν ΒΓ, ΓΔ καὶ οὐδεμία τῶν ΚΖ, ΖΘ.

Ἄρα ἡ ΚΘ εἶναι δυώνυμος, τῆς ὁποίας τὰ μονώνυμα τὰ ΚΖ, ΖΘ εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς ἀποτομῆς τὰ ΒΓ, ΓΔ καὶ εἰς τὸν αὐτὸν λόγον, καὶ ἀκόμη ἡ ΚΘ θὰ ἔχῃ τὴν αὐτὴν τάξιν πρὸς τὴν ΒΓ· ὅπερ ἔδει δεῖξαι.

114

Ἐὰν χωρίον περιέχηται ὑπὸ ἀποτομῆς καὶ δυωνύμου, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα καὶ εἰς τὸν αὐτὸν λόγον πρὸς τὰ μονώνυμα τῆς ἀποτομῆς, ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ χωρίον εἶναι ῥητή.

Διότι ἄς περιέχηται τὸ χωρίον ΑΒ × ΓΔ ὑπὸ ἀποτομῆς τῆς ΑΒ καὶ τῆς δυωνύμου τῆς ΓΔ, τῆς ὁποίας μεγαλύτερον μονώνυμον ἔστω τὸ ΓΕ, καὶ ἔστω τὰ μονώνυμα τῆς δυωνύμου ΓΔ τὰ ΓΕ, ΕΔ σύμμετρα καὶ εἰς τὸν αὐτὸν λόγον *τοῖς ΑΖ, ΖΒ καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ ἔστω ἡ τὸ ὑπὸ τῶν ΑΒ, ΓΔ δυναμένη ἡ Η· λέγω, ὅτι ῥητή ἐστιν ἡ Η.*

Ἐκκείσθω γὰρ ῥητὴ ἡ Θ, καὶ τῷ ἀπὸ τῆς Θ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω πλάτος ποιοῦν τὴν ΚΛ· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΚΛ, ἧς τὰ ὀνόματα ἔστω τὰ ΚΜ, ΜΛ σύμμετρα τοῖς τῆς ἐκ δύο ὀνομάτων ὀνόμασι τοῖς ΓΕ, ΕΔ καὶ ἐν τῷ αὐτῷ λόγῳ. ἀλλὰ καὶ αἱ ΓΕ, ΕΔ σύμμετροί τέ εἰσι ταῖς ΑΖ, ΖΒ καὶ ἐν τῷ αὐτῷ λόγῳ· ἔστιν ἄρα ὡς ἡ ΑΖ πρὸς τὴν ΖΒ, οὕτως ἡ ΚΜ πρὸς ΜΛ. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΑΖ πρὸς τὴν ΚΜ, οὕτως ἡ ΒΖ πρὸς τὴν ΛΜ. καὶ λοιπὴ ἄρα ἡ ΑΒ πρὸς λοιπὴν τὴν ΚΛ ἐστιν, ὡς ἡ ΑΖ πρὸς ΚΜ. σύμμετρος δὲ ἡ ΑΖ τῇ ΚΜ· σύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΑΒ τῇ ΚΛ. καί ἐστιν ὡς ἡ ΑΒ πρὸς ΚΛ, οὕτως τὸ ὑπὸ τῶν ΓΔ, ΑΒ πρὸς τὸ ὑπὸ τῶν ΓΔ, ΚΛ· σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ὑπὸ τῶν ΓΔ, ΑΒ τῷ ὑπὸ τῶν ΓΔ, ΚΛ. ἴσον δὲ τὸ ὑπὸ τῶν ΓΔ, ΚΛ τῷ ἀπὸ τῆς Θ· σύμμετρον ἄρα ἐστὶ τὸ ὑπὸ τῶν ΓΔ, ΑΒ τῷ ἀπὸ τῆς Θ. τῷ δὲ ὑπὸ τῶν ΓΔ, ΑΒ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς Η· σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς Η τῷ ἀπὸ τῆς Θ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς Θ· ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς Η· ῥητὴ ἄρα ἐστὶν ἡ Η. καὶ δύναται τὸ ὑπὸ τῶν ΓΔ, ΑΒ.



Ἐὰν ἄρα χωρίον περιέχηται ὑπὸ ἀποτομῆς καὶ τῆς ἐκ δύο ὀνομάτων, ἧς τὰ ὀνόματα σύμμετρά ἐστι τοῖς τῆς ἀποτομῆς ὀνόμασι καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἡ τὸ χωρίον δυναμένη ῥητή ἐστιν.

Πόρισμα

Καὶ γέγονεν ἡμῖν καὶ διὰ τούτου φανερόν, ὅτι δυνατόν ἐστι ῥητὸν χωρίον ὑπὸ ἀλόγων εὐθειῶν περιέχεσθαι. ὅπερ ἔδει δεῖξαι.

ριε'

Ἀπὸ μέσης ἄπειροι ἄλογοι γίνονται, καὶ οὐδεμία οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή.

Ἔστω μέση ἡ Α· λέγω, ὅτι ἀπὸ τῆς Α ἄπειροι ἄλογοι γίνονται, καὶ οὐδεμία οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή.

Ἐκκείσθω ῥητὴ ἡ Β, καὶ τῷ ὑπὸ τῶν Β, Α ἴσον ἔστω τὸ ἀπὸ τῆς Γ· ἄλογος ἄρα ἐστὶν ἡ Γ· τὸ γὰρ ὑπὸ ἀλόγου καὶ ῥητῆς ἄλογόν ἐστιν. καὶ οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή· τὸ γὰρ ἀπ' οὐδεμιᾶς τῶν πρότερον παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ μέσην. πάλιν δὴ τῷ ὑπὸ τῶν Β, Γ ἴσον ἔστω τὸ ἀπὸ τῆς Δ. ἄλογον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς Δ. ἄλογος ἄρα ἐστὶν ἡ Δ· καὶ οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή. τὸ γὰρ ἀπ' οὐδεμιᾶς τῶν πρότερον παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν Γ. ὁμοίως δὴ τῆς τοιαύτης τάξεως ἐπ' ἄπειρον προβαινούσης φανερόν, ὅτι ἀπὸ τῆς μέσης ἄπειροι ἄλογοι γίνονται, καὶ οὐδεμία οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή· ὅπερ ἔδει δεῖξαι].



πρὸς τὰ μονώνυμα τῆς ἀποτομῆς τὰ ΑΖ, ΖΒ, καὶ ἔστω $H^2 = AB \times \Gamma\Delta$· λέγω, ὅτι ἡ Η εἶναι ῥητή.

Διότι ἂς ληφθῇ ῥητὴ ἡ Θ, καὶ πρὸς τὸ Θ^2 ἴσον ὀρθογώνιον ἂς παραβληθῇ παρὰ τὴν ΓΔ σχηματίζον πλάτος τὴν ΚΛ· ἄρα ἡ ΚΛ εἶναι ἀποτομή, τῆς ὁποίας τὰ μονώνυμα ἔστω τὰ ΚΜ, ΜΛ σύμμετρα πρὸς τὰ μονώνυμα τῆς δυωνύμου τὰ ΓΕ, ΕΔ καὶ εἰς τὸν αὐτὸν λόγον, (θ. 112). Ἀλλὰ καὶ αἱ ΓΕ, ΕΔ εἶναι σύμμετροι πρὸς τὰς ΑΖ, ΖΒ καὶ εἰς τὸν αὐτὸν λόγον· εἶναι ἄρα $AZ : ZB = KM : M\Lambda$. Ἐναλλὰξ ἄρα εἶναι $AZ : KM = BZ : \Lambda M$, (V. 16)· καὶ ἡ ὑπόλοιπος ἄρα ἡ ΑΒ πρὸς τὴν ὑπόλοιπον τὴν ΚΛ εἶναι ὡς $AZ : KM$ (V. 19). Εἶναι δὲ σύμμετρος ἡ ΑΖ πρὸς τὴν ΚΜ, (θ. 12)· ἄρα καὶ ἡ ΑΒ εἶναι σύμμετρος πρὸς τὴν ΚΛ, (θ. 11). Καὶ εἶναι $AB : K\Lambda = \Gamma\Delta \times AB : \Gamma\Delta \times K\Lambda$· (VI. 1)· ἄρα καὶ τὸ $\Gamma\Delta \times AB$ εἶναι σύμμετρον πρὸς τὸ $\Gamma\Delta \times K\Lambda$, (θ. 9). Εἶναι δὲ $\Gamma\Delta \times K\Lambda = \Theta^2$· ἄρα τὸ $\Gamma\Delta \times AB$ εἶναι σύμμετρον πρὸς τὸ Θ^2. Πρὸς δὲ τὸ $\Gamma\Delta \times AB$ εἶναι ἴσον τὸ H^2· ἄρα τὸ H^2 εἶναι σύμμετρον πρὸς τὸ Θ^2. Εἶναι δὲ ῥητὸν τὸ Θ^2· ἄρα εἶναι ῥητὸν καὶ τὸ H^2· ἄρα ἡ Η εἶναι ῥητή. Καὶ $H^2 = \Gamma\Delta \times AB$.

Ἐὰν ἄρα χωρίον περιέχηται ὑπὸ ἀποτομῆς καὶ δυωνύμου, τῆς ὁποίας τὰ μονώνυμα εἶναι σύμμετρα πρὸς τὰ μονώνυμα τῆς ἀποτομῆς καὶ εἰς τὸν αὐτὸν λόγον, ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ χωρίον εἶναι ῥητή.

Πόρισμα

Καὶ γίνεται καὶ διὰ τοῦ θεωρήματος τούτου φανερόν, ὅτι εἶναι δυνατὸν ῥητὸν χωρίον νὰ περιέχηται ὑπὸ ἀλόγων εὐθειῶν· ὅπερ ἔδει δεῖξαι.

115

Ἀπὸ μέσης γίνονται ἄπειροι ἄλογοι, καὶ οὐδεμία πρὸς οὐδεμίαν τῶν προηγουμένων εἶναι ἡ αὐτή.

Ἔστω μέση ἡ Α· λέγω, ὅτι ἀπὸ τῆς Α γίνονται ἄπειροι ἄλογοι, καὶ οὐδεμία πρὸς οὐδεμίαν τῶν προηγουμένων εἶναι ἡ αὐτή.

Ἂς ληφθῇ ῥητὴ ἡ Β καὶ ἔστω $B \times A = \Gamma^2$· ἄρα ἡ Γ εἶναι ἄλογος (ὁρ. 4). διότι τὸ ὀρθογώνιον πλευρῶν ἀλόγου καὶ ῥητῆς εἶναι ἄλογον, (θ. 20). Καὶ πρὸς οὐδεμίαν τῶν προηγουμένων (ἀλόγων) εἶναι ἡ αὐτή· διότι τὸ τετράγωνον οὐδεμιᾶς τῶν προηγουμένων σχηματίζει πλάτος μέσην παραβαλλόμενον παρὰ ῥητήν. Πάλιν λοιπὸν ἔστω $B \times \Gamma = \Delta^2$· ἄρα τὸ Δ^2 εἶναι ἄλογον (θ. 20). Ἄρα ἡ Δ εἶναι ἄλογος, (ὁρ. 4)· καὶ πρὸς οὐδεμίαν τῶν προηγουμένων ἡ αὐτή· διότι τὸ τετράγωνον οὐδεμιᾶς τῶν προηγουμένων παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος τὴν Γ. Καθ' ὅμοιον τρόπον ἐὰν συνεχισθῇ ἐπ' ἄπειρον ὁ τοιοῦτος συλλογισμός, εἶναι φανερόν, ὅτι ἀπὸ τῆς μέσης γίνονται ἄπειροι ἄλογοι, καὶ οὐδεμία πρὸς οὐδεμίαν τῶν προηγουμένων ἀλόγων εἶναι ἡ αὐτή· ὅπερ ἔδει δεῖξαι.

ΠΑΡΑΡΤΗΜΑ

1

Ἄλλως τὸ α´ θεώρημα

Ἐκκείσθω δύο μεγέθη ἄνισα τὰ ΑΒ, Γ· καὶ ἐπεὶ ἐλασσόν ἐστι τὸ Γ, πολλαπλασιαζόμενον ἔσται ποτὲ τοῦ ΑΒ μεγέθους μεῖζον. γεγονέτω ὡς τὸ ΖΜ καὶ διῃρήσθω εἰς [τὰ] ἴσα τῷ Γ, καὶ ἔστω τὰ ΜΘ, ΘΗ, ΗΖ, καὶ ἀπὸ τοῦ ΑΒ ἀφῃρήσθω μεῖζον ἢ τὸ ἥμισυ τὸ ΒΕ, καὶ ἀπὸ τοῦ ΕΑ μεῖζον ἢ τὸ ἥμισυ τὸ ΕΔ, καὶ τοῦτο ἀεὶ γινέσθω, ἕως αἱ ἐν τῷ ΖΜ διαιρέσεις ἴσαι γένωνται ταῖς ἐν τῷ ΑΒ διαιρέσεσιν. γεγονέτωσαν ὡς αἱ ΒΕ, ΕΔ, ΔΑ, καὶ τῷ ΔΑ ἕκαστον τῶν ΚΛ, ΛΝ, ΝΞ ἔστω ἴσον, καὶ τοῦτο γινέσθω, ἕως αἱ διαιρέσεις τοῦ ΚΞ ἴσαι γένωνται ταῖς τοῦ ΖΜ.



Καὶ ἐπεὶ τὸ ΒΕ μεῖζον ἢ τὸ ἥμισυ ἔστι τοῦ ΒΑ, τὸ ΒΕ μεῖζόν ἐστι τοῦ ΕΑ· πολλῷ ἄρα μεῖζόν ἐστι τοῦ ΔΑ. ἀλλὰ τὸ ΔΑ ἴσον ἐστὶ τῷ ΞΝ· τὸ ΒΕ ἄρα μεῖζόν ἐστι τοῦ ΝΞ. πάλιν, ἐπεὶ τὸ ΕΔ μεῖζον ἢ τὸ ἥμισύ ἐστι τοῦ ΕΑ, μεῖζόν ἐστι τοῦ ΔΑ. ἀλλὰ τὸ ΔΑ ἐστιν ἴσον τῷ ΝΛ· τὸ ΕΔ ἄρα μεῖζόν ἐστι τοῦ ΝΛ. ὅλον ἄρα τὸ ΔΒ μεῖζόν ἐστι τοῦ ΞΛ. ἴσον δὲ τὸ ΛΑ τῷ ΛΚ. ὅλον ἄρα τὸ ΒΑ μεῖζόν ἐστι τοῦ ΞΚ. ἀλλὰ τοῦ ΒΑ μεῖζόν ἐστι τὸ ΜΖ· πολλῷ ἄρα τὸ ΜΖ μεῖζόν ἐστι τοῦ ΞΚ. καὶ ἐπεὶ τὰ ΞΝ, ΝΛ, ΛΚ ἴσα ἀλλήλοις ἐστίν, ἔστι δὲ καὶ τὰ ΜΘ, ΘΗ, ΗΖ ἴσα ἀλλήλοις, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν ἐν τῷ ΜΖ τῷ πλήθει τῶν ἐν τῷ ΞΚ, ἔστιν ἄρα ὡς τὸ ΚΛ πρὸς τὸ ΖΗ, οὕτως τὸ ΚΞ πρὸς τὸ ΖΜ. μεῖζον δὲ τὸ ΖΜ τοῦ ΚΞ· μεῖζον ἄρα καὶ τὸ ΗΖ τοῦ ΛΚ. καί ἐστι τὸ μὲν ΖΗ ἴσον τῷ Γ, τὸ δὲ ΚΛ τῷ ΑΔ· τὸ Γ ἄρα μεῖζόν ἐστι τοῦ ΑΔ· ὅπερ ἔδει δεῖξαι.

2

Ἄλλως τὸ ς´

Δύο γὰρ μεγέθη τὰ Α, Β πρὸς ἄλληλα λόγον ἐχέτω, ὃν ἀριθμὸς ὁ Γ πρὸς ἀριθμὸν τὸν Δ· λέγω, ὅτι σύμμετρά ἐστι τὰ μεγέθη.



Ὅσαι γάρ εἰσιν ἐν τῷ Γ μονάδες, εἰς τοσαῦτα ἴσα διῃρήσθω τὸ Α, καὶ ἑνὶ αὐτῶν ἴσον ἔστω τὸ Ε· ἔστιν ἄρα ὡς ἡ μονὰς πρὸς τὸν Γ ἀριθμόν, τὸ Ε πρὸς τὸ Α. ἔστι δὲ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, τὸ Α πρὸς τὸ Β· δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ μονὰς πρὸς τὸν Δ, τὸ Ε πρὸς τὸ Β. μετρεῖ δὲ καὶ ἡ μονὰς τὸν Δ· μετρεῖ ἄρα καὶ τὸ Ε τὸ Β. μετρεῖ δὲ καὶ τὸ Ε τὸ Α,

1

Ἄλλως τὸ 1

Ἂς ληφθῶσι δύο μεγέθη ἄνισα τὰ ΑΒ, Γ· καὶ ἐπειδὴ τὸ Γ εἶναι μικρότερον, λαμβανόμενον πολλὰς φορὰς θὰ γίνῃ κάποτε μεγαλύτερον τοῦ μεγέθους ΑΒ, (V. ὁρισ. 4). Ἂς γίνῃ ὡς τὸ ΖΜ καὶ ἂς διαιρεθῇ εἰς τὰ ἴσα πρὸς τὸ Γ καὶ ἔστω ταῦτα τὰ ΜΘ, ΘΗ, ΗΖ, καὶ ἀπὸ τοῦ ΑΒ ἂς ἀφαιρεθῇ περισσότερον τοῦ ἡμίσεος τὸ ΒΕ, καὶ ἀπὸ τοῦ ὑπολοίπου τοῦ ΕΑ ἂς ἀφαιρεθῇ περισσότερον τοῦ ἡμίσεος τὸ ΕΔ καὶ ἂς γίνηται τοῦτο διαρκῶς μέχρις ὅτου αἱ εἰς τὸ ΖΜ διαιρέσεις γίνωσιν ἴσαι πρὸς τὰς διαιρέσεις εἰς τὸ ΑΒ. Ἔστω ὅτι ἔγιναν αἱ ΒΕ, ΕΔ, ΔΑ καὶ ἔστω ΔΑ=ΚΛ=ΛΝ=ΝΞ, καὶ τοῦτο ἂς γίνῃ μέχρις ὅτου τὸ πλῆθος τῶν διαιρέσεων τοῦ ΚΞ γίνῃ ἴσον πρὸς τὸ πλῆθος τῶν διαιρέσεων τοῦ ΖΜ.

Καὶ ἐπειδὴ τὸ ΒΕ εἶναι μεγαλύτερον τοῦ ἡμίσεος τοῦ ΒΑ, τὸ ΒΕ $>$ ΕΑ· ἄρα εἶναι πολὺ μεγαλύτερον τοῦ ΔΑ. Ἀλλὰ τὸ ΔΑ=ΞΝ· ἄρα ΒΕ $>$ ΝΞ. Πάλιν, ἐπειδὴ ΕΔ $>$ 1/2 ΕΑ, εἶναι μεγαλύτερον τοῦ ΔΑ. Ἀλλὰ ΔΑ=ΝΛ· ἄρα ΕΔ $>$ ΝΛ. Ὅλον ἄρα τὸ ΔΒ $>$ ΞΛ. εἶναι δὲ ΔΑ=ΛΚ. Ὅλον ἄρα τὸ ΒΑ $>$ ΞΚ. Ἀλλὰ ΜΖ $>$ ΒΑ· ἄρα τὸ ΜΖ εἶναι πολὺ μεγαλύτερον τοῦ ΞΚ. Καὶ ἐπειδὴ ΞΝ=ΝΛ=ΛΚ, εἶναι δὲ καὶ ΜΘ=ΘΗ=ΗΖ, καὶ τὸ πλῆθος τῶν μερῶν τοῦ ΜΖ εἶναι ἴσον πρὸς τὸ πλῆθος τῶν μερῶν τοῦ ΞΚ, εἶναι ἄρα ΚΛ:ΖΗ=ΚΞ:ΖΜ, (V. 15). Εἶναι δὲ ΖΜ $>$ ΚΞ· ἄρα ΗΖ $>$ ΛΜ, (V. 14). Καὶ εἶναι τὸ μὲν ΖΗ=Γ, τὸ δὲ ΚΛ=ΑΔ· ἄρα Γ $>$ ΑΔ· ὅπερ ἔδει δεῖξαι.

2

Ἄλλως τὸ 6

Διότι ἂς ἔχωσι λόγον μεταξύ των δύο μεγέθη τὰ Α, Β ὃν λόγον ἔχει ὁ ἀριθμὸς Γ πρὸς τὸν ἀριθμὸν Δ· λέγω, ὅτι τὰ μεγέθη εἶναι σύμμετρα.

Διότι ὅσας μονάδας ἔχει ὁ Γ εἰς τόσα ἴσα μέρη ἂς διαιρεθῇ τὸ μέγεθος Α καὶ πρὸς ἓν ἐξ αὐτῶν ἔστω ἴσον τὸ Ε· εἶναι ἄρα 1:Γ=Ε:Α, (V. 15). Εἶναι δὲ καὶ Γ:Δ=Α:Β· δι' ἴσου ἄρα εἶναι 1:Δ=Ε:Β, (V. 22). Μετρεῖ δὲ καὶ ἡ μονὰς τὸν Δ· ἄρα καὶ τὸ Ε μετρεῖ τὸ Β. Μετρεῖ δὲ καὶ τὸ Ε τὸ Α, ἐπειδὴ καὶ ἡ *ἐπεὶ καὶ ἡ μονὰς τὸν Γ· τὸ Ε ἄρα ἑκάτερον τῶν Α, Β μετρεῖ· τὰ Α, Β ἄρα σύμμετρά ἐστιν, καί ἐστιν αὐτῶν κοινὸν μέτρον τὸ Ε· ὅπερ ἔδει δεῖξαι.*

3

Ἄλλως τὸ θ´

Ἐπεὶ γὰρ σύμμετρός ἐστιν ἡ Α τῇ Β, λόγον ἔχει, ὃν ἀριθμὸς πρὸς ἀριθμόν· ἐχέτω, ὃν ὁ Γ πρὸς τὸν Δ, καὶ ὁ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε ποιείτω, ὁ δὲ Γ τὸν Δ πολλαπλασιάσας τὸν Ζ ποιείτω, ὁ δὲ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Η ποιείτω. ἐπεὶ οὖν ὁ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε πεποίηκεν, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ζ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, τουτέστιν ὡς ἡ Α πρὸς τὴν Β, [οὕτως] ὁ Ε πρὸς τὸν Ζ. ἀλλ' ὡς ἡ Α πρὸς τὴν Β, οὕτως τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β, οὕτως ὁ Ε πρὸς τὸν Ζ. πάλιν, ἐπεὶ ὁ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Η πεποίηκεν, ὁ δὲ Γ τὸν Δ πολλαπλασιάσας τὸν Ζ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, τουτέστιν ὡς ἡ Α πρὸςτὴν Β, οὕτως ὁ Ζ πρὸς τὸν Η. ἀλλ' ὡς ἡ Α πρὸς τὴν Β, οὕτως τὸ ὑπὸ τῶν Α,Β πρὸς τὸ ἀπὸ τῆς Β· ἔστιν ἄρα ὡς τὸ ὑπὸ τῶν Α, Β πρὸς τὸ ἀπὸ τῆς Β, οὕτως ὁ Ζ πρὸς τὸν Η. ἀλλ' ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β, οὕτως ἦν ὁ Ε πρὸς τὸν Ζ· δι' ἴσου ἄρα ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β, οὕτως ὁ Ε πρὸς τὸν Η. ἔστι δὲ ἑκάτερος τῶν Ε, Η τετράγωνος· ὁ μὲν γὰρ Ε ἀπὸ τοῦ Γ ἔστιν, ὁ δὲ Η ἀπὸ τοῦ Δ· τὸ ἀπὸ τῆς Α ἄρα πρὸς τὸ ἀπὸ τῆς Β λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. ὅπερ ἔδει δεῖξαι.



Ἀλλὰ δὴ ἐχέτω τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β λόγον, ὃν τετράγωνος ἀρθμὸς ὁ Ε πρὸς τετράγωνον ἀριθμὸν τὸν Η· λέγω, ὅτι σύμμετρός ἐστιν ἡ Α τῇ Β.

Ἔστω γὰρ τοῦ μὲν Ε πλευρὰ ὁ Γ, τοῦ δὲ Η ὁ Δ, καὶ ὁ Γ τὸν Δ πολλαπλασιάσας τὸν Ζ ποιείτω· οἱ Ε, Ζ, Η ἄρα ἑξῆς εἰσιν ἀνάλογον ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεὶ τῶν ἀπὸ τῶν Α, Β, μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν Α, Β, τῶν δὲ Ε, Η ὁ Ζ, ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β, οὕτως ὁ Ε πρὸς τὸν Ζ. ὡς δὲ τὸ ὑπὸ τῶν Α, Β πρὸς τὸ ἀπὸ τῆς Β, οὕτως ὁ Ζ πρὸς τὸν Η, ἀλλ' ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ὑπὸ τῶν Α, Β, οὕτως ἡ Α πρὸς τὴν Β. αἱ Α, Β ἄρα σύμμετροί εἰσιν· λόγον γὰρ ἔχουσιν, ὃν ἀριθμὸς ὁ Ε πρὸς ἀριθμὸν τὸν Ζ, τουτέστιν ὃν ὁ Γ πρὸς τὸν Δ· ὡς γὰρ ὁ Γ πρὸς τὸν Δ, ὁ Ε πρὸς τὸν Ζ· ὁ γὰρ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε πεποίηκεν, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ζ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, ὁ Ε πρὸς τὸν Ζ.

μονὰς μετρεῖ τὸν Γ· τὸ Ε ἄρα μετρεῖ ἕκαστον τῶν Α, Β· ἄρα τὰ Α, Β εἶναι σύμμετρα καὶ τὸ Ε εἶναι κοινὸν μέτρον αὐτῶν· ὅπερ ἔδει δεῖξαι.

3

Ἄλλως τὸ 9

Διότι, ἐπειδὴ ἡ Α εἶναι σύμμετρος πρὸς τὴν Β, ἔχει λόγον, ὃν ἀριθμὸς πρὸς ἀριθμόν, (θ. 6). Ἂς ἔχῃ ὃν λόγον ἔχει ὁ Γ πρὸς τὸν Δ, καὶ ἔστω $\Gamma\times\Gamma=$ Ε, $\Gamma\times\Delta=Z$, $\Delta\times\Delta=H$. Ἐπειδὴ λοιπὸν $\Gamma^2=E$, $\Gamma\times\Delta=Z$, εἶναι ἄρα $\Gamma:\Delta$, τουτέστιν $A:B=E:Z$, (VII. 17). Ἀλλ' ὡς $A:B=A^2:A\times B$· εἶναι ἄρα $A^2:A\times B=E:Z$. Πάλιν, ἐπειδὴ $\Delta^2=H$ καὶ $\Gamma\times\Delta=Z$, εἶναι ἄρα $\Gamma:\Delta$, τουτέστιν $A:B=Z:H$. Ἀλλ' ὡς $A:B=A\times B:B^2$· εἶναι ἄρα $A\times B:B^2=Z:H$. Ἀλλὰ $A^2:A\times B=E:Z$· δι' ἴσου ἄρα εἶναι $A^2:B^2=E:H$, (V. 22). Εἶναι δὲ ἕκαστος τῶν Ε, Η τετράγωνος· διότι ὁ μὲν $E=\Gamma^2$, ὁ δὲ $H=\Delta^2$· ἄρα $A^2:B^2$ ἔχει λόγον, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ὅπερ ἔδει δεῖξαι.

Ἀλλ' ἂς ἔχῃ τώρα τὸ A^2 πρὸς B^2 λόγον ὃν ἔχει τετράγωνος ἀριθμὸς ὁ Ε πρὸς τετράγωνον ἀριθμὸν τὸν Η· λέγω, ὅτι ἡ Α εἶναι σύμμετρος πρὸς τὴν Β.

Διότι ἔστω τοῦ μὲν Ε πλευρὰ ὁ Γ, τοῦ δὲ Η ὁ Δ, καὶ ἔστω $\Gamma\times\Delta=Z$· ἄρα οἱ Ε, Ζ, Η εὑρίσκονται ἐν συνεχεῖ ἀναλογίᾳ ἔχοντες τὸν λόγον $\Gamma:\Delta$ (VIII. 11). Καὶ ἐπειδὴ τῶν A^2, B^2 εἶναι μέσον ἀνάλογον τὸ $A\times B$, τῶν δὲ Ε, Η ὁ Ζ, εἶναι ἄρα $A^2:A\times B=E:Z$. Ὡς δὲ $A\times B:B^2=Z:H$, ἀλλὰ $A^2:A\times B=A:B$. Αἱ Α, Β, ἄρα εἶναι σύμμετροι· διότι ἔχουσι λόγον ὃν ἀριθμὸς ὁ Ε πρὸς ἀριθμὸν τὸν Ζ, (θ. 6), τουτέστιν ὁ Γ πρὸς τὸν Δ· διότι $\Gamma:\Delta=E:Z$· διότι $\Gamma^2=E$ καὶ $\Gamma\times\Delta=Z$, (VII. 17)· εἶναι ἄρα ὡς ὁ $\Gamma:\Delta=E:Z$.

4

Εἰς τὸ 10

Τῇ ἄρα προτεθείσῃ εὐθείᾳ τῇ ῥητῇ, ἀφ' ἧς ἔφαμεν τὰ μέτρα λαμβάνεσθαι, οἷον τῇ Α, προσεύρηται δυνάμει μὲν σύμμετρος ἡ Δ, τουτέστι ῥητὴ δυνάμει μόνον σύμμετρος, ἄλογος δὲ ἡ Ε. ἀλόγους γὰρ καθόλου καλεῖ τὰς καὶ μήκει καὶ δυνάμει ἀσυμμέτρους τῇ ῥητῇ.

5

Εἰς τὸ 13

Εἰς τὸ ιγ' λῆμμα ἐκ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

Ἐὰν ᾖ δύο μεγέθη, καὶ τὸ μὲν σύμμετρον ᾖ τῷ αὐτῷ, τὸ δὲ ἕτερον ἀσύμμετρον, ἀσύμμετρα ἔσται τὰ μεγέθη.

Ἔστω γὰρ δύο μεγέθη τὰ Α, Β ἄλλο δὲ τὸ Γ, καὶ τὸ μὲν Α τῷ Γ σύμμετρον ἔστω, τὸ δὲ Β τῷ Γ ἀσύμμετρον. λέγω, ὅτι καὶ τὸ Α τῷ Β ἀσύμμετρόν ἐστιν.



Εἰ γάρ ἐστι σύμμετρον τὸ Α τῷ Β, ἔστι δὲ καὶ τὸ Γ τῷ Α, καὶ τὸ Γ ἄρα τῷ Β σύμμετρόν ἐστιν· ὅπερ οὐχ ὑπόκειται.

6

Εἰς τὸ 18

Ῥητὰς γὰρ καλεῖ τὰς τῇ ἐκκειμένῃ ῥητῇ ἤτοι μήκει καὶ δυνάμει συμμέτρους ἢ καὶ δυνάμει μόνον. εἰσὶ δὲ καὶ ἄλλαι εὐθεῖαι, αἳ μήκει μὲν ἀσύμμετροι εἰσι τῇ ἐκκειμένῃ ῥητῇ, δυνάμει δὲ μόνον σύμμετροι, καὶ διὰ τοῦτο πάλιν λέγονται ῥηταὶ καὶ σύμμετροι πρὸς ἀλλήλας, καθ' ὃ ῥηταί, ἀλλὰ σύμμετροι πρὸς ἀλλήλας ἤτοι μήκει δηλαδὴ καὶ δυνάμει ἢ δυνάμει μόνον. καὶ εἰ μὲν μήκει, λέγονται καὶ αὗται ῥηταὶ μήκει σύμμετροι ἐπακουομένου, ὅτι καὶ δυνάμει· εἰ δὲ δυνάμει μόνον πρὸς ἀλλήλας εἰσὶ σύμμετροι, λέγονται καὶ αὗται οὕτως ῥηταὶ δυνάμει μόνον σύμμετροι. ὅτι δὲ αἱ ῥηταὶ σύμμετροί εἰσιν, ἐντεῦθεν δῆλον· ἐπεὶ γὰρ ῥηταί εἰσιν αἱ τῇ ἐκκειμένῃ ῥητῇ σύμμετροι, τὰ δὲ τῷ αὐτῷ σύμμετρα καὶ ἀλλήλοις ἐστὶ σύμμετρα, αἱ ἄρα ῥηταὶ σύμμετροί εἰσιν.

4

Εἰς τὸ 10

Ἄρα πρὸς τὴν προτεθεῖσαν ῥητὴν εὐθεῖαν, ἀφ' ἧς εἴπομεν ὅτι λαμβάνονται τὰ μέτρα, ὡς π.χ. πρὸς τὴν Α, εὑρέθη δυνάμει μὲν σύμμετρος ἡ Δ, τουτέστι ῥητὴ δυνάμει μόνον σύμμετρος, ἄλογος δὲ ἡ Ε· διότι ἀλόγους καθόλου καλεῖ τὰς μήκει καὶ δυνάμει ἀσυμμέτρους πρὸς τὴν ῥητήν.

5

Εἰς τὸ 13

Εἰς τὸ 13 λῆμμα ἐκ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

Ἐὰν ὑπάρχωσι δύο μεγέθη καὶ τὸ μὲν εἶναι σύμμετρον, τὸ δὲ ἄλλο εἶναι ἀσύμμετρον πρὸς τὸ αὐτό, τὰ μεγέθη θὰ εἶναι ἀσύμμετρα.

Διότι ἔστω δύο μεγέθη τὰ Α, Β, ἄλλο δὲ τὸ Γ, καὶ τὸ μὲν Α ἔστω σύμμετρον πρὸς τὸ Γ, τὸ δὲ Β ἀσύμμετρον πρὸς τὸ Γ. Λέγω, ὅτι καὶ τὸ Α εἶναι ἀσύμμετρον πρὸς τὸ Β.

Διότι ἐὰν τὸ Α εἶναι σύμμετρον πρὸς τὸ Β, εἶναι δὲ καὶ τὸ Γ σύμμετρον πρὸς τὸ Α, ἄρα καὶ τὸ Γ εἶναι σύμμετρον πρὸς τὸ Β· ὅπερ ἀντιβαίνει εἰς τὴν ὑπόθεσιν.

6

Εἰς τὸ 18

Διότι ῥητὰς καλεῖ τὰς πρὸς τὴν ληφθεῖσαν ῥητὴν ἢ μήκει καὶ δυνάμει συμμέτρους ἢ καὶ δυνάμει μόνον. Ὑπάρχουσι δὲ καὶ ἄλλαι εὐθεῖαι, αἱ ὁποῖαι μήκει μὲν εἶναι ἀσύμμετροι πρὸς τὴν ληφθεῖσαν ῥητήν, δυνάμει δὲ σύμμετροι μόνον καὶ διὰ τοῦτο λέγονται ῥηταὶ καὶ σύμμετροι πρὸς ἀλλήλας, καθ' ὃ ῥηταί, ἀλλὰ σύμμετροι πρὸς ἀλλήλας, δηλ. ἢ μήκει καὶ δυνάμει ἢ δυνάμει μόνον. Καὶ ἐὰν μὲν εἶναι μήκει σύμμετροι λέγονται καὶ αὐταὶ ῥηταί, ἐπακουομένου μήκει σύμμετροι, διότι εἶναι καὶ δυνάμει σύμμετροι· ἐὰν δὲ εἶναι μόνον δυνάμει σύμμετροι πρὸς ἀλλήλας, λέγονται καὶ αὐταὶ τοιουτοτρόπως, δυνάμει μόνον σύμμετροι. Ὅτι δὲ αἱ ῥηταὶ εἶναι σύμμετροι εἶναι φανερὸν ἐκ τοῦ ἑξῆς· διότι, ἐπειδὴ ῥηταὶ εἶναι αἱ σύμμετροι πρὸς τὴν ληφθεῖσαν ῥητήν, τὰ δὲ σύμμετρα πρὸς τὸ αὐτὸ εἶναι καὶ μεταξύ των σύμμετρα, (θ. 12), ἄρα αἱ ῥηταὶ εἶναι σύμμετροι.

7

Εἰς τὸ 20

Λῆμμα

Ἡ δυναμένη ἄλογον χωρίον ἄλογός ἐστιν.

Δυνάσθω γὰρ ἡ Α ἄλογον χωρίον, τουτέστι τὸ ἀπὸ τῆς Α τετράγωνον ἴσον ἔστω ἀλόγῳ χωρίῳ. λέγω, ὅτι ἡ Α ἄλογός ἐστιν.



Εἰ γὰρ ἔσται ῥητὴ ἡ Α, ῥητὸν ἔσται καὶ τὸ ἀπ' αὐτῆς τετράγωνον· οὕτως γὰρ [ἐστιν] ἐν τοῖς ὅροις. οὐκ ἔστι δέ· ἄλογος ἄρα ἐστὶν ἡ Α· ὅπερ ἔδει δεῖξαι.

8

Εἰς τὸ 23

Εἰσὶ δὲ πάλιν καὶ ἄλλαι εὐθεῖαι, αἱ μήκει μὲν ἀσύμμετροί εἰσι τῇ μέσῃ, δυνάμει δὲ μόνον σύμμετροι, καὶ λέγονται πάλιν μέσαι διὰ τὸ σύμμετροι εἶναι δυνάμει τῇ μέσῃ καὶ σύμμετροι πρὸς ἀλλήλας, καθὸ μέσαι, ἀλλὰ σύμμετροι πρὸς ἀλλήλας ἤτοι μήκει δηλαδὴ καὶ δυνάμει ἢ δυνάμει μόνον. καὶ εἰ μὲν μήκει, λέγονται καὶ αὗται μέσαι μήκει σύμμετροι ἑπομένου τοῦ, ὅτι καὶ δυνάμει· εἰ δὲ δυνάμει μόνον εἰσὶ σύμμετροι, λέγονται καὶ οὕτως μέσαι δυνάμει μόνον σύμμετροι.

Ὅτι δὲ αἱ μέσαι σύμμετροί εἰσιν, οὕτως δεικτέον. ἐπεὶ αἱ μέσαι μέσῃ τινὶ σύμμετροί εἰσιν, τὰ δὲ τῷ αὐτῷ σύμμετρα καὶ ἀλλήλοις ἐστὶ σύμμετρα, αἱ ἄρα μέσαι σύμμετροί εἰσιν.

9

Λῆμμα

Εἰς τὸ 27

Δύο ἀριθμῶν δοθέντων ἐν λόγῳ ὁποιῳοῦν καὶ ἄλλου τινὸς δέον ποιῆσαι ὡς τὸν ἀριθμὸν πρὸς τὸν ἀριθμὸν οὕτως τοῦτον πρὸς ἄλλον τινά.



Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ ΑΒ, ΓΔ λόγον ἔχοντες πρὸς ἀλλήλους ὁποιονοῦν, ἄλλος δέ τις ὁ ΓΕ. δεῖ ποιῆσαι τὸ προκείμενον.

Ἀναγεγράφθω γὰρ ὑπὸ τῶν ΔΓ, ΓΕ παραλληλόγραμμον ὀρθογώνιον τὸ ΔΕ, καὶ τῷ ΔΕ ἴσον παρὰ τὸν ΑΒ παραβεβλήσθω παραλληλόγραμμον τὸ ΒΖ πλάτος ποιοῦν τὴν ΑΖ. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΔΕ

7

Εἰς τὸ 20

Λῆμμα

Ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς ἄλογον χωρίον εἶναι ἄλογος.

Διότι ἂς δύναται ἡ Α ἄλογον χωρίον, τουτέστι τὸ A^2 ἔστω ἰσοδύναμον πρὸς ἄλογον χωρίον. Λέγω, ὅτι ἡ Α εἶναι ἄλογος.

Διότι ἐὰν θὰ εἶναι ῥητὴ ἡ Α θὰ εἶναι ῥητὸν καὶ τὸ A^2· διότι τοῦτο περιλαμβάνεται εἰς τοὺς ὁρισμοὺς (ὁρ. 4). Ἀλλὰ δὲν εἶναι· ἄρα ἡ Α εἶναι ἄλογος· ὅπερ ἔδει δεῖξαι.

8

Εἰς τὸ 23, πόρισμα

Ὑπάρχουσι δὲ πάλιν καὶ ἄλλαι εὐθεῖαι, αἱ ὁποῖαι μήκει μὲν εἶναι ἀσύμμετροι πρὸς τὴν μέσην, δυνάμει δὲ μόνον σύμμετροι, καὶ λέγονται πάλιν μέσαι, διότι εἶναι σύμμετροι δυνάμει πρὸς τὴν μέσην καὶ σύμμετροι πρὸς ἀλλήλας, καθ' ὃ μέσαι, ἀλλὰ σύμμετροι πρὸς ἀλλήλας ἢ δηλ. μήκει καὶ δυνάμει ἢ δυνάμει μόνον. Καὶ ἐὰν μὲν εἶναι μήκει σύμμετροι, λέγονται καὶ αὗται μέσαι μήκει σύμμετροι, ὑπακουομένου, ὅτι καὶ δυνάμει εἶναι σύμμετροι· ἐὰν δὲ εἶναι δυνάμει μόνον σύμμετροι, λέγονται καὶ τοιουτοτρόπως μέσαι δυνάμει μόνον σύμμετροι.

Ὅτι δὲ αἱ μέσαι εἶναι σύμμετροι, ἀποδεικνύεται ὡς ἑξῆς. Ἐπειδὴ αἱ μέσαι εἶναι πρὸς μέσην τινὰ σύμμετροι, τὰ δὲ σύμμετρα πρὸς τὸ αὐτὸ εἶναι καὶ μεταξύ των σύμμετρα, ἄρα αἱ μέσαι εἶναι σύμμετροι.

9

Εἰς τὸ 27

Λῆμμα

Δύο ἀριθμῶν δοθέντων εἰς οἱονδήποτε λόγον καὶ ἄλλου τινὸς νὰ γίνῃ ὡς ὁ ἀριθμὸς πρὸς τὸν ἀριθμόν, οὕτως ὁ ἄλλος πρὸς ἄλλον τινά.

Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ ΑΒ, ΓΔ ἔχοντες λόγον πρὸς ἀλλήλους οἱονδήποτε, ἄλλος δὲ ἀριθμὸς ὁ ΓΕ. Πρέπει νὰ γίνῃ τὸ ζητηθέν.

Ἂς κατασκευασθῇ τὸ ὀρθογώνιον παραλληλόγραμμον πλευρῶν ΔΓ, ΓΕ, τὸ ΔΕ, καὶ πρὸς τὸ ΔΕ ἰσοδύναμον παραλληλόγραμμον τὸ ΒΖ ἂς παραβληθῇ παρὰ τὴν ΑΒ σχηματίζον πλάτος τὴν ΑΖ. Ἐπειδὴ λοιπὸν ΔΕ=ΒΖ εἶναι δὲ *παραλληλόγραμμον τῷ BZ παραλληλογράμμῳ, ἔστι δὲ αὐτῷ καὶ ἰσογώνιον, τῶν δὲ ἴσων καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ἀνάλογον ἄρα ἐστὶν ὡς ὁ AB πρὸς τὸν ΓΔ, οὕτως ὁ ΓE πρὸς τὸν AZ· ὅπερ ἔδει δεῖξαι.*

10

Λῆμμα εἰς τὸ κθ΄

Δύο ἀριθμῶν δοθέντων καὶ εὐθείας δέον ποιῆσαι ὡς τὸν ἀριθμὸν πρὸς τὸν ἀριθμόν, οὕτως τὸ ἀπὸ τῆς εὐθείας τετράγωνον πρὸς τὸ ἀπ' ἄλλης τινός.



Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ A, B, εὐθεῖαι δὲ ἡ Γ, καὶ δέον ἐστὶ ποιῆσαι τὸ προκείμενον. πεποιήσθω γὰρ ὡς ὁ A πρὸς τὸν B, ἡ Γ εὐθεῖα πρὸς ἄλλην τινὰ τὴν Δ, καὶ εἰλήφθω τῶν Γ, Δ μέση ἀνάλογον ἡ E. ἐπεὶ οὖν ἐστιν ὡς ὁ A πρὸς τὸν B, ἡ Γ εὐθεῖα πρὸς τὴν Δ, ἀλλ' ὡς ἡ Γ πρὸς τὴν Δ, τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς E, ὡς ἄρα ὁ A πρὸς τὸν B, τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς E τετράγωνον.

11

Λῆμμα εἰς τὸ λα΄

Ἐὰν ὦσι δύο εὐθεῖαι ἐν λόγῳ τινί, ἔσται ὡς ἡ εὐθεῖα πρὸς τὴν εὐθεῖαν, οὕτως τὸ ὑπὸ τῶν δύο πρὸς τὸ ἀπὸ τῆς ἐλαχίστης.

Ἔστωσαν δὴ δύο εὐθεῖαι αἱ AB, BΓ ἐν λόγῳ τινί· λέγω, ὅτι ἐστὶν ὡς ἡ AB πρὸς τὴν BΓ, οὕτως τὸ ὑπὸ τῶν AB, BΓ πρὸς τὸ ἀπὸ τῆς BΓ. ἀναγεγράφθω γὰρ ἀπὸ τῆς BΓ τετράγωνον τὸ BΔEΓ, καὶ συμπεπληρώσθω τὸ AΔ παραλληλόγραμμον. φανερὸν δή, ὅτι ἐστὶν ὡς ἡ AB πρὸς τὴν BΓ, οὕτως τὸ AΔ παραλληλόγραμμον πρὸς τὸ BE παραλληλόγραμμον. καί ἐστι τὸ μὲν AΔ τὸ ὑπὸ τῶν AB, BΓ· ἴση γὰρ ἡ BΓ τῇ BΔ· τὸ δὲ BE τὸ ἀπὸ τῆς BΓ· ὡς ἄρα ἡ AB πρὸς τὴν BΓ, οὕτως τὸ ὑπὸ τῶν AB, BΓ πρὸς τὸ ἀπὸ τῆς BΓ· ὅπερ ἔδει δεῖξαι.



12

Λῆμμα εἰς τὸ λβ΄

Ἐὰν ὦσι τρεῖς εὐθεῖαι ἐν λόγῳ τινί, ἔσται ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ὑπὸ τῆς πρώτης καὶ μέσης πρὸς τὸ ὑπὸ τῆς μέσης καὶ ἐλαχίστης.

Ἔστωσαν τρεῖς εὐθεῖαι ἐν λόγῳ τινὶ αἱ AB, BΓ, ΓΔ· λέγω, ὅτι ἐστὶν ὡς ἡ AB πρὸς τὴν ΓΔ, οὕτως τὸ ὑπὸ τῶν AB, BΓ πρὸς τὸ ὑπὸ τῶν BΓ, ΓΔ.

ταῦτα καὶ ἰσογώνια, τῶν δὲ ἴσων καὶ ἰσογωνίων παραλληλογράμμων αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας εἶναι ἀντιστρόφως ἀνάλογοι, (VI. 14), ἄρα εἶναι $AB : \Gamma\Delta = \Gamma E : AZ$· ὅπερ ἔδει δεῖξαι.

10

Λῆμμα εἰς τὸ 29

Δύο ἀριθμῶν δοθέντων καὶ εὐθείας νὰ γίνῃ ὡς ὁ ἀριθμὸς πρὸς τὸν ἀριθμόν, οὕτως τὸ τετράγωνον τῆς εὐθείας πρὸς τὸ τετράγωνον ἄλλης τινός.

Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ Α, Β, εὐθεῖα δὲ ἡ Γ, καὶ ζητεῖται νὰ γίνῃ ἡ ἀνωτέρω κατασκευή. Διότι ἂς γίνῃ ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ἡ εὐθεῖα Γ πρὸς ἄλλην τινὰ τὴν Δ, (θ. 6, πόρ.), καὶ ἂς ληφθῇ τῶν Γ, Δ μέση ἀνάλογος ἡ Ε, (VI. 13). Ἐπειδὴ λοιπὸν εἶναι $A : B = \Gamma : \Delta$, ἀλλὰ $\Gamma : \Delta = \Gamma^2 : E^2$ (V. ὁρ. 9), ἄρα $A : B = \Gamma^2 : E^2$.

11

Λῆμμα εἰς τὸ 31

Ἐὰν ὑπάρχωσι δύο εὐθεῖαι εἰς λόγον τινά, θὰ εἶναι ὡς ἡ εὐθεῖα πρὸς τὴν εὐθεῖαν, οὕτως τὸ ὀρθογώνιον τὸ ἔχον πλευρὰς τὰς δύο πρὸς τὸ τετράγωνον τῆς ἐλαχίστης.

Ἔστωσαν δύο εὐθεῖαι αἱ ΑΒ, ΒΓ εἰς λόγον τινά· λέγω, ὅτι εἶναι $AB : B\Gamma = AB \times B\Gamma : B\Gamma^2$. Διότι ἂς ἀναγραφῇ ἀπὸ τῆς ΒΓ τὸ τετράγωνον αὐτῆς τὸ ΒΔΕΓ καὶ ἂς συμπληρωθῇ τὸ παραλληλόγραμμον ΑΔ. Εἶναι φανερὸν ὅτι $AB : B\Gamma =$ τὸ ΑΔ παραλληλόγραμμον πρὸς τὸ ΒΕ παραλληλόγραμμον (VI. 1). Καὶ εἶναι τὸ μὲν $A\Delta = AB \times B\Gamma$· διότι $B\Gamma = B\Delta$· τὸ δὲ $BE = B\Gamma^2$· ὡς ἄρα $AB : B\Gamma = AB \times B\Gamma : B\Gamma^2$· ὅπερ ἔδει δεῖξαι.

12

Λῆμμα εἰς τὸ 32

Ἐὰν ὑπάρχωσι τρεῖς εὐθεῖαι εἰς λόγον τινά, θὰ εἶναι ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ὀρθογώνιον τὸ ἔχον πλευρὰς τὴν πρώτην καὶ τὴν μέσην πρὸς τὸ ὀρθογώνιον τὸ ἔχον πλευρὰς τὴν μέσην καὶ τὴν ἐλαχίστην.

Ἔστωσαν τρεῖς εὐθεῖαι εἰς λόγον τινὰ αἱ ΑΒ, ΒΓ, ΓΔ· λέγω, ὅτι εἶναι $AB : \Gamma\Delta = AB \times B\Gamma : B\Gamma \times \Gamma\Delta$.

Ἤχθω γὰρ ἀπὸ τοῦ Α σημείου τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΑΕ, καὶ κείσθω τῇ ΒΓ ἴση ἡ ΑΕ, καὶ διὰ τοῦ Ε σημείου τῇ ΑΔ εὐθείᾳ παράλληλος ἤχθω ἡ ΕΚ, διὰ δὲ τῶν Β, Γ, Δ σημείων τῇ ΑΕ παράλληλοι ἤχθωσαν αἱ ΖΒ, ΓΘ, ΔΚ.



καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὸ ΑΖ παραλληλόγραμμον πρὸς τὸ ΒΘ παραλληλόγραμμον, ὡς δὲ ἡ ΒΓ πρὸς τὴν ΓΔ, οὕτως τὸ ΒΘ πρὸς τὸ ΓΚ, δι' ἴσου ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ, οὕτως τὸ ΑΖ παραλληλόγραμμον πρὸς τὸ ΓΚ παραλληλόγραμμον. καί ἐστι τὸ μὲν ΑΖ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ· ἴση γὰρ ἡ ΑΕ τῇ ΒΓ· τὸ δὲ ΓΚ τὸ ὑπὸ τῶν ΒΓ, ΓΔ· ἴση γὰρ ἡ ΒΓ τῇ ΓΘ.

Ἐὰν ἄρα τρεῖς ὦσιν εὐθεῖαι ἐν λόγῳ τινί, ἔσται ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ὑπὸ τῆς πρώτης καὶ μέσης πρὸς τὸ ὑπὸ τῆς μέσης καὶ τρίτης· ὅπερ ἔδει δεῖξαι.

13

Εἰς τὸ λῆμμα τοῦ 32

Ἢ καὶ ὅτι, ἐὰν ἀναγράψωμεν τὸ ΕΓ ὀρθογώνιον παραλληλόγραμμον καὶ συμπληρώσωμεν τὸ ΑΖ, ἴσον ἔσται τὸ ΕΓ τῷ ΑΖ· ἑκάτερον γὰρ αὐτῶν διπλάσιόν ἐστι τοῦ ΑΒΓ τριγώνου. καί ἐστι τὸ μὲν ΕΓ τὸ ὑπὸ τῶν ΒΓ, ΑΔ, τὸ δὲ ΑΖ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ. τὸ ἄρα ὑπὸ τῶν ΒΓ, ΑΔ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΑ, ΑΓ.

14

Λῆμμα εἰς τὸ 33

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἄνισα, ἔσται ὡς ἡ εὐθεῖα πρὸς τὴν εὐθεῖαν, οὕτως τὸ ὑπὸ τῆς ὅλης καὶ τῆς μείζονος πρὸς τὸ ὑπὸ τῆς ὅλης καὶ τῆς ἐλάττονος.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω εἰς ἄνισα κατὰ τὸ Ε· λέγω, ὅτι ὡς ἡ ΑΕ πρὸς τὴν ΕΒ, οὕτως τὸ ὑπὸ τῶν ΒΑ, ΑΕ πρὸς τὸ ὑπὸ τῶν ΑΒ, ΒΕ.



Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΓΔΒ, καὶ διὰ τοῦ Ε σημείου ὁποτέρᾳ τῶν ΑΓ, ΒΔ παράλληλος ἤχθω ἡ ΕΖ. φανερὸν οὖν, ὅτι ὡς ἡ ΑΕ πρὸς τὴν ΕΒ, οὕτως τὸ ΑΖ παραλληλόγραμμον πρὸς τὸ ΖΒ παραλληλόγραμμον. καί ἐστι τὸ μὲν ΑΖ τὸ ὑπὸ τῶν ΒΑ, ΑΕ· ἴση γὰρ ἡ ΑΓ τῇ ΑΒ· τὸ δὲ ΖΒ τὸ ὑπὸ τῶν ΑΒ, ΒΕ· ἴση γὰρ ἡ ΒΔ τῇ ΑΒ. ὡς ἄρα ἡ ΑΕ πρὸς τὴν ΕΒ, οὕτως τὸ ὑπὸ τῶν ΒΑ, ΑΕ πρὸς τὸ ὑπὸ τῶν ΑΒ, ΒΕ· ὅπερ ἔδει δεῖξαι.

Διότι ἂς ἀχθῇ ἀπὸ τοῦ σημείου Α κάθετος ἐπὶ τὴν ΑΒ ἡ ΑΕ, καὶ ἂς ληφθῇ ΑΕ=ΒΓ καὶ διὰ τοῦ σημείου Ε ἂς ἀχθῇ παράλληλος πρὸς τὴν εὐθεῖαν ΑΔ ἡ ΕΚ, διὰ δὲ τῶν σημείων Β, Γ, Δ ἂς ἀχθῶσι παράλληλοι πρὸς τὴν ΑΕ αἱ ΖΒ, ΓΘ, ΔΚ. Καὶ ἐπειδὴ εἶναι ὡς ΑΒ : ΒΓ = ΑΖ : ΒΘ, (VI. 1), ὡς δὲ ΒΓ : ΓΔ= ΒΘ : ΓΚ, (VI. 1), δι' ἴσου ἄρα εἶναι ΑΒ : ΓΔ = ΑΖ : ΓΚ, (V. 22). Καὶ εἶναι τὸ μὲν ΑΖ = ΑΒ × ΒΓ· διότι ΑΕ = ΒΓ· τὸ δὲ ΓΚ = ΒΓ × ΓΔ· διότι ΒΓ = ΓΘ.

Ἐὰν ἄρα ὑπάρχωσι τρεῖς εὐθεῖαι εἰς λόγον τινά, θὰ εἶναι ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῆς πρώτης καὶ μέσης πρὸς τὸ ὀρθ. τὸ περιεχόμενον ὑπὸ τῆς πρώτης καὶ τρίτης· ὅπερ ἔδει δεῖξαι.

13

Εἰς τὸ λῆμμα τοῦ 32

Ἢ καὶ ὅτι, ἐὰν ἀναγράψωμεν τὸ ὀρθογώνιον παραλληλόγραμμον τὸ ΕΓ καὶ συμπληρώσωμεν τὸ ΑΖ, θὰ εἶναι ἴσον τὸ ΕΓ πρὸς τὸ ΑΖ· διότι ἕκαστον αὐτῶν εἶναι διπλάσιον τοῦ τριγώνου ΑΒΓ, (I. 41). Καὶ εἶναι τὸ μὲν ΕΓ = ΒΓ × ΑΔ, τὸ δὲ ΑΖ = ΒΑ × ΑΓ. Ἄρα τὸ ΒΓ × ΑΔ = ΒΑ × ΑΓ.

14

Λῆμμα εἰς τὸ 33

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἄνισα, θὰ εἶναι ὡς ἡ εὐθεῖα πρὸς τὴν εὐθεῖαν οὕτως τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῆς ὅλης καὶ τῆς μεγαλυτέρας πρὸς τὸ ὑπὸ τῆς ὅλης καὶ τῆς μικροτέρας.

Διότι εὐθεῖά τις ἡ ΑΒ ἂς τμηθῇ εἰς ἄνισα κατὰ τὸ Ε· λέγω, ὅτι ΑΕ : ΕΒ= ΒΑ × ΑΕ : ΑΒ × ΒΕ.

Διότι ἂς ἀναγραφῇ ἀπὸ τῆς ΑΒ τὸ τετράγωνον αὐτῆς τὸ ΑΓΔΒ, καὶ διὰ τοῦ σημείου Ε ἂς ἀχθῇ παράλληλος πρὸς μίαν τῶν ΑΓ, ΒΔ ἡ ΕΖ. Εἶναι φανερὸν λοιπὸν ὅτι εἶναι ΑΕ : ΕΒ = ΑΖ : ΖΒ, (VI. 1). Καὶ εἶναι τὸ μὲν ΑΖ = ΒΑ × ΑΕ· διότι ΑΓ = ΑΒ· τὸ δὲ ΖΒ = ΑΒ × ΒΕ· διότι ΒΔ = ΑΒ. Ὡς ἄρα ΑΕ : ΕΒ= ΒΑ × ΑΕ : ΑΒ × ΒΕ· ὅπερ ἔδει δεῖξαι.

15

Λῆμμα εἰς τὸ 34

Ἐὰν ὦσι δύο εὐθεῖαι ἄνισοι, τμηθῇ δὲ ἡ ἐλαχίστη αὐτῶν εἰς ἴσα, τὸ ὑπὸ τῶν δύο εὐθειῶν διπλάσιον ἔσται τοῦ τῆς μείζονος καὶ τῆς ἡμισείας τῆς ἐλαχίστης.

Ἔστωσαν δύο εὐθεῖαι ἄνισοι αἱ ΑΒ, ΒΓ, ὧν μείζων ἔστω ἡ ΑΒ, καὶ τετμήσθω ἡ ΒΓ δίχα κατὰ τὸ Δ· λέγω, ὅτι τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ διπλάσιόν ἐστι τοῦ ὑπὸ τῶν ΑΒ, ΒΔ.



Ἤχθω γὰρ ἀπὸ τοῦ Β σημείου τῇ ΒΓ πρὸς ὀρθὰς ἡ ΒΕ, καὶ κείσθω τῇ ΒΑ ἴση ἡ ΒΕ, καὶ καταγεγράφθω τὸ σχῆμα. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΔΒ πρὸς τὴν ΔΓ, οὕτως τὸ ΒΖ πρὸς τὸ ΔΗ, συνθέντι ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΔΓ, οὕτως τὸ ΒΗ πρὸς τὸ ΔΗ· διπλασίων δέ ἐστιν ἡ ΒΓ τῆς ΔΓ· διπλάσιον ἄρα ἐστὶ καὶ τὸ ΒΗ τοῦ ΔΗ. καί ἐστι τὸ μὲν ΒΗ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ· ἴση γὰρ ἡ ΑΒ τῇ ΒΕ· τὸ δὲ ΔΗ τὸ ὑπὸ τῶν ΑΒ, ΒΔ· ἴση γὰρ τῇ μὲν ΒΔ ἡ ΔΓ, τῇ δὲ ΑΒ ἡ ΔΖ· ὅπερ ἔδει δεῖξαι.

16

Εἰς τὸ 36

Ἐκάλεσε δὲ αὐτὴν ἐκ δύο ὀνομάτων *διὰ τὸ ἐκ δύο ῥητῶν αὐτὴν συγκεῖσθαι κύριον ὄνομα καλῶν τὸ ῥητόν, καθ' ὃ ῥητόν.*

17

Εἰς τὸ 37

Ἐκάλεσε δὲ αὐτὴν ἐκ δύο μέσων πρώτην διὰ τὸ ῥητὸν περιέχειν καὶ προτερεῖν τὸ ῥητόν.

18

Εἰς τὸ 38

Ἐκάλεσε δὲ αὐτὴν ἐκ δύο μέσων δευτέραν διὰ τὸ μέσον περιέχειν τὸ ὑπ' αὐτῶν καὶ μὴ ῥητόν, δευτερεύειν δὲ τὸ μέσον τοῦ ῥητοῦ. ὅτι δὲ τὸ ὑπὸ ῥητῆς καὶ ἀλόγου περιεχόμενον ἄλογόν ἐστιν, δῆλον. εἰ γὰρ ἔσται ῥητὸν καὶ παραβέβληται παρὰ ῥητήν, εἴη ἂν καὶ ἡ ἑτέρα αὐτοῦ πλευρὰ ῥητή. ἀλλὰ καὶ ἄλογος· ὅπερ ἄτοπον. τὸ ἄρα ὑπὸ ῥητῆς καὶ ἀλόγου ἄλογόν ἐστιν.

15

Λῆμμα εἰς τὸ 34

Ἐὰν ὑπάρχωσι δύο εὐθεῖαι ἄνισοι, τμηθῇ δὲ ἡ ἐλαχίστη αὐτῶν εἰς ἴσα, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν δύο εὐθειῶν θὰ εἶναι διπλάσιον τοῦ περιεχομένου ὑπὸ τῆς μεγαλυτέρας καὶ τῆς ἡμισείας τῆς ἐλαχίστης.

Ἔστωσαν δύο εὐθεῖαι ἄνισοι αἱ ΑΒ, ΒΓ, τῶν ὁποίων μεγαλυτέρα ἔστω ἡ ΑΒ, καὶ ἂς τμηθῇ ἡ ΒΓ εἰς τὸ μέσον κατὰ τὸ Δ· λέγω, ὅτι $ΑΒ \times ΒΓ = 2ΑΒ \times ΒΔ$.

Διότι ἂς ἀχθῇ ἀπὸ τοῦ σημείου Β κάθετος ἐπὶ τὴν ΒΓ ἡ ΒΕ, καὶ ἂς ληφθῇ $ΒΕ = ΒΑ$ καὶ ἂς καταγραφῇ τὸ σχῆμα. Ἐπειδὴ λοιπὸν εἶναι $ΔΒ : ΔΓ = ΒΖ : ΔΗ$, (VI. 1), διὰ συνθέσεως, (V. 18) ἄρα εἶναι $ΒΓ : ΔΓ = ΒΗ : ΔΗ$· Εἶναι δὲ $ΒΓ = 2ΔΓ$· ἄρα $ΒΗ = 2ΔΗ$. Καὶ εἶναι τὸ μὲν $ΒΗ = ΑΒ \times ΒΓ$· διότι $ΑΒ = ΒΕ$· τὸ δὲ $ΔΗ = ΑΒ \times ΒΔ$· διότι $ΒΔ = ΔΓ$ καὶ $ΑΒ = ΔΖ$· ὅπερ ἔδει δεῖξαι.

16

Εἰς τὸ 36

Ἐκάλεσε δὲ αὐτὴν δυώνυμον, διότι ἀποτελεῖται ἐκ δύο ῥητῶν, καλῶν κύριον ὄνομα (μονώνυμον) τὸ ῥητόν, καθ' ὃ ῥητόν.

17

Εἰς τὸ 37

Ἐκάλεσε δὲ αὐτὴν ἐκ δύο μέσων πρώτην, διότι περιέχει ῥητὸν καὶ προηγεῖται τὸ ῥητόν.

18

Εἰς τὸ 38

Ἐκάλεσε δὲ αὐτὴν ἐκ δύο μέσων δευτέραν, διότι τὸ περιεχόμενον ὑπ' αὐτῶν εἶναι μέσον καὶ οὐχὶ ῥητόν, ἕπεται δὲ τὸ μέσον τοῦ ῥητοῦ. Ὅτι δὲ τὸ περιεχόμενον ὑπὸ ῥητῆς καὶ ἀλόγου εἶναι ἄλογον, εἶναι φανερόν. Διότι ἐὰν θὰ εἶναι ῥητὸν καὶ ἔχῃ παραβληθῇ παρὰ ῥητήν, θὰ εἶναι καὶ ἡ ἄλλη πλευρὰ αὐτοῦ ῥητὴ (θ. 22). Ἀλλὰ εἶναι καὶ ἄλογος· ὅπερ ἄτοπον. Ἄρα τὸ ὑπὸ ῥητῆς καὶ ἀλόγου περιεχόμενον ὀρθογώνιον εἶναι ἄλογον.

19

Εἰς τὸ 39

Ἐκάλεσε δὲ αὐτὴν μείζονα διὰ τὸ τὰ ἀπὸ τῶν ΑΒ ,ΒΓ ῥητὰ μείζονα εἶναι τοῦ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ μέσου, καὶ δέον εἶναι ἀπὸ τῆς τῶν ῥητῶν οἰκειότητος τὴν ὀνομασίαν τάττεσθαι. ὅτι δὲ μείζονά ἐστι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τοῦ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ, οὕτως δεικτέον.



Φανερὸν μὲν οὖν, ὅτι ἄνισοί εἰσιν αἱ ΑΒ, ΒΓ· εἰ γὰρ ἦσαν ἴσαι, ἴσα ἂν ἦν καὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ, καὶ ἦν ἂν καὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ῥητόν· ὅπερ οὐχ ὑπόκειται· ἄνισοι ἄρα εἰσὶν αἱ ΑΒ, ΒΓ. ὑποκείσθω μείζων ἡ ΑΒ, καὶ κείσθω τῇ ΒΓ ἴση ἡ ΒΔ· τὰ ἄρα ἀπὸ τῶν ΑΒ, ΒΔ ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΑΒ, ΒΔ καὶ τῷ ἀπὸ τῆς ΔΑ. ἴση δὲ ἡ ΔΒ τῇ ΒΓ· τὰ ἄρα ἀπὸ τῶν ΑΒ, ΒΓ ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ καὶ τῷ ἀπὸ τῆς ΑΔ· ὥστε τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ μείζονα εἶναι τοῦ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ τῷ ἀπὸ ΔΑ.

20

Εἰς τὸ 40

Ῥητὸν δὲ καὶ μέσον δυναμένη καλεῖται αὕτη διὰ τὸ δύνασθαι δύο χωρία, τὸ μὲν ῥητόν, τὸ δὲ μέσον· καὶ διὰ τὴν τοῦ ῥητοῦ προύπαρξιν πρῶτον ἐκάλεσεν.

21

Εἰς τὸ 41

Καλεῖ δὲ αὐτὴν δύο μέσα δυναμένην διὰ τὸ δύνασθαι αὐτὴν δύο μέσα χωρία τό τε συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΒ, ΒΓ καὶ τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ.

22

Εἰς τοὺς δευτέρους ὁρισμοὺς

Ἐξ οὖν οὐσῶν τῶν οὕτως καταλαμβανομένων εὐθειῶν τάττει πρώτας τῇ τάξει τρεῖς, ἐφ᾽ ὧν ἡ μείζων τῆς ἐλάσσονος μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, δευτέρας δὲ τῇ τάξει τὰς λοιπὰς τρεῖς, ἐφ᾽ ὧν τῷ ἀπὸ ἀσυμμέτρου, διὰ τὸ προτερεῖν τὸ σύμμετρον τοῦ ἀσυμμέτρου· καὶ ἔτι πρώτην μέν, ἐφ᾽ ἧς τὸ μεῖζον ὄνομα σύμμετρόν ἐστι τῇ ἐκκειμένῃ ῥητῇ, δευτέραν δέ, ἐφ᾽ ἧς τὸ ἔλασσον, διὰ τὸ πάλιν προτερεῖν τὸ μεῖζον τοῦ ἐλάσσονος τῷ ἐμπεριέχειν τὸ ἔλασσον, τρίτην δέ, ἐφ᾽ ὧν μηδέτερον τῶν ὀνομάτων σύμμετρόν ἐστι

19

Εἰς τὸ 39

Ἐκάλεσε δὲ αὐτὴν μείζονα, διότι τὸ ῥητὸν ἄθροισμα $AB^2+B\Gamma^2$ εἶναι μεγαλύτερον τοῦ $2AB\times B\Gamma$, καὶ δέον ἡ ὀνομασία νὰ τίθεται ἐκ τῆς τοιαύτης τῶν ῥητῶν. Ὅτι δὲ $AB^2+B\Gamma^2 > 2AB\times B\Gamma$, ἀποδεικνύεται ὡς ἑξῆς.

Εἶναι λοιπὸν φανερόν, ὅτι αἱ AB, $B\Gamma$ εἶναι ἄνισοι. Διότι ἐὰν ἦσαν ἴσαι θὰ ἦτο $AB^2+B\Gamma^2=2AB\times B\Gamma$, καὶ θὰ ἦτο τὸ ὀρθογώνιον $AB\times B\Gamma$ ῥητόν· ὅπερ ἀντιβαίνει εἰς τὴν ὑπόθεσιν· ἄρα αἱ AB, $B\Gamma$ εἶναι ἄνισοι. Ἔστω μεγαλυτέρα ἡ AB καὶ ἂς ληφθῇ $B\Delta=B\Gamma$· ἄρα εἶναι $AB^2+B\Delta^2=2AB\times B\Delta+\Delta A^2$, (II. 7). Εἶναι δὲ $\Delta B=B\Gamma$· ἄρα $AB^2+B\Gamma^2=2AB\times B\Gamma+A\Delta^2$· ὥστε τὸ $AB^2+B\Gamma^2$ ὑπερέχει τοῦ $2AB\times B\Gamma$ κατὰ τὸ ΔA^2.

20

Εἰς τὸ 40

Ῥητὸν δὲ καὶ μέσον δυναμένη καλεῖται αὕτη, διότι τὸ τετράγωνον αὐτῆς εἶναι ἰσοδύναμον πρὸς δύο χωρία, τοῦ ἑνὸς μὲν ῥητοῦ, τοῦ ἄλλου δὲ μέσου· καὶ διὰ τὴν προήγησιν τοῦ ῥητοῦ τὸ ἐκάλεσε πρῶτον ῥητόν.

21

Εἰς τὸ 41

Καλεῖ δὲ αὐτὴν δύο μέσα δυναμένην, διότι τὸ τετράγωνον αὐτῆς εἶναι ἰσοδύναμον πρὸς δύο μέσα χωρία, καὶ πρὸς τὸ $AB^2+B\Gamma^2$ καὶ πρὸς τὸ $2AB\times B\Gamma$.

22

Εἰς τοὺς δευτέρους ὁρισμοὺς

Ἐν ᾧ λοιπὸν ὑπάρχουσι τοιουτοτρόπως ἓξ εὐθεῖαι, κατατάσσει ὡς πρώτας κατὰ τὴν τάξιν τρεῖς, ἐπὶ τῶν ὁποίων τὸ τετράγωνον τῆς μεγαλυτέρας ὑπερέχει τοῦ τετραγώνου τῆς μικροτέρας κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτὴν (τὴν μεγαλ.), ὡς δευτέρας δὲ κατὰ τὴν τάξιν τὰς λοιπὰς τρεῖς, ἐπὶ τῶν ὁποίων τὸ τετράγωνον τῆς μεγαλυτέρας ὑπερέχει τοῦ τετραγώνου τῆς μικροτέρας κατὰ τετράγωνον πλευρᾶς ἀσυμμέτρου πρὸς αὐτὴν (τὴν μεγαλ.), διότι προηγεῖται τὸ σύμμετρον τοῦ ἀσυμμέτρου· καὶ πρὸς τούτοις καλεῖ πρώτην μὲν (δυώνυμον) ἐκείνην ἐπὶ τῆς ὁποίας τὸ μεγαλύτερον μονώνυμον εἶναι σύμμετρον πρὸς τὴν ληφθεῖσαν ῥητήν, δευτέραν δὲ (δυώνυμον), ἐκείνην ἐπὶ τῆς ὁποίας τὸ μικρότερον μονώνυμον εἶναι σύμμετρον πρὸς τὴν ληφθεῖσαν ῥητήν, διότι πάλιν τὸ μεγαλύτερον προηγεῖται τοῦ μικροτέρου, καθότι τοῦτο περιέχει τὸ μικρότερον, τρίτην δὲ (δυώνυμον), ἐκείνην ἐπὶ τῆς ὁποίας οὐδὲν ἐκ τῶν δύο *τῇ ἐκκειμένῃ ῥητῇ. καὶ ἐπὶ τῶν ἑξῆς τριῶν ὁμοίως τὴν πρώτην τῆς εἰρημένης δευτέρας τάξεως τετάρτην καλῶν καὶ τὴν δευτέραν πέμπτην καὶ τὴν τρίτην ἕκτην.*

23

Εἰς τὸ 90

Ἔστι δὲ καὶ συντομώτερον δεῖξαι τὴν εὕρεσιν τῶν εἰρημένων ἓξ ἀποτομῶν. καὶ δὴ ἔστω εὑρεῖν τὴν πρώτην. ἐκκείσθω ἡ ἐκ δύο ὀνομάτων πρώτη ἡ ΑΓ, ἧς μεῖζον ὄνομα ἡ ΑΒ, καὶ τῇ ΒΓ ἴση κείσθω ἡ ΒΔ. αἱ ΑΒ, ΒΓ ἄρα, τουτέστιν αἱ ΑΒ, ΒΔ, ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, καὶ ἡ ΑΒ τῆς ΒΓ, τουτέστι τῆς ΒΔ, μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ ΑΒ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ μήκει· ἀποτομὴ ἄρα πρώτη ἐστὶν ἡ ΑΔ. ὁμοίως δὴ καὶ τὰς λοιπὰς ἀποτομὰς εὑρήσομεν ἐκθέμενοι τὰς ἰσαρίθμους ἐκ δύο ὀνομάτων· ὅπερ ἔδει δεῖξαι.

24

Εἰς τὸ 115

Ἄλλως

Ἔστω μέση ἡ ΑΓ· λέγω, ὅτι ἀπὸ τῆς ΑΓ ἄπειροι ἄλογοι γίγνονται, καὶ οὐδεμία οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή.

Ἤχθω τῇ ΑΓ πρὸς ὀρθὰς ἡ ΑΒ, καὶ ἔστω ῥητὴ ἡ ΑΒ, καὶ συμπεπληρώσθω τὸ ΒΓ· ἄλογον ἄρα ἐστὶ τὸ ΒΓ, καὶ ἡ δυναμένη αὐτὸ ἄλογός ἐστιν. δυνάσθω αὐτὸ ἡ ΓΔ· ἄλογος ἄρα ἐστὶν ἡ ΓΔ. καὶ οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή· τὸ γὰρ ἀπ' οὐδεμιᾶς τῶν πρότερον παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ μέσην. πάλιν συμπεπληρώσθω τὸ ΕΔ· ἄλογον ἄρα ἐστὶ τὸ ΕΔ, καὶ ἡ δυναμένη αὐτὸ ἄλογός ἐστιν. δυνάσθω αὐτὸ ἡ ΔΖ· ἄλογος ἄρα ἐστὶν ἡ ΔΖ. καὶ οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή· τὸ γὰρ ἀπ' οὐδεμιᾶς τῶν πρότερον παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ΓΔ.



Ἀπὸ μέσης ἄρα ἄπειροι ἄλογοι γίνονται, καὶ οὐδεμία οὐδεμιᾷ τῶν πρότερον ἡ αὐτή ἐστιν· ὅπερ ἔδει δεῖξαι.

25

Ἡ τῇ ἐλάσσονι σύμμετρος ἐλάσσων ἐστὶν

Ἔστω ἐλάσσων ἡ Α, καὶ τῇ Α σύμμετρος [ἔστω] ἡ Β· λέγω, ὅτι ἡ Β ἐλάσσων ἐστίν.

μονωνύμων εἶναι σύμμετρον πρὸς τὴν ληφθεῖσαν ῥητήν. Καὶ ἐπὶ τῶν ἄλλων ἐν συνεχείᾳ τριῶν ὁμοίως, καλῶν τὴν πρώτην τῆς εἰρημένης δευτέρας τάξεως τετάρτην (δυώνυμον) καὶ τὴν δευτέραν πέμπτην καὶ τὴν τρίτην ἕκτην.

23

Εἰς τὸ 90

Δύναται δὲ νὰ δειχθῇ καὶ συντομώτερον ἡ εὕρεσις τῶν εἰρημένων ἐξ ἀποτομῶν. Καὶ ἔστω ὅτι ζητεῖται νὰ εὑρεθῇ ἡ πρώτη ἀποτομή. Ἂς ληφθῇ ἡ πρώτη δυώνυμος ἡ ΑΓ, τῆς ὁποίας μεγαλύτερον μονώνυμον ἔστω ἡ ΑΒ, καὶ ἂς ληφθῇ ΒΔ = ΒΓ. Ἄρα αἱ ΑΒ, ΒΓ, τουτέστιν αἱ ΑΒ, ΒΔ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι, καὶ τὸ $ΑΒ^2$ ὑπερέχει τοῦ $ΒΓ^2$, τουτέστι τοῦ $ΒΔ^2$ κατὰ τετράγωνον πλευρᾶς συμμέτρου πρὸς αὐτήν, (τὴν ΒΓ), καὶ ἡ ΑΒ εἶναι σύμμετρος μήκει πρὸς τὴν ληφθεῖσαν ῥητήν, (ὁριστ. δεύτ. 1)· ἄρα ἡ ΑΔ εἶναι πρώτη ἀποτομή. Καθ' ὅμοιον τρόπον θὰ εὕρωμεν καὶ τὰς ἄλλας ἀποτομάς, λαμβάνοντες τὰς ἰσαρίθμους δυωνύμους· ὅπερ ἔδει δεῖξαι.

24

Ἄλλως τὸ 115

Ἔστω μέση ἡ ΑΓ· λέγω, ὅτι ἀπὸ τῆς ΑΓ γίνονται ἄπειροι ἄλογοι, καὶ οὐδεμία πρὸς οὐδεμίαν τῶν προηγουμένων εἶναι ἡ αὐτή.

Διότι ἂς ἀχθῇ ἡ ΑΒ κάθετος ἐπὶ τὴν ΑΓ, καὶ ἔστω ῥητὴ ἡ ΑΒ, καὶ ἂς συμπληρωθῇ τὸ ΒΓ· ἄρα τὸ ΒΓ εἶναι ἄλογον, (θ. 20) καὶ ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς αὐτὸ εἶναι ἄλογος. Ἔστω $ΓΔ^2 = ΒΓ$· ἄρα ἡ ΓΔ εἶναι ἄλογος καὶ πρὸς οὐδεμίαν τῶν προηγουμένων εἶναι ἡ αὐτή· διότι τὸ τετράγωνον οὐδεμιᾶς τῶν προηγουμένων παραβαλλόμενον παρὰ ῥητὴν (ὡς ὀρθογώνιον) σχηματίζει πλάτος μέσην. Πάλιν, ἂς συμπληρωθῇ τὸ ΕΔ· ἄρα τὸ ΕΔ εἶναι ἄλογον (θ. 20), καὶ ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον μὲ αὐτὸ εἶναι ἄλογος. Ἔστω $ΔΖ^2 = ΕΔ$· ἄρα ἡ ΔΖ εἶναι ἄλογος. Καὶ πρὸς οὐδεμίαν τῶν προηγουμένων ἡ αὐτή· διότι τὸ τετράγωνον οὐδεμιᾶς τῶν προηγουμένων παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος τὴν ΓΔ.

Ἀπὸ μέσης ἄρα γίνονται ἄπειροι ἄλογοι, καὶ οὐδεμία πρὸς οὐδεμίαν τῶν προηγουμένων εἶναι ἡ αὐτή· ὅπερ ἔδει δεῖξαι.

25

Ἄλλως τὸ 105

Ἡ σύμμετρος πρὸς τὴν ἐλάσσονα εἶναι ἐλάσσων

Ἔστω ἐλάσσων ἡ Α, καὶ πρὸς τὴν Α ἔστω σύμμετρος ἡ Β· λέγω, ὅτι ἡ Β εἶναι ἐλάσσων.

Κείσθω ῥητὴ ἡ ΓΔ καὶ τῷ ἀπὸ τῆς Α ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΓΖ· ἀποτομὴ ἄρα ἐστὶ τετάρτη ἡ ΓΖ. τῷ δὲ ἀπὸ τῆς Β ἴσον παρὰ τὴν ΖΕ παραβεβλήσθω τὸ ΖΗ πλάτος ποιοῦν τὴν ΖΘ. ἐπεὶ οὖν σύμμετρός ἐστιν ἡ Α τῇ Β, σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς Α τῷ ἀπὸ τῆς Β. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς Α ἴσον ἐστὶ τὸ ΓΕ, τῷ δὲ ἀπὸ τῆς Β ἴσον ἐστὶ τὸ ΖΗ· σύμμετρον ἄρα ἐστὶ τὸ ΓΕ τῷ ΖΗ. ὡς δὲ τὸ ΓΕ πρὸς τὸ ΖΗ, οὕτως ἐστὶν ἡ ΓΖ πρὸς τὴν ΖΘ· σύμμετρος ἄρα ἐστὶ ἡ ΓΖ τῇ ΖΘ μήκει. ἀποτομὴ δέ ἐστι τετάρτη ἡ ΓΖ· ἀποτομὴ ἄρα ἐστὶ καὶ ἡ ΖΘ τετάρτη· τὸ ΗΖ ἄρα περιέχεται ὑπὸ ῥητῆς τῆς ΖΕ καὶ ἀποτομῆς τετάρτης τῆς ΖΘ. ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς τετάρτης, ἡ τὸ χωρίον δυναμένη ἐλάσσων ἐστίν. δύναται δὲ τὸ ΖΗ ἡ Β· ἐλάσσων ἄρα ἐστὶν ἡ Β. ὅπερ ἔδει δεῖξαι.



26

Ἄλλως τὸ 106

Ἡ τῇ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσῃ σύμμετρος μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστιν.

Ἔστω μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα ἡ Α, σύμμετρος δὲ αὐτῇ ἡ Β· λέγω, ὅτι ἡ Β μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστιν.

Ἐκκείσθω ῥητὴ ἡ ΓΔ, καὶ τῷ μὲν ἀπὸ τῆς Α ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΓΖ· ἀποτομὴ ἄρα ἐστὶ πέμπτη ἡ ΓΖ. τῷ δὲ ἀπὸ τῆς Β ἴσον παρὰ τὴν ΖΕ παραβεβλήσθω τὸ ΖΗ πλάτος ποιοῦν τὴν ΖΘ. ἐπεὶ οὖν σύμμετρός ἐστιν ἡ Α τῇ Β, σύμμετρόν ἐστι καὶ τὸ ἀπὸ τῆς Α τῷ ἀπὸ τῆς Β. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς Α ἴσον τὸ ΓΕ, τῷ δὲ ἀπὸ τῆς Β ἴσον τὸ ΖΗ· σύμμετρον ἄρα ἐστὶ τὸ ΓΕ τῷ ΖΗ· σύμμετρος ἄρα καὶ ἡ ΓΖ τῇ ΖΘ μήκει. ἀποτομὴ δὲ πέμπτη ἡ ΓΖ· ἀποτομὴ ἄρα ἐστὶ πέμπτη καὶ ἡ ΖΘ. ῥητὴ δὲ ἡ ΖΕ· ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς πέμπτης, ἡ τὸ χωρίον δυναμένη μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστιν. δύναται δὲ τὸ ΖΗ ἡ Β· ἡ Β ἄρα ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστιν· ὅπερ ἔδει δεῖξαι.



27

Προκείσθω ἡμῖν δεῖξαι, ὅτι ἐπὶ τῶν τετραγώνων σχημάτων ἀσύμμετρός ἐστιν ἡ διάμετρος τῇ πλευρᾷ μήκει.

Ἔστω τετράγωνον τὸ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ· λέγω, ὅτι ἡ ΓΑ ἀσύμμετρός ἐστι τῇ ΑΒ μήκει.

Ἂς ληφθῇ ῥητὴ ἡ ΓΔ καὶ πρὸς τὸ $Α^2$ ἂς παραβληθῇ ἰσοδύναμον ὀρθογώνιον παρὰ τὴν ΓΔ τὸ ΓΕ σχηματίζον πλάτος τὴν ΓΖ· ἄρα ἡ ΓΖ εἶναι τετάρτη ἀποτομή, (θ. 100). Πρὸς δὲ τὸ $Β^2$ ἂς παραβληθῇ ἰσοδύναμον ὀρθογώνιον παρὰ τὴν ΖΕ τὸ ΖΗ σχηματίζον πλάτος τὴν ΖΘ. Ἐπειδὴ λοιπὸν ἡ Α εἶναι σύμμετρος πρὸς τὴν Β, ἄρα καὶ τὸ $Α^2$ εἶναι σύμμετρον πρὸς τὸ $Β^2$. Ἀλλὰ $Α^2 = ΓΕ$, $Β^2 = ΖΗ$· ἄρα τὸ ΓΕ εἶναι σύμμετρον πρὸς τὸ ΖΗ. Ὡς δὲ $ΓΕ : ΖΗ = ΓΖ : ΖΘ$, (VI. 1)· ἄρα ἡ ΓΖ εἶναι μήκει σύμμετρος πρὸς τὴν ΖΘ, (θ. 11). Εἶναι δὲ ἡ ΓΖ τετάρτη ἀποτομή· ἄρα καὶ ἡ ΖΘ εἶναι τετάρτη ἀποτομή, (θ. 103)· ἄρα τὸ ΖΗ περιέχεται ὑπὸ ῥητῆς τῆς ΖΕ καὶ τετάρτης ἀποτομῆς τῆς ΖΘ. Ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τετάρτης ἀποτομῆς, ἡ εὐθεῖα τῆς ὁποίας τὸ τετράγωνον εἶναι ἰσοδύναμον πρὸς τὸ χωρίον εἶναι ἐλάσσων, (θ. 94). Εἶναι δὲ $Β^2 = ΖΗ$· ἄρα ἡ Β εἶναι ἐλάσσων· ὅπερ ἔδει δεῖξαι.

26

Ἡ σύμμετρος πρὸς τὴν σχηματίζουσαν μετὰ ῥητοῦ μέσον τὸ ὅλον εἶναι σχηματίζουσα μετὰ ῥητοῦ μέσον τὸ ὅλον.

κύκλου· ἴση ἄρα καὶ ἡ ΑΒ τῇ ΨΩ. καί ἐστιν ἡ ΑΒ ἡ τῆς δοθείσης σφαίρας διάμετρος· καὶ ἡ ΨΩ ἄρα ἴση ἐστὶ τῇ τῆς δοθείσης σφαίρας διαμέτρῳ. τῇ ἄρα δοθείσῃ σφαίρᾳ περιείληπται τὸ εἰκοσάεδρον.

Λέγω δή, ὅτι ἡ τοῦ εἰκοσαέδρου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἐλάττων. ἐπεὶ γὰρ ῥητή ἐστιν ἡ τῆς σφαίρας διάμετρος, καί ἐστι δυνάμει πενταπλασίων τῆς ἐκ τοῦ κέντρου τοῦ ΕΖΗΘΚ κύκλου, ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ἐκ τοῦ κέντρου τοῦ ΕΖΗΘΚ κύκλου· ὥστε καὶ ἡ διάμετρος αὐτοῦ ῥητή ἐστιν. ἐὰν δὲ εἰς κύκλον ῥητὴν ἔχοντα τὴν διάμετρον πεντάγωνον ἰσόπλευρον ἐγγραφῇ, ἡ τοῦ πενταγώνου πλευρὰ ἄλογός ἐστιν, ἡ καλουμένη ἐλάττων. ἡ δὲ τοῦ ΕΖΗΘΚ πενταγώνου πλευρὰ ἡ τοῦ εἰκοσαέδρου ἐστίν. ἡ ἄρα τοῦ εἰκοσαέδρου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἐλάττων.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἡ τῆς σφαίρας διάμετρος δυνάμει πενταπλασίων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου, ἀφ' οὗ τὸ εἰκοσάεδρον ἀναγέγραπται, καὶ ὅτι ἡ τῆς σφαίρας διάμετρος σύγκειται ἔκ τε τῆς τοῦ ἑξαγώνου καὶ δύο τῶν τοῦ δεκαγώνου τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων· ὅπερ ἔδει δεῖξαι.

ιζ'.

Δωδεκάεδρον συστήσασθαι καὶ σφαίρᾳ περιλαβεῖν, ᾗ καὶ τὰ προειρημένα σχήματα, καὶ δεῖξαι, ὅτι ἡ τοῦ δωδεκαέδρου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή.

Ἐκκείσθωσαν τοῦ προειρημένου κύβου δύο ἐπίπεδα πρὸς ὀρθὰς ἀλλήλοις τὰ ΑΒΓΔ, ΓΒΕΖ, καὶ τετμήσθω ἑκάστη τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΑ, ΕΖ, ΕΒ, ΖΓ πλευρῶν δίχα κατὰ τὰ Η, Θ, Κ, Λ, Μ, Ν, Ξ, καὶ ἐπεζεύχθωσαν αἱ ΗΚ, ΘΛ, ΜΘ, ΝΞ, καὶ τετμήσθω ἑκάστη τῶν ΝΟ, ΟΞ, ΘΠ ἄκρον καὶ μέσον λόγον κατὰ τὰ Ρ, Σ, Τ σημεῖα, καὶ ἔστω αὐτῶν μείζονα τμήματα τὰ ΡΟ, ΟΣ, ΤΠ, καὶ ἀνεστάτωσαν ἀπὸ τῶν Ρ, Σ, Τ σημείων τοῖς τοῦ κύβου ἐπιπέδοις πρὸς ὀρθὰς ἐπὶ τὰ ἐκτὸς μέρη τοῦ κύβου, αἱ ΡΥ, ΣΦ, ΤΧ, καὶ κείσθωσαν ἴσαι ταῖς ΡΟ, ΟΣ, ΤΠ, καὶ ἐπεζεύχθωσαν αἱ ΥΒ, ΒΧ, ΧΓ, ΓΦ, ΦΥ. λέγω, ὅτι τὸ ΥΒΧΓΦ πεντάγωνον ἰσόπλευρόν τε καὶ ἐν ἑνὶ ἐπιπέδῳ καὶ ἔτι ἰσογώνιόν ἐστι. ἐπεζεύχθωσαν γὰρ αἱ ΡΒ, ΣΒ, ΦΒ. καὶ ἐπεὶ εὐθεῖα ἡ ΝΟ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Ρ, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΡΟ, τὰ ἄρα ἀπὸ τῶν ΟΝ, ΝΡ τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΡΟ. ἴση δὲ ἡ μὲν ΟΝ τῇ ΝΒ, ἡ δὲ ΟΡ τῇ ΡΥ. τὰ ἄρα ἀπὸ τῶν ΒΝ, ΝΡ τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΡΥ. τοῖς δὲ ἀπὸ τῶν ΒΝ, ΝΡ τὸ ἀπὸ τῆς ΒΡ ἐστιν ἴσον· τὸ ἄρα ἀπὸ τῆς ΒΡ τριπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΡΥ· ὥστε τὰ ἀπὸ τῶν ΒΡ, ΡΥ τετραπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΡΥ. τοῖς δὲ ἀπὸ τῶν

Λέγω τώρα, ὅτι ἡ πλευρὰ τοῦ εἰκοσαέδρου εἶναι ἄρρητος ἡ καλουμένη ἐλάσσων (X. 76). Διότι, ἐπειδὴ ἡ διάμετρος τῆς σφαίρας εἶναι ῥητή, καὶ τὸ τετράγωνον αὐτῆς εἶναι ἰσοδύναμον πρὸς τὸ πενταπλάσιον τετράγωνον τῆς ἀκτῖνος τοῦ κύκλου ΕΖΗΘΚ, εἶναι ἄρα ῥητὴ καὶ ἡ ἀκτὶς τοῦ κύκλου ΕΖΗΘΚ· ὥστε καὶ ἡ διάμετρος αὐτοῦ εἶναι ῥητή. Ἐὰν δὲ εἰς κύκλον ἔχοντα τὴν διάμετρον ῥητὴν ἐγγραφῇ πεντάγωνον ἰσόπλευρον, ἡ πλευρὰ τοῦ πενταγώνου εἶναι ἄρρητος ἡ καλουμένη ἐλάσσων (Ο. 11). Ἡ πλευρὰ δὲ τοῦ πενταγώνου ΕΖΗΘΚ εἶναι ἡ πλευρὰ τοῦ εἰκοσαέδρου. Ἡ πλευρὰ ἄρα τοῦ εἰκοσαέδρου εἶναι ἄρρητος ἡ καλουμένη ἐλάσσων.

Πόρισμα.

Ὅθεν ἐκ τούτου εἶναι φανερόν, ὅτι τὸ τετράγωνον τῆς διαμέτρου τῆς σφαίρας εἶναι ἰσοδύναμον πρὸς τὸ πενταπλάσιον τετράγωνον τῆς ἀκτῖνος τοῦ κύκλου, ἀπὸ τοῦ ὁποίου ἔχει ἀναγραφῇ τὸ εἰκοσάεδρον, καὶ ὅτι ἡ διάμετρος τῆς σφαίρας σύγκειται ἐκ τῆς πλευρᾶς τοῦ ἑξαγώνου καὶ δύο πλευρῶν τοῦ δεκαγώνου, τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων. Ὅπερ ἔδει δεῖξαι.

17.

Νὰ κατασκευασθῇ δωδεκάεδρον καὶ νὰ περιληφθῇ ὑπὸ σφαίρας, ὡς καὶ τὰ προειρημένα σχήματα, καὶ νὰ δειχθῇ, ὅτι ἡ πλευρὰ τοῦ δωδεκαέδρου εἶναι ἄρρητος ἡ καλουμένη ἀποτομή.

Ἂς ληφθῶσι τοῦ προειρημένου κύβου (Ο. 15) δύο ἐπίπεδα κάθετα πρὸς ἄλληλα τὰ ΑΒΓΔ, ΓΒΕΖ, καὶ ἂς τμηθῇ ἑκάστη τῶν πλευρῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΑ, ΕΖ, ΕΒ, ΖΓ δίχα κατὰ τὰ Η, Θ, Κ, Λ, Μ, Ν, Ξ, καὶ ἂς ἀχθῶσιν αἱ ΗΚ, ΘΛ, ΜΘ, ΝΞ, καὶ ἂς τμηθῇ ἑκάστη τῶν ΝΟ, ΟΞ, ΘΠ εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὰ σημεῖα Ρ, Σ, Τ, καὶ ἔστω μεγαλύτερα τμήματα αὐτῶν τὰ ΡΟ, ΟΣ, ΤΠ, καὶ ἂς ἀνυψωθῶσιν ἀπὸ τῶν σημείων Ρ, Σ, Τ κάθετοι ἐπὶ τὰ ἐπίπεδα τοῦ κύβου ἐπὶ τὰ ἐκτὸς μέρη τοῦ κύβου αἱ ΡΥ, ΣΦ, ΤΧ, καὶ ἂς ληφθῶσιν ἴσαι πρὸς τὰς ΡΟ, ΟΣ, ΤΠ, καὶ ἂς ἀχθῶσιν αἱ ΥΒ, ΒΧ, ΧΓ, ΓΦ, ΦΥ. Λέγω, ὅτι τὸ πεντάγωνον ΥΒΧΓΦ εἶναι ἰσόπλευρον καὶ εἰς ἓν ἐπίπεδον καὶ ἀκόμη ὅτι εἶναι ἰσογώνιον. Διότι ἂς ἀχθῶσιν αἱ ΡΒ, ΣΒ, ΦΒ. Καὶ ἐπειδὴ ἡ εὐθεῖα ΝΟ τέμνεται εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Ρ, καὶ τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΡΟ, εἶναι ἄρα τὰ τετράγωνα $ΟΝ^2 + ΝΡ^2 = 3ΡΟ^2$ (Ο. 4). Εἶναι δὲ ἡ μὲν $ΟΝ = ΝΒ$, ἡ δὲ $ΟΡ = ΡΥ$· ἄρα $ΒΝ^2 + ΝΡ^2 = 3ΡΥ^2$. Πρὸς δὲ τὰ $ΒΝ^2 + ΝΡ^2$ εἶναι ἴσον τὸ $ΒΡ^2$ (Ι. 47)· εἶναι ἄρα τὸ $ΒΡ^2 = 3ΡΥ^2$· ὥστε τὰ $ΒΡ^2 + ΡΥ^2 = 4ΡΥ^2$. Πρὸς δὲ τὰ $ΒΡ^2 + ΡΥ^2$ εἶναι ἴσον τὸ $ΒΥ^2$

ΒΡ, ΡΥ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΒΥ· τὸ ἄρα ἀπὸ τῆς ΒΥ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΥΡ· διπλῆ ἄρα ἐστὶν ἡ ΒΥ τῆς ΡΥ. ἔστι δὲ καὶ ἡ ΦΥ τῆς ΥΡ διπλῆ, ἐπειδήπερ καὶ ἡ ΣΡ τῆς ΟΡ, τουτέστι τῆς ΡΥ, ἐστι διπλῆ· ἴση ἄρα ἡ ΒΥ τῇ ΥΦ. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ ἑκάστη τῶν ΒΧ, ΧΓ, ΓΦ ἑκατέρα τῶν ΒΥ, ΥΦ ἐστιν ἴση. ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΒΥΦΓΧ πεντάγωνον. λέγω δή, ὅτι καὶ ἐν ἑνί ἐστιν ἐπιπέδῳ. ἤχθω γὰρ ἀπὸ τοῦ Ο ἑκατέρᾳ τῶν ΡΥ, ΣΦ παράλληλος ἐπὶ τὰ ἐκτὸς τοῦ κύβου μέρη ἡ ΟΨ, καὶ ἐπεζεύχθωσαν αἱ ΨΘ, ΘΧ· λέγω, ὅτι ἡ ΨΘΧ εὐθεῖά ἐστιν. ἐπεὶ γὰρ ἡ ΘΠ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Τ, καὶ τὸ μεῖζον αὐτῆς τμῆμά ἐστιν ἡ ΠΤ, ἔστιν ἄρα ὡς ἡ ΘΠ πρὸς τὴν ΠΤ, οὕτως ἡ ΠΤ πρὸς τὴν ΤΘ. ἴση δὲ ἡ μὲν ΘΠ τῇ ΘΟ, ἡ δὲ ΠΤ ἑκατέρᾳ τῶν ΤΧ, ΟΨ· ἔστιν ἄρα ὡς ἡ ΘΟ πρὸς τὴν ΟΨ, οὕτως ἡ ΧΤ πρὸς τὴν ΤΘ. καί ἐστι παράλληλος ἡ μὲν ΘΟ τῇ ΤΧ· ἑκατέρα γὰρ αὐτῶν τῷ ΒΔ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν· ἡ δὲ ΤΘ τῇ ΟΨ· ἑκατέρα γὰρ αὐτῶν τῷ ΒΖ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. ἐὰν δὲ δύο τρίγωνα συντεθῇ κατὰ μίαν γωνίαν, ὡς τὰ ΨΟΘ, ΘΤΧ, τὰς δύο πλευρὰς ταῖς δυσὶν ἀνάλογον ἔχοντα, ὥστε τὰς ὁμολόγους αὐτῶν πλευρὰς καὶ παραλλήλους εἶναι, αἱ λοιπαὶ εὐθεῖαι ἐπ' εὐθείας ἔσονται· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΨΘ τῇ ΘΧ. πᾶσα δὲ εὐθεῖα ἐν ἑνί ἐστιν ἐπιπέδῳ· ἐν ἑνὶ ἄρα ἐπιπέδῳ ἐστὶ τὸ ΥΒΧΓΦ πεντάγωνον.



Λέγω δή, ὅτι καὶ ἰσογώνιόν ἐστιν.

Ἐπεὶ γὰρ εὐθεῖα γραμμὴ ἡ ΝΟ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Ρ, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΟΡ [ἔστιν ἄρα ὡς συναμφότερος ἡ ΝΟ, ΟΡ πρὸς τὴν ΟΝ, οὕτως ἡ ΝΟ πρὸς τὴν ΟΡ], ἴση δὲ ἡ ΟΡ τῇ ΟΣ [ἔστιν ἄρα ὡς ἡ ΣΝ πρὸς τὴν ΝΟ, οὕτως ἡ ΝΟ πρὸς τὴν ΟΣ], ἡ ΝΣ ἄρα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Ο, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΝΟ· τὰ ἄρα ἀπὸ τῶν ΝΣ, ΣΟ τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΝΟ. ἴση δὲ ἡ μὲν ΝΟ τῇ ΝΒ, ἡ δὲ ΟΣ τῇ ΣΦ. τὰ ἄρα ἀπὸ τῶν ΝΣ, ΣΦ τετράγωνα τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΝΒ· ὥστε τὰ ἀπὸ τῶν ΦΣ, ΣΝ, ΝΒ τετραπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΝΒ. τοῖς δὲ ἀπὸ τῶν ΣΝ, ΝΒ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΣΒ· τὰ ἄρα ἀπὸ τῶν ΒΣ, ΣΦ, τουτέστι τὸ ἀπὸ τῆς ΒΦ (ὀρθὴ γὰρ ἡ ὑπὸ ΦΣΒ γωνία), τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΝΒ· διπλῆ ἄρα ἐστὶν ἡ ΦΒ τῆς ΒΝ. ἔστι δὲ καὶ ἡ ΒΓ τῆς ΒΝ διπλῆ· ἴση ἄρα ἐστὶν ἡ ΒΦ τῇ ΒΓ. καὶ ἐπεὶ δύο αἱ ΒΥ, ΥΦ δυσὶ ταῖς ΒΧ, ΧΓ ἴσαι εἰσίν, καὶ βάσις ἡ ΒΦ βάσει τῇ ΒΓ ἴση, γωνία ἄρα ἡ ὑπὸ ΒΥΦ γωνίᾳ τῇ ὑπὸ ΒΧΓ ἐστιν ἴση. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ὑπὸ ΥΦΓ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΒΧΓ· αἱ ἄρα ὑπὸ ΒΧΓ, ΒΥΦ, ΥΦΓ τρεῖς γωνίαι ἴσαι ἀλλήλαις εἰσίν. ἐὰν δὲ πενταγώνου ἰσοπλεύρου αἱ τρεῖς γωνίαι ἴσαι ἀλλήλαις ὦσιν, ἰσογώνιον ἔσται τὸ πεντάγωνον·

(I. 47)· εἶναι ἄρα τὸ $\mathrm{BY}^2 = 4\mathrm{YP}^2$· ἄρα εἶναι $\mathrm{BY} = 2\mathrm{PY}$. Εἶναι δὲ καὶ ἡ $\Phi\mathrm{Y} = 2\mathrm{YP}$, ἐπειδὴ βεβαίως εἶναι καὶ ἡ $\Sigma\mathrm{P} = 2\mathrm{OP}$, τουτέστι $2\mathrm{PY}$· εἶναι ἄρα ἡ $\mathrm{BY} = \mathrm{Y}\Phi$. Καθ' ὅμοιον τρόπον θὰ ἀποδειχθῇ, ὅτι καὶ ἑκάστη τῶν ΒΧ, ΧΓ, ΓΦ εἶναι ἴση πρὸς ἑκατέραν τῶν ΒΥ, ΥΦ. Τὸ πεντάγωνον ἄρα ΒΥΦΓΧ εἶναι ἰσόπλευρον. Λέγω τώρα, ὅτι καὶ εὑρίσκεται ἐπὶ ἑνὸς ἐπιπέδου. Διότι ἂς ἀχθῇ ἀπὸ τοῦ Ο πρὸς ἑκατέραν τῶν ΡΥ, ΣΦ παράλληλος ἐπὶ τὰ ἐκτὸς μέρη τοῦ κύβου κειμένη ἡ ΟΨ· καὶ ἂς ἀχθῶσιν αἱ ΨΘ, ΘΧ· λέγω, ὅτι ἡ ΨΘΧ εἶναι εὐθεῖα. Διότι, ἐπειδὴ ἡ ΘΠ τέμνεται εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Τ, καὶ τὸ μεγαλύτερον τμῆμα αὐτῆς εἶναι ἡ ΠΤ, εἶναι ἄρα ὡς ἡ $\Theta\Pi : \Pi\mathrm{T} = \Pi\mathrm{T} : \mathrm{T}\Theta$. Εἶναι δὲ ἡ μὲν $\Theta\Pi = \Theta\mathrm{O}$, ἡ δὲ $\Pi\mathrm{T} = \mathrm{TX} = \mathrm{O}\Psi$· εἶναι ἄρα ὡς ἡ $\Theta\mathrm{O} : \mathrm{O}\Psi = \mathrm{XT} : \mathrm{T}\Theta$. Καὶ εἶναι παράλληλος ἡ μὲν ΘΟ πρὸς τὴν ΤΧ· διότι ἑκατέρα αὐτῶν εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον ΒΔ (XI. 6)· ἡ δὲ ΤΘ εἶναι παράλληλος πρὸς τὴν ΟΨ· διότι ἑκατέρα αὐτῶν εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον ΒΖ. Ἐὰν δὲ δύο τρίγωνα συντεθῶσι κατὰ μίαν γωνίαν, ὡς τὰ ΨΟΘ, ΘΤΧ, ἔχοντα τὰς δύο πλευρὰς ἀναλόγους πρὸς τὰς δύο πλευράς, ὥστε αἱ ὁμόλογοι πλευραὶ αὐτῶν νὰ εἶναι καὶ παράλληλοι, αἱ λοιπαὶ εὐθεῖαι θὰ κεῖνται ἐπ' εὐθείας (VI. 32)· εἶναι ἄρα ἐπ' εὐθείας ἡ ΨΘ καὶ ἡ ΘΧ. Πᾶσα δὲ εὐθεῖα κεῖται ἐφ' ἑνὸς ἐπιπέδου (XI. 1)· εἰς ἓν ἄρα ἐπίπεδον κεῖται τὸ πεντάγωνον ΥΒΧΓΦ.

Λέγω τώρα, ὅτι εἶναι καὶ ἰσογώνιον.

Διότι ἐπειδὴ ἡ εὐθεῖα γραμμὴ ΝΟ τέμνεται εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Ρ καὶ τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΟΡ [εἶναι ἄρα ὡς $\mathrm{NO} + \mathrm{OP} : \mathrm{ON} = \mathrm{NO} : \mathrm{OP}$], εἶναι δὲ ἡ $\mathrm{OP} = \mathrm{O}\Sigma$ [εἶναι ἄρα ὡς ἡ $\Sigma\mathrm{N} : \mathrm{NO} = \mathrm{NO} : \mathrm{O}\Sigma$], ἡ ΝΣ ἄρα τέμνεται εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Ο, καὶ τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΝΟ (θ. 5)· εἶναι ἄρα τὰ $\mathrm{N}\Sigma^2 + \Sigma\mathrm{O}^2 = 3\mathrm{NO}^2$ (θ. 4). Εἶναι δὲ ἴση ἡ μὲν ΝΟ πρὸς τὴν ΝΒ, ἡ δὲ ΟΣ πρὸς τὴν ΣΦ· ἄρα τὰ $\mathrm{N}\Sigma^2 + \Sigma\Phi^2 = 3\mathrm{NB}^2$· ὥστε τὰ $\Phi\Sigma^2 + \Sigma\mathrm{N}^2 + \mathrm{NB}^2 = 4\mathrm{NB}^2$. Πρὸς δὲ τὰ $\Sigma\mathrm{N}^2 + \mathrm{NB}^2$ εἶναι ἴσον τὸ $\Sigma\mathrm{B}^2$ (I. 47)· εἶναι ἄρα τὰ $\mathrm{B}\Sigma^2 + \Sigma\Phi^2$, τουτέστι τὸ $\mathrm{B}\Phi^2$ (διότι ἡ γωνία ΦΣΒ εἶναι ὀρθὴ) τετραπλάσιον τοῦ NB^2 (XI. ὁρ. 3)· εἶναι ἄρα ἡ $\Phi\mathrm{B} = 2\mathrm{BN}$. Εἶναι δὲ καὶ ἡ $\mathrm{B}\Gamma = 2\mathrm{BN}$, εἶναι ἄρα ἡ $\mathrm{B}\Phi = \mathrm{B}\Gamma$. Καὶ ἐπειδὴ δύο αἱ ΒΥ, ΥΦ πρὸς δύο τὰς ΒΧ, ΧΓ εἶναι ἴσαι, καὶ ἡ βάσις ΒΦ εἶναι ἴση πρὸς τὴν βάσιν ΒΓ (I. 8), ἡ γωνία ἄρα ΒΥΦ εἶναι ἴση πρὸς τὴν γωνίαν ΒΧΓ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἡ γωνία ΥΦΓ εἶναι ἴση πρὸς τὴν ΒΧΓ· αἱ τρεῖς ἄρα γωνίαι ΒΧΓ, ΒΥΦ, ΥΦΓ εἶναι πρὸς ἀλλήλας ἴσαι. Ἐὰν δὲ ἰσοπλεύρου πενταγώνου αἱ τρεῖς γωνίαι εἶναι ἴσαι πρὸς ἀλλήλας, τὸ πεντάγωνον θὰ εἶναι ἰσογώνιον (θ. 7)· εἶναι ἄρα τὸ πεντάγωνον ΒΥΦΓΧ ἰσογώνιον. Ἐδείχθη δὲ καὶ ἰσόπλευρον· τὸ πεντάγωνον ἄρα ΒΥΦΓΧ εἶναι ἰσόπλευρον καὶ ἰσογώνιον, καὶ εἶναι ἐπὶ μιᾶς πλευρᾶς τοῦ κύβου ἰσογώνιον ἄρα ἐστὶ τὸ ΒΥΦΓΧ πεντάγωνον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον· τὸ ἄρα ΒΥΦΓΧ πεντάγωνον ἰσόπλευρόν ἐστι καὶ ἰσογώνιον, καί ἐστιν ἐπὶ μιᾶς τοῦ κύβου πλευρᾶς τῆς ΒΓ. ἐὰν ἄρα ἐφ' ἑκάστης τῶν τοῦ κύβου δώδεκα πλευρῶν τὰ αὐτὰ κατασκευάσωμεν, συσταθήσεταί τι σχῆμα στερεὸν ὑπὸ δώδεκα πενταγώνων ἰσοπλεύρων τε καὶ ἰσογωνίων περιεχόμενον, ὃ καλεῖται δωδεκάεδρον.

Δεῖ δὴ αὐτὸ καὶ σφαίρᾳ περιλαβεῖν τῇ δοθείσῃ καὶ δεῖξαι, ὅτι ἡ τοῦ δωδεκαέδρου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή.

Ἐκβεβλήσθω γὰρ ἡ ΨΟ, καὶ ἔστω ἡ ΨΩ· συμβάλλει ἄρα ἡ ΟΩ τῇ τοῦ κύβου διαμέτρῳ, καὶ δίχα τέμνουσιν ἀλλήλας· τοῦτο γὰρ δέδεικται ἐν τῷ παρατελεύτῳ θεωρήματι τοῦ ἑνδεκάτου βιβλίου. τεμνέτωσαν κατὰ τὸ Ω· τὸ Ω ἄρα κέντρον ἐστὶ τῆς σφαίρας τῆς περιλαμβανούσης τὸν κύβον, καὶ ἡ ΩΟ ἡμίσεια τῆς πλευρᾶς τοῦ κύβου. ἐπεζεύχθω δὴ ἡ ΥΩ. καὶ ἐπεὶ εὐθεῖα γραμμὴ ἡ ΝΣ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Ο, καὶ τὸ μεῖζον αὐτῆς τμῆμά ἐστιν ἡ ΝΟ, τὰ ἄρα ἀπὸ τῶν ΝΣ, ΣΟ τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΝΟ. ἴση δὲ ἡ μὲν ΝΣ τῇ ΨΩ, ἐπειδήπερ καὶ ἡ μὲν ΝΟ τῇ ΟΩ ἐστιν ἴση, ἡ δὲ ΨΟ τῇ ΟΣ. ἀλλὰ μὴν καὶ ἡ ΟΣ τῇ ΨΥ, ἐπεὶ καὶ τῇ ΡΟ· τὰ ἄρα ἀπὸ τῶν ΩΨ, ΨΥ τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΝΟ. τοῖς δὲ ἀπὸ τῶν ΩΨ, ΨΥ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΥΩ· τὸ ἄρα ἀπὸ τῆς ΥΩ τριπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΝΟ. ἔστι δὲ καὶ ἡ ἐκ τοῦ κέντρου τῆς σφαίρας τῆς περιλαμβανούσης τὸν κύβον δυνάμει τριπλασίων τῆς ἡμισείας τῆς τοῦ κύβου πλευρᾶς· προδέδεικται γὰρ κύβον συστήσασθαι καὶ σφαίρᾳ περιλαβεῖν καὶ δεῖξαι, ὅτι ἡ τῆς σφαίρας διάμετρος δυνάμει τριπλασίων ἐστὶ τῆς πλευρᾶς τοῦ κύβου. εἰ δὲ ὅλη τῆς ὅλης, καὶ [ἡ] ἡμίσεια τῆς ἡμισείας· καί ἐστιν ἡ ΝΟ ἡμίσεια τῆς τοῦ κύβου πλευρᾶς· ἡ ἄρα ΥΩ ἴση ἐστὶ τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας τῆς περιλαμβανούσης τὸν κύβον. καί ἐστι τὸ Ω κέντρον τῆς σφαίρας τῆς περιλαμβανούσης τὸν κύβον· τὸ Υ ἄρα σημεῖον πρὸς τῇ ἐπιφανείᾳ ἐστὶ τῆς σφαίρας. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἑκάστη τῶν λοιπῶν γωνιῶν τοῦ δωδεκαέδρου πρὸς τῇ ἐπιφανείᾳ ἐστὶ τῆς σφαίρας· περιείληπται ἄρα τὸ δωδεκάεδρον τῇ δοθείσῃ σφαίρᾳ.

Λέγω δή, ὅτι ἡ τοῦ δωδεκαέδρου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή.

Ἐπεὶ γὰρ τῆς ΝΟ ἄκρον καὶ μέσον λόγον τετμημένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΡΟ, τῆς δὲ ΟΞ ἄκρον καὶ μέσον λόγον τετμημένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΟΣ, ὅλης ἄρα τῆς ΝΞ ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΡΣ. οἷον ἐπεί ἐστιν ὡς ἡ ΝΟ πρὸς τὴν ΟΡ, ἡ ΟΡ πρὸς τὴν ΡΝ, καὶ τὰ διπλάσια· τὰ γὰρ μέρη τοῖς ἰσάκις πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον· ὡς ἄρα ἡ ΝΞ πρὸς τὴν ΡΣ, οὕτως ἡ ΡΣ πρὸς συναμφότερον τὴν ΝΡ, ΣΞ. μείζων δὲ ἡ ΝΞ τῆς ΡΣ· μείζων ἄρα καὶ ἡ ΡΣ συναμφοτέρου τῆς ΝΡ, ΣΞ· ἡ ΝΞ ἄρα ἄκρον καὶ μέσον λόγον τέτμηται, καὶ τὸ μεῖζον αὐτῆς τμῆμά ἐστιν ἡ ΡΣ. ἴση δὲ ἡ ΡΣ τῆς ΒΓ. Ἐὰν ἄρα ἐφ' ἑκάστης τῶν δώδεκα πλευρῶν τοῦ κύβου κατασκευάσωμεν τὰ αὐτά, θὰ συσταθῇ στερεὸν σχῆμα περιεχόμενον ὑπὸ δώδεκα ἰσοπλεύρων καὶ ἰσογωνίων πενταγώνων, τὸ ὁποῖον καλεῖται δωδεκάεδρον.

Πρέπει τώρα αὐτὸ νὰ περιληφθῇ ὑπὸ τῆς δοθείσης σφαίρας καὶ νὰ δειχθῇ, ὅτι ἡ πλευρὰ τοῦ δωδεκαέδρου εἶναι ἄρρητος ἡ καλουμένη ἀποτομή.

Διότι ἂς ἐκβληθῇ ἡ ΨΟ, καὶ ἔστω κατὰ τὴν ΨΩ· συναντᾷ ἄρα ἡ ΟΩ τὴν διαγώνιον τοῦ κύβου καὶ τέμνουσιν ἀλλήλας δίχα· διότι τοῦτο ἐδείχθη εἰς τὸ προτελευταῖον θεώρημα τοῦ ἑνδεκάτου βιβλίου (XI. 38). Ἂς τέμνωνται κατὰ τὸ Ω· τὸ Ω ἄρα εἶναι κέντρον τῆς σφαίρας τῆς περιλαμβανούσης τὸν κύβον, καὶ ἡ ΩΟ εἶναι τὸ ἥμισυ τῆς πλευρᾶς τοῦ κύβου. Ἂς ἀχθῇ ἡ ΥΩ. Καὶ ἐπειδὴ ἡ εὐθεῖα γραμμὴ ΝΣ τέμνεται εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Ο, καὶ τὸ μεγαλύτερον τμῆμα αὐτῆς εἶναι ἡ ΝΟ, εἶναι ἄρα τὰ $ΝΣ^2 + ΣΟ^2 = 3\ ΝΟ^2$ (θ. 4). Εἶναι δὲ ἡ μὲν $ΝΣ = ΨΩ$, ἐπειδὴ βεβαίως καὶ ἡ μὲν $ΝΟ = ΟΩ$, ἡ δὲ $ΨΟ = ΟΣ$. Ἀλλ' ὅμως καὶ ἡ $ΟΣ = ΨΥ$, ἐπειδὴ εἶναι ἴση καὶ πρὸς τὴν ΡΟ· εἶναι ἄρα τὰ $ΩΨ^2 + ΨΥ^2 = 3\ ΝΟ^2$. Πρὸς δὲ τὰ $ΩΨ^2 + ΨΥ^2$ εἶναι ἴσον τὸ $ΥΩ^2$ (I. 47)· εἶναι ἄρα τὸ $ΥΩ^2 = 3\ ΝΟ^2$. Εἶναι δὲ καὶ τὸ τετράγωνον τῆς ἀκτῖνος τῆς σφαίρας τῆς περιλαμβανούσης τὸν κύβον τριπλάσιον τοῦ τετραγώνου τοῦ ἡμίσεος τῆς πλευρᾶς τοῦ κύβου· διότι προαπεδείχθη, νὰ κατασκευασθῇ κύβος καὶ νὰ περιληφθῇ ὑπὸ σφαίρας καὶ νὰ δειχθῇ, ὅτι τὸ τετράγωνον τῆς διαμέτρου τῆς σφαίρας εἶναι τριπλάσιον τοῦ τετραγώνου τῆς πλευρᾶς τοῦ κύβου (θ. 15). Ἐὰν δὲ ὅλον (τὸ τετράγωνον τῆς διαμέτρου εἶναι τριπλάσιον) τοῦ ὅλου (τετραγώνου τῆς πλευρᾶς), εἶναι καὶ τὸ ἥμισυ τοῦ ἡμίσεος· καὶ εἶναι ἡ ΝΟ τὸ ἥμισυ τῆς πλευρᾶς τοῦ κύβου· ἡ ΥΩ ἄρα εἶναι ἴση πρὸς τὴν ἀκτῖνα τῆς σφαίρας τῆς περιλαμβανούσης τὸν κύβον· τὸ σημεῖον ἄρα Υ εἶναι ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἑκάστη τῶν λοιπῶν γωνιῶν τοῦ δωδεκαέδρου εἶναι ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας· περιελήφθη ἄρα τὸ δωδεκάεδρον ὑπὸ τῆς δοθείσης σφαίρας.

Λέγω τώρα, ὅτι ἡ πλευρὰ τοῦ δωδεκαέδρου εἶναι ἄρρητος ἡ καλουμένη ἀποτομὴ (X. 73).

Διότι ἐπειδὴ τὸ μεγαλύτερον τμῆμα τῆς ΝΟ, ἡ ὁποία ἔχει τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον, εἶναι ἡ ΡΟ, τῆς δὲ ΟΞ, ἡ ὁποία ἔχει τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΟΣ, εἶναι ἄρα ὅλης τῆς ΝΞ τεμνομένης εἰς ἄκρον καὶ μέσον λόγον τὸ μεγαλύτερον τμῆμα ἡ ΡΣ. Ἐπειδὴ δὲ εἶναι ὡς ἡ $ΝΟ : ΟΡ = ΟΡ : ΡΝ$, ἰσχύει τοῦτο καὶ διὰ τὰ διπλάσια· διότι τὰ μέρη ἔχουσι πρὸς τὰ ἰσάκις πολλαπλάσια τὸν αὐτὸν λόγον (V. 15)· εἶναι ἄρα ὡς ἡ $ΝΞ : ΡΣ = ΡΣ : ΝΡ + ΣΞ$ (V. 14). Εἶναι δὲ ἡ $ΝΞ > ΡΣ$· εἶναι ἄρα καὶ ἡ $ΡΣ > ΝΡ + ΣΞ$· τέμνεται ἄρα ἡ ΝΞ εἰς ἄκρον καὶ μέσον λόγον, τῇ ΥΦ· τῆς ἄρα ΝΞ ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΥΦ. καὶ ἐπεὶ ῥητή ἐστιν ἡ τῆς σφαίρας διάμετρος καί ἐστι δυνάμει τριπλασίων τῆς τοῦ κύβου πλευρᾶς, ῥητὴ ἄρα ἐστὶν ἡ ΝΞ πλευρὰ οὖσα τοῦ κύβου. ἐὰν δὲ ῥητὴ γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, ἑκάτερον τῶν τμημάτων ἄλογός ἐστιν ἀποτομή.

Ἡ ΥΦ ἄρα πλευρὰ οὖσα τοῦ δωδεκαέδρου ἄλογός ἐστιν ἀποτομή.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι τῆς τοῦ κύβου πλευρᾶς ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ τοῦ δωδεκαέδρου πλευρά· ὅπερ ἔδει δεῖξαι.

ιη'.

Τὰς πλευρὰς τῶν πέντε σχημάτων ἐκθέσθαι καὶ συγκρῖναι πρὸς ἀλλήλας.

Ἐκκείσθω ἡ τῆς δοθείσης σφαίρας διάμετρος ἡ ΑΒ, καὶ τετμήσθω κατὰ τὸ Γ ὥστε ἴσην εἶναι τὴν ΑΓ τῇ ΓΒ, κατὰ δὲ τὸ Δ ὥστε διπλασίονα εἶναι τὴν ΑΔ τῆς ΔΒ, καὶ γεγράφθω ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΕΒ καὶ ἀπὸ τῶν Γ, Δ τῇ ΑΒ πρὸς ὀρθὰς ἤχθωσαν αἱ ΓΕ, ΔΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΖΒ, ΕΒ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΔ τῆς ΔΒ, τριπλῆ ἄρα ἐστὶν ἡ ΑΒ τῆς ΒΔ. ἀναστρέψαντι ἡμιολία ἄρα ἐστὶν ἡ ΒΑ τῆς ΑΔ. ὡς δὲ ἡ ΒΑ πρὸς τὴν ΑΔ, οὕτως τὸ ἀπὸ τῆς ΒΑ πρὸς τὸ ἀπὸ τῆς ΑΖ· ἰσογώνιον γάρ ἐστι τὸ ΑΖΒ τρίγωνον τῷ ΑΖΔ τριγώνῳ· ἡμιόλιον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΒΑ τοῦ ἀπὸ τῆς ΑΖ. ἔστι δὲ καὶ ἡ τῆς σφαίρας διάμετρος δυνάμει ἡμιολία τῆς πλευρᾶς τῆς πυραμίδος· καί ἐστιν ἡ ΑΒ ἡ τῆς σφαίρας διάμετρος· ἡ ΑΖ ἄρα ἴση ἐστὶ τῇ πλευρᾷ τῆς πυραμίδος.



Πάλιν, ἐπεὶ διπλασίων ἐστὶν ἡ ΑΔ τῆς ΔΒ, τριπλῆ ἄρα ἐστὶν ἡ ΑΒ τῆς ΒΔ. ὡς δὲ ἡ ΑΒ πρὸς τὴν ΒΔ, οὕτως τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΒΖ· τριπλάσιον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΒΖ. ἔστι δὲ καὶ ἡ τῆς σφαίρας διάμετρος δυνάμει τριπλασίων τῆς τοῦ κύβου πλευρᾶς. καί ἐστιν ἡ ΑΒ ἡ τῆς σφαίρας διάμετρος· ἡ ΒΖ ἄρα τοῦ κύβου ἐστὶ πλευρά.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΒ, διπλῆ ἄρα ἐστὶν ἡ ΑΒ τῆς ΒΓ. ὡς δὲ ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΒΕ· διπλάσιον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΒΕ. ἔστι δὲ καὶ ἡ τῆς σφαίρας διάμετρος δυ-καὶ τὸ μεγαλύτερον τμῆμα αὐτῆς εἶναι ἡ ΡΣ. Εἶναι δὲ ἡ ΡΣ = ΥΦ· τῆς ΝΞ ἄρα τεμνομένης εἰς ἄκρον καὶ μέσον λόγον τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΥΦ. Καὶ ἐπειδὴ ἡ διάμετρος τῆς σφαίρας εἶναι ῥητὴ καὶ τὸ τετράγωνον αὐτῆς εἶναι τριπλάσιον τοῦ τετραγώνου τῆς πλευρᾶς τοῦ κύβου, εἶναι ἄρα ῥητὴ ἡ ΝΞ, ἡ ὁποία εἶναι πλευρὰ τοῦ κύβου. Ἐὰν δὲ ῥητὴ τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον, ἑκάτερον τῶν τμημάτων εἶναι ἄρρητος (ἡ καλουμένη) ἀποτομὴ (θ. 6).

Ἡ ΥΦ ἄρα, ἡ ὁποία εἶναι πλευρὰ τοῦ δωδεκαέδρου, εἶναι ἄρρητος ἀποτομή.

Πόρισμα.

Ὅθεν εἶναι φανερὸν ἐκ τούτου ὅτι, ὅταν ἡ πλευρὰ τοῦ κύβου τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον, τὸ μεγαλύτερον τμῆμα εἶναι πλευρὰ τοῦ δωδεκαέδρου· ὅπερ ἔδει δεῖξαι.

18.

Νὰ ἐκτεθῶσιν αἱ πλευραὶ τῶν πέντε σχημάτων καὶ νὰ συγκριθῶσι πρὸς ἀλλήλας.

Ἂς ληφθῇ ἡ διάμετρος τῆς δοθείσης σφαίρας ἡ ΑΒ, καὶ ἂς τμηθῇ κατὰ τὸ Γ, ὥστε νὰ εἶναι $ΑΓ = ΓΒ$, κατὰ δὲ τὸ Δ, ὥστε νὰ εἶναι $ΑΔ = 2ΔΒ$, καὶ ἂς γραφῇ ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΕΒ, καὶ ἀπὸ τῶν Γ, Δ ἂς ἀχθῶσι κάθετοι ἐπὶ τὴν ΑΒ αἱ ΓΕ, ΔΖ, καὶ ἂς ἀχθῶσιν αἱ ΑΖ, ΖΒ, ΕΒ. Καὶ ἐπειδὴ ἡ $ΑΔ = 2ΔΒ$, εἶναι ἄρα ἡ $ΑΒ = 3ΔΒ$. Δι' ἀναστροφῆς ἄρα εἶναι ἡ $ΒΑ = \frac{3}{2} ΑΔ$. Εἶναι δὲ ἡ $ΒΑ : ΑΔ = ΒΑ^2 : ΑΖ^2$· διότι τὸ τρίγωνον ΑΖΒ εἶναι ἰσογώνιον πρὸς τὸ τρίγωνον ΑΖΔ (VI. 8) (καὶ συνεπῶς ἐκ τῆς ὁμοιότητος τούτων εἶναι $ΒΑ : ΑΖ = ΑΖ : ΑΔ$ καὶ V. ὁρισ. 9)· εἶναι ἄρα τὸ $ΒΑ^2 = \frac{3}{2} ΑΖ^2$. Εἶναι δὲ καὶ τὸ τετράγωνον τῆς διαμέτρου τῆς σφαίρας τὰ τρία δεύτερα τοῦ τετραγώνου τῆς πλευρᾶς τῆς πυραμίδος (θ. 13). Καὶ εἶναι ἡ ΑΒ ἡ διάμετρος τῆς σφαίρας· ἡ ΑΖ ἄρα εἶναι ἴση πρὸς τὴν πλευρὰν τῆς πυραμίδος.

Πάλιν, ἐπειδὴ ἡ $ΑΔ = 2ΔΒ$, εἶναι ἄρα ἡ $ΑΒ = 3ΒΔ$. Εἶναι δὲ ἡ $ΑΒ : ΒΔ = ΑΒ^2 : ΒΖ^2$ (ἐκ τῆς ὁμοιότητος τῶν τριγώνων ΑΒΖ, ΒΖΔ, καὶ συνεπῶς ἐκ τῆς σχέσεως $ΑΒ : ΒΖ = ΒΖ : ΒΔ$, καὶ V. ὁρισ. 9)· εἶναι ἄρα τὸ $ΑΒ^2 = 3ΒΖ^2$. Εἶναι δὲ καὶ τὸ τετράγωνον τῆς διαμέτρου τῆς σφαίρας τριπλάσιον τοῦ τετραγώνου τῆς πλευρᾶς τοῦ κύβου (θ. 15). Καὶ εἶναι ἡ ΑΒ ἡ διάμετρος τῆς σφαίρας· ἡ ΒΖ ἄρα εἶναι πλευρὰ τοῦ κύβου.

Καὶ ἐπειδὴ ἡ $ΑΓ = ΓΒ$, εἶναι ἄρα ἡ $ΑΒ = 2ΒΓ$. Εἶναι δὲ ἡ $ΑΒ : ΒΓ = ΑΒ^2 : ΒΕ^2$ (VI. 8, V. ὁρ. 9, ὡς ἀνωτέρω)· εἶναι ἄρα τὸ $ΑΒ^2 = 2ΒΕ^2$. Εἶναι δὲ καὶ τὸ τετράγωνον τῆς διαμέτρου τῆς σφαίρας διπλάσιον τοῦ τετρανάμει διπλασίων τῆς τοῦ ὀκταέδρου πλευρᾶς. καί ἐστιν ἡ ΑΒ ἡ τῆς δυθείσης σφαίρας διάμετρος· ἡ ΒΕ ἄρα τοῦ ὀκταέδρου ἐστὶ πλευρά.

Ἤχθω δὴ ἀπὸ τοῦ Α σημείου τῇ ΑΒ εὐθείᾳ πρὸς ὀρθὰς ἡ ΑΗ, καὶ κείσθω ἡ ΑΗ ἴση τῇ ΑΒ, καὶ ἐπεζεύχθω ἡ ΗΓ, καὶ ἀπὸ τοῦ Θ ἐπὶ τὴν ΑΒ κάθετος ἤχθω ἡ ΘΚ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΗΑ τῆς ΑΓ· ἴση γὰρ ἡ ΗΑ τῇ ΑΒ. ὡς δὲ ἡ ΗΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΘΚ πρὸς τὴν ΚΓ, διπλῆ ἄρα καὶ ἡ ΘΚ τῆς ΚΓ. τετραπλάσιον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΘΚ τοῦ ἀπὸ τῆς ΚΓ· τὰ ἄρα ἀπὸ τῶν ΘΚ, ΚΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ τῆς ΘΓ, πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΚΓ. ἴση δὲ ἡ ΘΓ τῇ ΓΒ· πενταπλάσιον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΒΓ τοῦ ἀπὸ τῆς ΓΚ· καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΒ τῆς ΓΒ, ὧν ἡ ΑΔ τῆς ΔΒ ἐστι διπλῆ, λοιπὴ ἄρα ἡ ΒΔ λοιπῆς τῆς ΔΓ ἐστι διπλῆ. τριπλῆ ἄρα ἡ ΒΓ τῆς ΓΔ· ἐνναπλάσιον ἄρα τὸ ἀπὸ τῆς ΒΓ τοῦ ἀπὸ τῆς ΓΔ. πενταπλάσιον δὲ τὸ ἀπὸ τῆς ΒΓ τοῦ ἀπὸ τῆς ΓΚ. μεῖζον ἄρα τὸ ἀπὸ τῆς ΓΚ τοῦ ἀπὸ τῆς ΓΔ. μείζων ἄρα ἐστὶν ἡ ΓΚ τῆς ΓΔ. κείσθω τῇ ΓΚ ἴση ἡ ΓΛ, καὶ ἀπὸ τοῦ Λ τῇ ΑΒ πρὸς ὀρθὰς ἤχθω ἡ ΛΜ, καὶ ἐπεζεύχθω ἡ ΜΒ. καὶ ἐπεὶ πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΓ τοῦ ἀπὸ τῆς ΓΚ, καί ἐστι τῆς μὲν ΒΓ διπλῆ ἡ ΑΒ, τῆς δὲ ΓΚ διπλῆ ἡ ΚΛ, πενταπλάσιον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΚΛ. ἔστι δὲ καὶ ἡ τῆς σφαίρας διάμετρος δυνάμει πενταπλασίων τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου, ἀφ' οὗ τὸ εἰκοσάεδρον ἀναγέγραπται. καί ἐστιν ἡ ΑΒ ἡ τῆς σφαίρας διάμετρος· ἡ ΚΛ ἄρα ἐκ τοῦ κέντρου ἐστὶ τοῦ κύκλου, ἀφ' οὗ τὸ εἰκοσάεδρον ἀναγέγραπται· ἡ ΚΛ ἄρα ἑξαγώνου ἐστὶ πλευρὰ τοῦ εἰρημένου κύκλου. καὶ ἐπεὶ ἡ τῆς σφαίρας διάμετρος σύγκειται ἔκ τε τῆς τοῦ ἑξαγώνου καὶ δύο τῶν τοῦ δεκαγώνου τῶν εἰς τὸν εἰρημένον κύκλον ἐγγραφομένων, καί ἐστιν ἡ μὲν ΑΒ ἡ τῆς σφαίρας διάμετρος, ἡ δὲ ΚΛ ἑξαγώνου πλευρά, καὶ ἴση ἡ ΑΚ τῇ ΛΒ, ἑκατέρα ἄρα τῶν ΑΚ, ΛΒ δεκαγώνου ἐστὶ πλευρὰ τοῦ ἐγγραφομένου εἰς τὸν κύκλον, ἀφ' οὗ τὸ εἰκοσάεδρον ἀναγέγραπται. καὶ ἐπεὶ δεκαγώνου μὲν ἡ ΛΒ, ἑξαγώνου δὲ ἡ ΜΛ· ἴση γάρ ἐστι τῇ ΚΛ, ἐπεὶ καὶ τῇ ΘΚ· ἴσον γὰρ ἀπέχουσιν ἀπὸ τοῦ κέντρου· καί ἐστιν ἑκατέρα τῶν ΘΚ, ΚΛ διπλασίων τῆς ΚΓ· πενταγώνου ἄρα ἐστὶν ἡ ΜΒ. ἡ δὲ τοῦ πενταγώνου ἐστὶν ἡ τοῦ εἰκοσαέδρου· εἰκοσαέδρου ἄρα ἐστὶν ἡ ΜΒ.

Καὶ ἐπεὶ ἡ ΖΒ κύβου ἐστὶ πλευρά, τετμήσθω ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Ν, καὶ ἔστω μεῖζον τμῆμα τὸ ΝΒ· ἡ ΝΒ ἄρα δωδεκαέδρου ἐστὶ πλευρά.

Καὶ ἐπεὶ ἡ τῆς σφαίρας διάμετρος ἐδείχθη τῆς μὲν ΑΖ πλευρᾶς τῆς πυραμίδος δυνάμει ἡμιολία, τῆς δὲ τοῦ ὀκταέδρου τῆς ΒΕ δυνάμει διπλασίων, τῆς δὲ τοῦ κύβου τῆς ΖΒ δυνάμει τριπλασίων, οἵων ἄρα ἡ τῆς σφαίρας διάμετρος δυνάμει ἕξ, τοιούτων ἡ μὲν τῆς πυραμίδος τεσσάρων, ἡ δὲ τοῦ ὀκταέδρου τριῶν, ἡ δὲ τοῦ κύβου δύο. ἡ μὲν ἄρα τῆς πυραμίδος πλευρὰ τῆς μὲν τοῦ ὀκταέδρου πλευρᾶς δυνάμει ἐστὶν ἐπίτριτος, τῆς δὲ τοῦ κύβου δυνάμει διπλῆ, ἡ δὲ τοῦ ὀκταέδρου τῆς τοῦ κύβου δυνάμει ἡμιολία. αἱ μὲν οὖν εἰρημέναι τῶν τριῶν σχημάτων πλευραί, λέγω δὴ πυραμίδος καὶ ὀκταέδρου καὶ κύβου, πρὸς ἀλγώνου τῆς πλευρᾶς τοῦ ὀκταέδρου (θ. 14). Καὶ εἶναι ἡ ΑΒ ἡ διάμετρος τῆς σφαίρας· ἡ ΒΕ ἄρα εἶναι πλευρὰ τοῦ ὀκταέδρου.

Ἂς ἀχθῇ τώρα ἀπὸ τοῦ σημείου Α κάθετος ἐπὶ τὴν ΑΒ ἡ ΑΗ, καὶ ἂς ληφθῇ ἡ $ΑΗ = ΑΒ$, καὶ ἂς ἀχθῇ ἡ ΗΓ, καὶ ἀπὸ τοῦ Θ ἂς ἀχθῇ κάθετος ἐπὶ τὴν ΑΒ ἡ ΘΚ. Καὶ ἐπειδὴ ἡ $ΗΑ = 2ΑΓ$· διότι ἡ $ΗΑ = ΑΒ$· εἶναι δὲ $ΗΑ : ΑΓ = ΘΚ : ΚΓ$ (VI. 4), εἶναι ἄρα καὶ ἡ $ΘΚ = 2ΚΓ$. Ἄρα εἶναι τὸ $ΘΚ^2 = 4ΚΓ^2$· εἶναι ἄρα τὰ $ΘΚ^2 + ΓΚ^2$, τὸ ὁποῖον εἶναι τὸ $ΘΓ^2 = 5ΚΓ^2$ (I. 47). Εἶναι δὲ ἡ $ΘΓ = ΓΒ$· εἶναι ἄρα τὸ $ΒΓ^2 = 5ΓΚ^2$. Καὶ ἐπειδὴ ἡ $ΑΒ = 2ΓΒ$, ἐξ ὧν ἡ $ΑΔ = 2ΔΒ$, ἡ λοιπὴ ἄρα ἡ ΒΔ εἶναι διπλασία τῆς λοιπῆς τῆς ΔΓ. Εἶναι ἄρα ἡ $ΒΓ = 3ΓΔ$· εἶναι ἄρα τὸ $ΒΓ^2 = 9\ ΓΔ^2$. Εἶναι δὲ τὸ $ΒΓ^2 = 5ΓΚ^2$· εἶναι ἄρα τὸ $ΓΚ^2 > $ τοῦ $ΓΔ^2$. Εἶναι ἄρα ἡ $ΓΚ > ΓΔ$. Ἂς ληφθῇ ἡ $ΓΛ = ΓΚ$, καὶ ἀπὸ τοῦ Λ ἂς ἀχθῇ κάθετος ἐπὶ τὴν ΑΒ ἡ ΛΜ, καὶ ἂς ἀχθῇ ἡ ΜΒ. Καὶ ἐπειδὴ τὸ $ΒΓ^2 = 5ΓΚ^2$, καὶ εἶναι τῆς μὲν ΒΓ διπλασία ἡ ΑΒ, τῆς δὲ ΓΚ διπλασία ἡ ΚΛ, εἶναι ἄρα τὸ $ΑΒ^2 = 5ΚΛ^2$. Εἶναι δὲ καὶ τὸ τετράγωνον τῆς διαμέτρου τῆς σφαίρας πενταπλάσιον τοῦ τετραγώνου τῆς ἀκτῖνος τοῦ κύκλου, ἀφ' οὗ ἀνεγράφη τὸ εἰκοσάεδρον (θ. 16 πόρ.). Καὶ εἶναι ἡ ΑΒ ἡ διάμετρος τῆς σφαίρας· ἡ ΚΛ ἄρα εἶναι ἀκτὶς τοῦ κύκλου, ἀφ' οὗ ἀνεγράφη τὸ εἰκοσάεδρον· ἡ ΚΛ ἄρα εἶναι πλευρὰ ἑξαγώνου ἐγγραφομένου εἰς τὸν εἰρημένον κύκλον (4. 15, πόρ.). Καὶ ἐπειδὴ ἡ διάμετρος τῆς σφαίρας σύγκειται ἐκ τῆς πλευρᾶς τοῦ ἑξαγώνου καὶ δύο πλευρῶν τοῦ δεκαγώνου, τῶν ἐγγραφομένων εἰς τὸν εἰρημένον κύκλον (θ. 16 πόρ.), καὶ εἶναι ἡ μὲν ΑΒ ἡ διάμετρος τῆς σφαίρας, ἡ δὲ ΚΛ ἡ πλευρὰ τοῦ ἑξαγώνου, καὶ ἡ $ΑΚ = ΛΒ$, εἶναι ἄρα ἑκατέρα τῶν ΑΚ, ΛΒ πλευρὰ τοῦ δεκαγώνου τοῦ ἐγγραφομένου εἰς τὸν κύκλον, ἀφ' οὗ ἀνεγράφη τὸ εἰκοσάεδρον. Καὶ ἐπειδὴ ἡ μὲν ΛΒ εἶναι πλευρὰ δεκαγώνου, ἑξαγώνου δὲ ἡ ΜΛ· διότι εἶναι ἴση πρὸς τὴν ΚΛ, ἐπειδὴ εἶναι ἴση καὶ πρὸς τὴν ΘΚ· διότι ἀπέχουσιν ἴσον ἀπὸ τοῦ κέντρου· καὶ εἶναι ἑκατέρα τῶν ΘΚ, ΚΛ διπλασία τῆς ΚΓ· εἶναι ἄρα ἡ ΜΒ πλευρὰ πενταγώνου (θεώρ. Χ καὶ I. 47). Ἡ δὲ πλευρὰ τοῦ πενταγώνου εἶναι πλευρὰ τοῦ εἰκοσαέδρου (θ. 16)· εἶναι ἄρα ἡ ΜΒ πλευρὰ εἰκοσαέδρου.

Καὶ ἐπειδὴ ἡ ΖΒ εἶναι πλευρὰ κύβου, ἂς τμηθῇ ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Ν, καὶ ἔστω μεγαλύτερον τμῆμα τὸ ΝΒ· ἡ ΝΒ ἄρα εἶναι πλευρὰ δωδεκαέδρου (θ. 17. πόρ.).

Καὶ ἐπειδὴ ἐδείχθη ὅτι τὸ τετράγωνον τῆς διαμέτρου τῆς σφαίρας εἶναι τὰ τρία δεύτερα μὲν τοῦ τετραγώνου τῆς πλευρᾶς ΑΖ τῆς πυραμίδος, διπλάσιον δὲ τοῦ τετραγώνου τῆς πλευρᾶς ΒΕ τοῦ ὀκταέδρου, τριπλάσιον δὲ τοῦ τετραγώνου τῆς πλευρᾶς ΖΒ τοῦ κύβου, ἐὰν εἶναι ἄρα τὸ τετράγωνον τῆς διαμέτρου τῆς σφαίρας ἴσον μὲ ἓξ τετράγωνα, τὸ τετράγωνον μὲν τῆς πλευρᾶς τῆς πυραμίδος εἶναι ἴσον μὲ τέσσαρα τοιαῦτα τετράγωνα, τὸ τετράγωνον δὲ τῆς πλευρᾶς τοῦ ὀκταέδρου ἴσον μὲ τρία τοιαῦτα τετράγωνα, καὶ τὸ τετράγωνον τῆς πλευρᾶς τοῦ κύβου ἴσον μὲ δύο τοιαῦτα τετράγωνα. Εἶναι ἄρα τὸ μὲν τε-

λήλας εἰσὶν ἐν λόγοις ῥητοῖς. αἱ δὲ λοιπαὶ δύο, λέγω δὴ ἥ τε τοῦ εἰκοσαέδρου καὶ ἡ τοῦ δωδεκαέδρου, οὔτε πρὸς ἀλλήλας οὔτε πρὸς τὰς προειρημένας εἰσὶν ἐν λόγοις ῥητοῖς· ἄλογοι γάρ εἰσιν, ἡ μὲν ἐλάττων, ἡ δὲ ἀποτομή.

Ὅτι μείζων ἐστὶν ἡ τοῦ εἰκοσαέδρου πλευρὰ ἡ ΜΒ τῆς τοῦ δωδεκαέδρου τῆς ΝΒ, δείξομεν οὕτως.

Ἐπεὶ γὰρ ἰσογώνιόν ἐστι τὸ ΖΔΒ τρίγωνον τῷ ΖΑΒ τριγώνῳ, ἀνάλογόν ἐστιν ὡς ἡ ΔΒ πρὸς τὴν ΒΖ, οὕτως ἡ ΒΖ πρὸς τὴν ΒΑ. καὶ ἐπεὶ τρεῖς εὐθεῖαι ἀνάλογόν εἰσιν, ἔστιν ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας· ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς τὴν ΒΑ, οὕτως τὸ ἀπὸ τῆς ΔΒ πρὸς τὸ ἀπὸ τῆς ΒΖ· ἀνάπαλιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΔ, οὕτως τὸ ἀπὸ τῆς ΖΒ πρὸς τὸ ἀπὸ τῆς ΒΔ. τριπλῆ δὲ ἡ ΑΒ τῆς ΒΔ· τριπλάσιον ἄρα τὸ ἀπὸ τῆς ΖΒ τοῦ ἀπὸ τῆς ΒΔ. ἔστι δὲ καὶ τὸ ἀπὸ τῆς ΑΔ τοῦ ἀπὸ τῆς ΔΒ τετραπλάσιον· διπλῆ γὰρ ἡ ΑΔ τῆς ΔΒ· μεῖζον ἄρα τὸ ἀπὸ τῆς ΑΔ τοῦ ἀπὸ τῆς ΖΒ· μείζων ἄρα ἡ ΑΔ τῆς ΖΒ· πολλῷ ἄρα ἡ ΑΛ τῆς ΖΒ μείζων ἐστίν. καὶ τῆς μὲν ΑΛ ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΚΛ, ἐπειδήπερ ἡ μὲν ΛΚ ἑξαγώνου ἐστίν, ἡ δὲ ΚΑ δεκαγώνου· τῆς δὲ ΖΒ ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΝΒ· μείζων ἄρα ἡ ΚΛ τῆς ΝΒ. ἴση δὲ ἡ ΚΛ τῇ ΛΜ· μείζων ἄρα ἡ ΛΜ τῆς ΝΒ [τῆς δὲ ΛΜ μείζων ἐστὶν ἡ ΜΒ]. πολλῷ ἄρα ἡ ΜΒ πλευρὰ οὖσα τοῦ εἰκοσαέδρου μείζων ἐστὶ τῆς ΝΒ πλευρᾶς οὔσης τοῦ δωδεκαέδρου· ὅπερ ἔδει δεῖξαι.

Λέγω δή, ὅτι παρὰ τὰ εἰρημένα πέντε σχήματα οὐ συσταθήσεται ἕτερον σχῆμα περιεχόμενον ὑπὸ ἰσοπλεύρων τε καὶ ἰσογωνίων ἴσων ἀλλήλοις.

Ὑπὸ μὲν γὰρ δύο τριγώνων ἢ ὅλως ἐπιπέδων στερεὰ γωνία οὐ συνίσταται. ὑπὸ δὲ τριῶν τριγώνων ἡ τῆς πυραμίδος, ὑπὸ δὲ τεσσάρων ἡ τοῦ ὀκταέδρου, ὑπὸ δὲ πέντε ἡ τοῦ εἰκοσαέδρου· ὑπὸ δὲ ἓξ τριγώνων ἰσοπλεύρων τε καὶ ἰσογωνίων πρὸς ἑνὶ σημείῳ συνισταμένων οὐκ ἔσται στερεὰ γωνία· οὔσης γὰρ τῆς τοῦ ἰσοπλεύρου τριγώνου γωνίας διμοίρου ὀρθῆς ἔσονται αἱ ἓξ τέσσαρσιν ὀρθαῖς ἴσαι· ὅπερ ἀδύνατον· ἅπασα γὰρ στερεὰ γωνία ὑπὸ ἐλασσόνων ἢ τεσσάρων ὀρθῶν περιέχεται. διὰ τὰ αὐτὰ δὴ οὐδὲ ὑπὸ πλειόνων ἢ ἓξ γωνιῶν ἐπιπέδων στερεὰ γωνία συνίσταται. ὑπὸ δὲ τετραγώνων τριῶν ἡ τοῦ κύβου γωνία περιέχεται· ὑπὸ δὲ τεσσάρων ἀδύνατον· ἔσονται γὰρ πάλιν τέσσαρες ὀρθαί. ὑπὸ δὲ τράγωνον τῆς πλευρᾶς τῆς πυραμίδος τὰ τέσσαρα τρίτα μὲν τοῦ τετραγώνου τῆς πλευρᾶς τοῦ ὀκταέδρου, διπλάσιον δὲ τοῦ τετραγώνου τῆς πλευρᾶς τοῦ κύβου, τὸ δὲ τετράγωνον τῆς πλευρᾶς τοῦ ὀκταέδρου εἶναι τὰ τρία δεύτερα τοῦ τετραγώνου τῆς πλευρᾶς τοῦ κύβου. Αἱ μὲν λοιπὸν εἰρημέναι πλευραὶ τῶν τριῶν σχημάτων, ἐννοῶ δηλαδὴ τῆς πυραμίδος, καὶ τοῦ ὀκταέδρου καὶ τοῦ κύβου, εἶναι πρὸς ἀλλήλας εἰς ῥητοὺς λόγους. Αἱ δὲ λοιπαὶ δύο, ἐννοῶ δηλαδὴ καὶ τὴν πλευρὰν τοῦ εἰκοσαέδρου καὶ τὴν τοῦ δωδεκαέδρου, οὔτε πρὸς ἀλλήλας οὔτε πρὸς τὰς προειρημένας εἶναι εἰς λόγους ῥητούς· διότι εἶναι ἄρρητοι, ἡ μὲν ὡς ἐλάσσων (θ. 16), ἡ δὲ ὡς ἀποτομὴ (θ. 17).

Ὅτι ἡ πλευρὰ τοῦ εἰκοσαέδρου ἡ ΜΒ εἶναι μεγαλυτέρα τῆς πλευρᾶς τοῦ δωδεκαέδρου τῆς ΝΒ, ἀποδεικνύομεν ὡς ἑξῆς.

Διότι, ἐπειδὴ τὸ τρίγωνον ΖΔΒ εἶναι ἰσογώνιον πρὸς τὸ τρίγωνον ΖΑΒ, (VI. 8), ἰσχύει ἡ ἀναλογία $\Delta B : BZ = BZ : BA$ (VI. 4). Καὶ ἐπειδὴ τρεῖς εὐθεῖαι εἶναι ἀνάλογοι, εἶναι ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ τετράγωνον τῆς πρώτης πρὸς τὸ τετράγωνον τῆς δευτέρας (V. ὁρ. 9)· εἶναι ἄρα ὡς ἡ $\Delta B : BA = \Delta B^2 : BZ^2$· ἀνάπαλιν ἄρα εἶναι ὡς ἡ $AB : B\Delta = ZB^2 : B\Delta^2$. Εἶναι δὲ ἡ $AB = 3\ B\Delta$· εἶναι ἄρα τὸ $ZB^2 = 3\ B\Delta^2$. Εἶναι δὲ καὶ τὸ $A\Delta^2 = 4\ \Delta B^2$· διότι ἡ $A\Delta = 2\Delta B$· εἶναι ἄρα τὸ $A\Delta^2 > $ τοῦ ZB^2· εἶναι ἄρα $A\Delta > ZB$· κατὰ μείζονα ἄρα λόγον εἶναι ἡ $A\Lambda > ZB$. Καὶ ὅταν μὲν ἡ ΑΛ τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΚΛ, ἐπειδὴ βεβαίως ἡ ΛΚ εἶναι πλευρὰ ἑξαγώνου, ἡ δὲ ΚΑ πλευρὰ δεκαγώνου (θ. 9)· ὅταν δὲ ἡ ΖΒ τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΝΒ· εἶναι ἄρα ἡ $K\Lambda > NB$. Εἶναι δὲ ἡ $K\Lambda = \Lambda M$· εἶναι ἄρα ἡ $\Lambda M > NB$ [τῆς δὲ ΛΜ εἶναι μεγαλυτέρα ἡ ΜΒ]. Κατὰ μείζονα ἄρα λόγον ἡ ΜΒ οὖσα πλευρὰ τοῦ εἰκοσαέδρου εἶναι μεγαλυτέρα τῆς ΝΒ, ἡ ὁποία εἶναι πλευρὰ τοῦ δωδεκαέδρου· ὅπερ ἔδει δεῖξαι.

Λέγω τώρα, ὅτι ἐκτὸς τῶν εἰρημένων πέντε σχημάτων οὐδὲν ἄλλο σχῆμα κατασκευάζεται περιεχόμενον ὑπὸ ἰσοπλεύρων καὶ ἰσογωνίων ἴσων πρὸς ἄλληλα.

Διότι ὑπὸ δύο μὲν τριγώνων ἢ ἐν γένει ἐπιπέδων δὲν κατασκευάζεται (τρίεδρος) στερεὰ γωνία (XI. ὁρισ. 11). Ὑπὸ δὲ τριῶν τριγώνων κατασκευάζεται ἡ στερεὰ γωνία τῆς πυραμίδος, ὑπὸ δὲ τεσσάρων ἡ τοῦ ὀκταέδρου, ὑπὸ δὲ πέντε ἡ τοῦ εἰκοσαέδρου· ὑπὸ δὲ ἓξ τριγώνων ἰσοπλεύρων καὶ ἰσογωνίων συνερχομένων πρὸς ἓν σημεῖον δὲν ὑπάρχει στερεὰ γωνία· διότι, ἐπειδὴ ἡ γωνία τοῦ ἰσοπλεύρου τριγώνου εἶναι δύο τρίτα ὀρθῆς, θὰ εἶναι αἱ ἓξ ἴσαι πρὸς τέσσαρας ὀρθάς· ὅπερ ἀδύνατον· διότι πᾶσα στερεὰ γωνία περιέχεται ὑπὸ μικροτέρων ἢ τεσσάρων ὀρθῶν (XI. 21). Διὰ τοὺς αὐτοὺς λόγους οὐδὲ ὑπὸ περισσοτέρων τῶν ἓξ ἐπιπέδων γωνιῶν εἶναι δυνατὸν νὰ κατασκευασθῇ στερεὰ *πενταγώνων ἰσοπλεύρων καὶ ἰσογωνίων, ὑπὸ μὲν τριῶν ἡ τοῦ δωδεκαέδρου· ὑπὸ δὲ τεσσάρων ἀδύνατον· οὔσης γὰρ τῆς τοῦ πενταγώνου ἰσοπλεύρου γωνίας ὀρθῆς καὶ πέμπτου, ἔσονται αἱ τέσσαρες γωνίαι τεσσάρων ὀρθῶν μείζους· ὅπερ ἀδύνατον. οὐδὲ μὴν ὑπὸ πολυγώνων ἑτέρων σχημάτων περισχεθήσεται στερεὰ γωνία διὰ τὸ αὐτὸ ἄτοπον.*

Οὐκ ἄρα παρὰ τὰ εἰρημένα πέντε σχήματα ἕτερον σχῆμα στερεὸν συσταθήσεται ὑπὸ ἰσοπλεύρων τε καὶ ἰσογωνίων περιεχόμενον· ὅπερ ἔδει δεῖξαι.

Λῆμμα.

Ὅτι δὲ ἡ τοῦ ἰσοπλεύρου καὶ ἰσογωνίου πενταγώνου γωνία ὀρθή ἐστι καὶ πέμπτου, οὕτω δεικτέον.

Ἔστω γὰρ πεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον τὸ ΑΒΓΔΕ, καὶ περιγεγράφθω περὶ αὐτὸ κύκλος ὁ ΑΒΓΔΕ, καὶ εἰλήφθω αὐτοῦ τὸ κέντρον τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ. δίχα ἄρα τέμνουσι τὰς πρὸς τοῖς Α, Β, Γ, Δ, Ε τοῦ πενταγώνου γωνίας. καὶ ἐπεὶ αἱ πρὸς τῷ Ζ πέντε γωνίαι τέσσαρσιν ὀρθαῖς ἴσαι εἰσὶ καί εἰσιν ἴσαι, μία ἄρα αὐτῶν, ὡς ἡ ὑπὸ ΑΖΒ, μιᾶς ὀρθῆς ἐστι παρὰ πέμπτον· λοιπαὶ ἄρα αἱ ὑπὸ ΖΑΒ, ΑΒΖ μιᾶς εἰσιν ὀρθῆς καὶ πέμπτου. ἴση δὲ ἡ ὑπὸ ΖΑΒ τῇ ὑπὸ ΖΒΓ· καὶ



ὅλη ἄρα ἡ ὑπὸ ΑΒΓ τοῦ πενταγώνου γωνία μιᾶς ἐστιν ὀρθῆς καὶ πέμπτου· ὅπερ ἔδει δεῖξαι.

γωνία. Ὑπὸ τριῶν δὲ τετραγώνων περιέχεται ἡ γωνία τοῦ κύβου· ὑπὸ δὲ τεσσάρων ἀδύνατον· διότι θὰ εἶναι πάλιν τέσσαρες ὀρθαί. Ὑπὸ δὲ πενταγώνων ἰσοπλεύρων καὶ ἰσογωνίων, ὑπὸ μὲν τριῶν περιέχεται ἡ γωνία τοῦ δωδεκαέδρου· ὑπὸ δὲ τεσσάρων εἶναι ἀδύνατον νὰ περιέχεται· διότι, ἐπειδὴ ἡ γωνία τοῦ ἰσοπλεύρου πενταγώνου εἶναι μία καὶ ἓν πέμπτον ὀρθῆς, θὰ εἶναι αἱ τέσσαρες γωνίαι μεγαλύτεραι τῶν τεσσάρων ὀρθῶν· ὅπερ ἀδύνατον. Ὅμως οὐδὲ ὑπὸ ἑτέρων πολυγώνων σχημάτων εἶναι δυνατὸν νὰ σχηματισθῇ στερεὰ γωνία διὰ τὸ αὐτὸ ἄτοπον.

Δὲν κατασκευάζεται ἄρα ἄλλο στερεὸν σχῆμα περιεχόμενον ὑπὸ ἰσοπλεύρων καὶ ἰσογωνίων σχημάτων ἐκτὸς τῶν εἰρημένων πέντε σχημάτων· ὅπερ ἔδει δεῖξαι.

Λῆμμα.

Ὅτι δὲ ἡ γωνία τοῦ ἰσοπλεύρου καὶ ἰσογωνίου πενταγώνου εἶναι μία καὶ ἓν πέμπτον ὀρθῆς, ἀποδεικνύεται ὡς ἑξῆς.

Διότι ἔστω πεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον τὸ ΑΒΓΔΕ, καὶ ἂς περιγραφῇ περὶ αὐτὸ κύκλος ὁ ΑΒΓΔΕ (IV. 14), καὶ ἂς ληφθῇ αὐτοῦ τὸ κέντρον τὸ Ζ (III. 1), καὶ ἂς ἀχθῶσιν αἱ ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ. Ἄρα τέμνουσιν αὗται τὰς παρὰ τὰ Α, Β, Γ, Δ, Ε γωνίας τοῦ πενταγώνου δίχα. Καὶ ἐπειδὴ αἱ παρὰ τὸ Ζ γωνίαι εἶναι ἴσαι καὶ ἰσοῦνται πρὸς τέσσαρας ὀρθάς, μία ἄρα ἐξ αὐτῶν, ὡς ἡ ΑΖΒ εἶναι μία ὀρθὴ μεῖον ἓν πέμπτον· αἱ λοιπαὶ ἄρα αἱ ΖΑΒ + ΑΒΖ εἶναι μία ὀρθὴ καὶ ἓν πέμπτον. Εἶναι δὲ ἴση ἡ ΖΑΒ πρὸς τὴν ΖΒΓ· καὶ ὅλη ἄρα ἡ γωνία ΑΒΓ τοῦ πενταγώνου εἶναι μία ὀρθὴ καὶ ἓν πέμπτον· ὅπερ ἔδει δεῖξαι.

ΠΑΡΑΡΤΗΜΑ I.

ΕΤΕΡΑΙ ΑΠΟΔΕΙΞΕΙΣ

1.

Εἰς βιβλ. XI θεώρ. 22

Ἄλλως.

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς γωνίαι ἐπίπεδοι αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, ὧν αἱ δύο τῆς λοιπῆς μείζονες ἔστωσαν πάντῃ μεταλαμβανόμεναι, περιεχέτωσαν δὲ αὐτὰς ἴσαι εὐθεῖαι αἱ ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΔΖ, ΗΚ. λέγω, ὅτι δυνατόν ἐστιν ἐκ τῶν ἴσων ταῖς ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συστήσασθαι, τουτέστι πάλιν ὅτι αἱ δύο τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι.

εἰ μὲν οὖν πάλιν αἱ πρὸς τοῖς Β, Ε, Θ σημείοις γωνίαι ἴσαι εἰσίν, ἴσαι ἔσονται καὶ αἱ ΑΓ, ΔΖ, ΗΚ, καὶ ἔσονται αἱ δύο τῆς λοιπῆς μείζονες. εἰ δὲ οὔ,



ἔστωσαν ἄνισοι αἱ πρὸς τοῖς Β, Ε, Θ σημείοις γωνίαι, καὶ μείζων ἡ πρὸς τῷ Β ἑκατέρας τῶν πρὸς τοῖς Ε, Θ· μείζων ἄρα ἔσται καὶ ἡ ΑΓ εὐθεῖα ἑκατέρας τῶν ΔΖ, ΗΚ. καὶ φανερόν, ὅτι ἡ ΑΓ μετὰ ἑκατέρας τῶν ΔΖ, ΗΚ τῆς λοιπῆς μείζονές εἰσι. λέγω, ὅτι καὶ αἱ ΔΖ, ΗΚ τῆς ΑΓ μείζονές εἰσι. συνεστάτω πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β τῇ ὑπὸ ΗΘΚ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΒΛ, καὶ κείσθω μιᾷ τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ ἴση ἡ ΒΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΛ, ΛΓ. καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΛ δυσὶ ταῖς ΗΘ, ΘΚ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνίας ἴσας περιέχουσιν, βάσις ἄρα ἡ ΑΛ βάσει τῇ ΗΚ ἴση ἐστίν. καὶ ἐπεὶ αἱ πρὸς τοῖς Ε, Θ σημείοις γωνίαι τῆς ὑπὸ ΑΒΓ μείζονές εἰσιν, ὧν ἡ ὑπὸ ΗΘΚ τῇ ὑπὸ ΑΒΛ ἐστιν ἴση, λοιπὴ ἄρα ἡ πρὸς τῷ Ε γωνία τῆς ὑπὸ ΛΒΓ μείζων ἐστίν. καὶ ἐπεὶ δύο αἱ ΛΒ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΔΕΖ γωνίας τῆς ὑπὸ ΛΒΓ μείζων, βάσις ἄρα ἡ ΔΖ βάσεως τῆς ΛΓ μείζων ἐστίν. ἴση δὲ ἐδείχθη ἡ ΗΚ τῇ ΑΛ· αἱ ἄρα ΔΖ, ΗΚ τῶν ΑΛ, ΛΓ μείζονές εἰσιν· ἀλλὰ αἱ ΑΛ, ΛΓ τῆς ΑΓ μείζονές

ΑΛΛΑΙ ΑΠΟΔΕΙΞΕΙΣ

1.

Εἰς τὸ βιβλίον XI θεώρ. 22.

Ἄλλως.

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς ἐπίπεδοι γωνίαι αἱ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, τῶν ὁποίων αἱ δύο ἔστωσαν μεγαλύτεραι τῆς ἄλλης καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται, ἂς περιέχωσι δὲ αὐτὰς ἴσαι εὐθεῖαι, αἱ ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ, καὶ ἂς ἀχθῶσιν αἱ ΑΓ, ΔΖ, ΗΚ. Λέγω, ὅτι εἶναι δυνατὸν ἐκ τῶν ἴσων πρὸς τὰς ΑΓ, ΔΖ, ΗΓ νὰ κατασκευασθῇ τρίγωνον, τουτέστι πάλιν ὅτι αἱ δύο εἶναι μεγαλύτεραι τῆς ἄλλης καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται.

Ἐὰν μὲν λοιπὸν πάλιν αἱ παρὰ τὰ σημεῖα, Β, Ε, Θ γωνίαι εἶναι ἴσαι, θὰ εἶναι ἴσαι καὶ αἱ ΑΓ, ΔΖ, ΗΚ, καὶ θὰ εἶναι αἱ δύο μεγαλύτεραι τῆς λοιπῆς. Ἐὰν δὲ ὄχι, ἔστωσαν ἄνισοι αἱ παρὰ τὰ σημεῖα Β, Ε, Θ γωνίαι καὶ μεγαλυτέρα ἡ παρὰ τὸ Β ἑκατέρας τῶν παρὰ τὰ σημεῖα Ε, Θ· θὰ εἶναι ἄρα καὶ ἡ εὐθεῖα ΑΓ μεγαλυτέρα ἑκατέρας τῶν ΔΖ, ΗΚ (I. 24). Καὶ εἶναι φανερόν, ὅτι ἡ ΑΓ $+$ ΔΖ $>$ ΗΚ καὶ ΑΓ $+$ ΗΚ $>$ ΔΖ. Λέγω, ὅτι καὶ αἱ ΔΖ $+$ ΗΚ $>$ ΑΓ. Διότι ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΑΒ καὶ μὲ κορυφὴν τὸ ἐπ' αὐτῆς σημεῖον τὸ Β, ἡ γωνία ΑΒΛ ἴση πρὸς τὴν γωνίαν ΗΘΚ (I. 23), καὶ ἂς ληφθῇ πρὸς μίαν τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ ἴση ἡ ΒΛ, καὶ ἂς ἀχθῶσιν αἱ ΑΛ, ΛΓ. Καὶ ἐπειδὴ δύο αἱ ΑΒ, ΒΛ πρὸς δύο τὰς ΗΘ, ΘΚ εἶναι ἴσαι ἀντιστοίχως, καὶ περιέχουσιν ἴσας γωνίας, ἡ βάσις ἄρα ἡ ΑΛ εἶναι ἴση πρὸς τὴν βάσιν ΗΚ (I. 4). Καὶ ἐπειδὴ αἱ παρὰ τὰ σημεῖα Ε, Θ γωνίαι εἶναι μεγαλύτεραι τῆς ΑΒΓ, τῶν ὁποίων ἡ ΗΘΚ $=$ ΑΒΛ, ἡ λοιπὴ ἄρα ἡ παρὰ τὸ Ε γωνία εἶναι μεγαλυτέρα τῆς ΛΒΓ. Καὶ ἐπειδὴ δύο αἱ ΛΒ, ΒΓ εἶναι ἴσαι πρὸς δύο τὰς ΔΕ, ΕΖ ἀντιστοίχως, καὶ ἡ γωνία ΔΕΖ $>$ ΛΒΓ, ἡ βάσις ἄρα ΔΖ εἶναι μεγαλυτέρα τῆς βάσεως ΛΓ. Ἐδείχθη δὲ ΗΚ $=$ ΑΛ· εἶναι ἄρα ΔΖ $+$ ΗΚ $>$ ΑΛ $+$ ΛΓ· ἀλλὰ αἱ ΑΛ $+$ ΛΓ $>$ ΑΓ· κατὰ μείζονα ἄρα λόγον εἶναι ΔΖ $+$ΗΚ $>$ ΑΓ. Τῶν εὐθειῶν ἄρα ΑΓ, ΔΖ, ΗΚ αἱ δύο εἶναι μεγαλύτεραι τῆς λοιπῆς καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται· εἶναι δυνατὸν ἄρα ἐκ τῶν ἴσων πρὸς τὰς ΑΓ, ΔΖ, ΗΚ νὰ κατασκευασθῇ τρίγωνον· ὅπερ ἔδει δεῖξαι.

εἰσι· πολλῷ ἄρα αἱ ΔΖ, ΗΚ τῆς ΑΓ μείζονές εἰσιν. τῶν ΑΓ, ΔΖ, ΗΚ ἄρα εὐθειῶν αἱ δύο τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι· δυνατὸν ἄρα ἐστὶν ἐκ τῶν ἴσων ταῖς ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συστήσασθαι· ὅπερ ἔδει δεῖξαι.

2.

Εἰς βιβλ. XI θεώρ. 23.

Ἀλλὰ δὴ ἔστω τὸ κέντρον τοῦ κύκλου ἐπὶ μιᾶς τῶν πλευρῶν τοῦ τριγώνου τῆς ΜΝ, καὶ ἔστω τὸ Ξ, καὶ ἐπεζεύχθω ἡ ΞΛ. λέγω πάλιν, ὅτι μείζων ἐστὶν ἡ ΑΒ τῆς ΛΞ. εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν ἡ ΑΒ τῇ ΛΞ ἢ ἐλάττων. ἔστω πρότερον ἴση. δύο δὴ αἱ ΑΒ, ΒΓ, τουτέστιν αἱ ΔΕ, ΕΖ, δύο ταῖς ΜΞ, ΞΛ, τουτέστι τῇ ΜΝ, ἴσαι εἰσίν. ἀλλὰ ἡ ΜΝ τῇ ΔΖ κεῖται ἴση. καὶ αἱ ΔΕ, ΕΖ ἄρα τῇ ΔΖ ἴσαι εἰσίν· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ΑΒ ἴση ἐστὶ τῇ ΛΞ. ὁμοίως δὴ οὐδὲ ἐλάττων· πολλῷ γὰρ τὸ ἀδύνατον μεῖζον. ἡ ἄρα ΑΒ μείζων ἐστὶ τῆς ΛΞ. καὶ ἐὰν ὁμοίως, ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ, ἐκείνῳ ἴσον πρὸς ὀρθὰς τῷ τοῦ



κύκλου ἐπιπέδῳ ἀναστήσωμεν ὡς τὸ ἀπὸ τῆς ΞΡ, συσταθήσεται τὸ πρόβλημα.

ἀλλὰ δὴ ἔστω τὸ κέντρον τοῦ κύκλου ἐκτὸς τοῦ ΛΜΝ τριγώνου καὶ ἔστω τὸ Ξ, καὶ ἐπεζεύχθωσαν αἱ ΛΞ, ΜΞ. λέγω δὴ καὶ οὕτως, ὅτι μείζων ἐστὶν ἡ ΑΒ τῆς ΛΞ. εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν ἢ ἐλάττων. ἔστω πρότερον ἴση. δύο οὖν αἱ ΑΒ, ΒΓ δύο ταῖς ΜΞ, ΞΛ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ ΑΓ βάσει τῇ ΜΛ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΜΞΛ ἴση ἐστίν. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΗΘΚ τῇ ὑπὸ ΛΞΝ ἐστιν ἴση. ὅλη ἄρα ἡ ὑπὸ ΜΞΝ δύο ταῖς ΑΒΓ, ΗΘΚ ἐστιν ἴση. ἀλλὰ αἱ ὑπὸ ΑΒΓ, ΗΘΚ τῆς ὑπὸ ΔΕΖ μείζονές εἰσιν. καὶ ἡ ὑπὸ ΜΞΝ ἄρα τῆς ὑπὸ ΔΕΖ μείζων ἐστίν. καὶ ἐπεὶ δύο αἱ ΔΕ, ΕΖ δύο ταῖς ΜΞ, ΞΝ ἴσαι εἰσίν, καὶ βάσις ἡ ΔΖ βάσει τῇ ΜΝ ἴση, γωνία ἄρα ἡ ὑπὸ ΜΞΝ γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση. ἐδείχθη δὲ καὶ μείζων· ὅπερ ἄτοπον. οὐκ ἄρα



ἴση ἐστὶν ἡ ΑΒ τῇ ΛΞ. ἑξῆς δὲ δείξομεν, ὅτι οὐδὲ ἐλάττων. μείζων ἄρα. καὶ ἐὰν πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ἐπιπέδῳ πάλιν ἀναστήσωμεν τὴν ΞΡ καὶ ἴσην αὐτὴν ἀποθώμεθα, ᾧ μεῖζον δύναται τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ, συσταθήσεται τὸ πρόβλημα.

λέγω δή, ὅτι οὐδὲ ἐλάττων ἐστὶν ἡ ΑΒ τῆς ΛΞ. εἰ γὰρ δυνατόν, ἔστω. καὶ κείσθω τῇ μὲν ΑΒ ἴση ἡ ΞΟ, τῇ δὲ ΒΓ ἴση ἡ ΞΠ, καὶ ἐπεζεύχθω ἡ ΟΠ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΒΓ, ἴση ἐστὶ καὶ ἡ ΞΟ τῇ ΞΠ. ὥστε καὶ λοιπὴ ἡ ΟΛ λοιπῇ τῇ ΠΜ ἐστιν ἴση. παράλληλος ἄρα ἐστὶν ἡ ΛΜ τῇ ΠΟ, καὶ ἰσογώνιον

2.

Εἰς τὸ βιβλ. XI θεώρ. 23.

Ἀλλ' ἔστω τὸ κέντρον τοῦ κύκλου ἐπὶ μιᾶς τῶν πλευρῶν τοῦ τριγώνου τῆς ΜΝ, καὶ ἔστω τὸ Ξ, καὶ ἃς ἀχθῇ ἡ ΞΛ. Λέγω πάλιν ὅτι εἶναι ΑΒ $>$ ΛΞ. Διότι ἐὰν δὲν εἶναι, θὰ εἶναι ΑΒ $\overline{\overline{<}}$ ΛΞ. Ἔστω πρότερον ἴση. Εἶναι λοιπὸν δύο αἱ ΑΒ, ΒΓ, τουτέστιν αἱ ΔΕ, ΕΖ, πρὸς δύο τὰς ΜΞ, ΞΛ, τουτέστι πρὸς τὴν ΜΝ, ἴσαι. Ἀλλὰ ἐλήφθη ΜΝ $=$ ΔΖ. Εἶναι ἄρα καὶ αἱ ΔΕ $+$ ΕΖ ἴσαι πρὸς τὴν ΔΖ· ὅπερ ἀδύνατον. Δὲν εἶναι ἄρα ἡ ΑΒ ἴση πρὸς τὴν ΛΞ. Ὁμοίως δὲ ἀποδεικνύεται ὅτι δὲν εἶναι οὔτε μικροτέρα. Διότι κατὰ μείζονα λόγον τὸ ἀδύνατον θὰ εἶναι μεγαλύτερον. Εἶναι ἄρα ΑΒ $>$ ΛΞ. Καὶ ἐὰν ὁμοίως ἀνυψώσωμεν τὴν ΞΡ κάθετον ἐπὶ τὸ ἐπίπεδον τοῦ κύκλου, ὥστε νὰ εἶναι ΞΡ^2 $=$ ΑΒ^2 $-$ ΛΞ^2, συντίθεται πάλιν τὸ πρόβλημα.

Ἀλλὰ τώρα ἔστω τὸ κέντρον τοῦ κύκλου ἐκτὸς τοῦ τριγώνου καὶ ἔστω τὸ Ξ, καὶ ἃς ἀχθῶσιν αἱ ΛΞ, ΜΞ. Λέγω τώρα, ὅτι καὶ τοιουτοτρόπως εἶναι ΑΒ $>$ ΛΞ. Διότι ἐὰν δὲν εἶναι, θὰ εἶναι ἢ ἴση ἢ μικροτέρα. Ἔστω πρότερον ἴση. Ὑπάρχουσι λοιπὸν δύο πλευραὶ αἱ ΑΒ, ΒΓ ἴσαι πρὸς δύο τὰς ΜΞ, ΞΛ ἀντιστοίχως, καὶ ἡ βάσις ΑΓ ἴση πρὸς τὴν βάσιν ΜΛ· ἡ γωνία ἄρα ΑΒΓ εἶναι ἴση πρὸς τὴν ΜΞΛ (Ι. 8). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΗΘΚ εἶναι ἴση πρὸς τὴν ΛΞΝ. Ὅλη ἄρα ἡ ΜΞΝ εἶναι ἴση πρὸς ΑΒΓ $+$ ΗΘΚ. Ἀλλὰ αἱ ΑΒΓ $+$ ΗΘΚ $>$ ΔΕΖ. Εἶναι ἄρα καὶ ἡ ΜΞΝ $>$ ΔΕΖ. Καὶ ἐπειδὴ δύο πλευραὶ αἱ ΔΕ, ΕΖ εἶναι ἴσαι πρὸς δύο τὰς ΜΞ, ΞΝ, καὶ ἡ βάσις ΔΖ εἶναι ἴση πρὸς τὴν βάσιν ΜΝ, εἶναι ἄρα ἡ γωνία ΜΝΞ ἴση πρὸς τὴν ΔΕΖ (Ι. 8). Ἐδείχθη δὲ καὶ μεγαλυτέρα· ὅπερ ἄτοπον. Δὲν εἶναι ἄρα ἡ ΑΒ ἴση πρὸς τὴν ΛΞ. Ἐν συνεχείᾳ δὲ θὰ ἀποδείξωμεν ὅτι δὲν εἶναι οὔτε μικροτέρα. Εἶναι ἄρα μεγαλυτέρα. Καὶ ἐὰν πάλιν ἀνυψώσωμεν τὴν ΞΡ κάθετον ἐπὶ τὸ ἐπίπεδον τοῦ κύκλου καὶ λάβωμεν αὐτὴν οὕτως, ὥστε ΞΡ^2 $=$ ΑΒ^2 $-$ ΛΞ^2, πάλιν συντίθεται τὸ πρόβλημα.

Λέγω λοιπόν, ὅτι οὔτε μικροτέρα εἶναι ἡ ΑΒ τῆς ΛΞ. Διότι ἐὰν εἶναι δυνατόν, ἔστω. Καὶ ἃς ληφθῇ πρὸς μὲν τὴν ΑΒ ἴση ἡ ΞΟ, πρὸς δὲ τὴν ΒΓ ἴση ἡ ΞΠ καὶ ἃς ἀχθῇ ἡ ΟΠ. Καὶ ἐπειδὴ εἶναι ΑΒ $=$ΒΓ, εἶναι καὶ ΞΟ $=$ ΞΠ. Ὥστε καὶ ἡ λοιπὴ ἡ ΟΛ εἶναι ἴση πρὸς τὴν λοιπὴν τὴν ΠΜ. Εἶναι ἄρα ἡ ΛΜ τὸ ΛΜΞ τρίγωνον τῷ ΠΞΟ τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ ΞΛ πρὸς τὴν ΛΜ, ἡ ΞΟ πρὸς τὴν ΟΠ, καὶ ἐναλλὰξ ὡς ἡ ΛΞ πρὸς τὴν ΞΟ, οὕτως ἡ ΛΜ πρὸς τὴν ΟΠ. μείζων δὲ ἡ ΛΞ τῆς ΞΟ· μείζων ἄρα καὶ ἡ ΛΜ τῆς ΟΠ. ἀλλὰ ἡ ΛΜ τῇ ΑΓ ἐστιν ἴση· καὶ ἡ ΑΓ ἄρα τῆς ΟΠ ἐστι μείζων. ἐπεὶ οὖν δύο αἱ ΑΒ, ΒΓ δύο ταῖς ΟΞ, ΞΠ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ ΑΓ βάσεως τῆς ΟΠ μείζων ἐστίν, γωνία ἄρα ἡ ὑπὸ ΑΒΓ γωνίας τῆς ὑπὸ ΟΞΠ μείζων ἐστίν. ὁμοίως δὴ κἂν τὴν ΞΡ ἴσην ἑκατέρᾳ τῶν ΞΟ, ΞΠ ἀπολάβωμεν καὶ ἐπιζεύξωμεν τὴν ΟΡ, δείξομεν, ὅτι καὶ ἡ ὑπὸ ΗΘΚ γωνία τῆς ὑπὸ ΟΞΡ μείζων ἐστίν. συνεστάτω δὴ πρὸς τῇ ΛΞ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ξ τῇ μὲν ὑπὸ ΑΒΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΛΞΣ, τῇ δὲ ὑπὸ ΗΘΚ ἴση ἡ ὑπὸ ΛΞΤ, καὶ κείσθω ἑκατέρα τῶν ΞΣ, ΞΤ τῇ ΟΞ ἴση, καὶ ἐπεζεύχθωσαν αἱ ΟΣ, ΟΤ, ΣΤ. καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΓ δύο ταῖς ΟΞ, ΞΣ ἴσαι εἰσίν, καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΟΞΣ ἴση, βάσις ἄρα ἡ ΑΓ, τουτέστιν ἡ ΛΜ, βάσει τῇ ΟΣ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΛΝ τῇ ΟΤ ἴση ἐστίν. καὶ ἐπεὶ δύο αἱ ΜΛ, ΛΝ δύο ταῖς ΣΟ, ΟΤ ἴσαι εἰσίν, καὶ γωνία ἡ ὑπὸ ΜΛΝ γωνίας τῆς ὑπὸ ΣΟΤ μείζων ἐστίν, βάσις ἄρα ἡ ΜΝ βάσεως τῆς ΣΤ μείζων ἐστίν. ἀλλὰ ἡ ΜΝ τῇ ΔΖ ἐστιν ἴση· καὶ ἡ ΔΖ ἄρα τῆς ΣΤ μείζων ἐστίν. ἐπεὶ οὖν δύο αἱ ΔΕ, ΕΖ δύο ταῖς ΣΞ, ΞΤ ἴσαι εἰσίν, καὶ βάσις ἡ ΔΖ βάσεως τῆς ΣΤ μείζων, γωνία ἄρα ἡ ὑπὸ ΔΕΖ γωνίας τῆς ὑπὸ ΣΞΤ μείζων ἐστίν. ἴση δὲ ἡ ὑπὸ ΣΞΤ ταῖς ὑπὸ ΑΒΓ, ΗΘΚ. ἡ ἄρα ὑπὸ ΔΕΖ τῶν ὑπὸ ΑΒΓ, ΗΘΚ μείζων ἐστίν. ἀλλὰ καὶ ἐλάττων· ὅπερ ἀδύνατον.

3.

Εἰς βιβλ. XI θεώρ. 38.

Ἐὰν ἐπίπεδον πρὸς ἐπίπεδον ὀρθὸν ᾖ, καὶ ἀπό τινος σημείου τῶν ἐν ἑνὶ τῶν ἐπιπέδων ἐπὶ τὸ ἕτερον ἐπίπεδον κάθετος ἀχθῇ, ἐπὶ τῆς κοινῆς τομῆς πεσεῖται τῶν ἐπιπέδων ἡ ἀγομένη κάθετος.

ἐπίπεδον γὰρ τὸ ΓΑ ἐπιπέδῳ τῷ ΑΒ πρὸς ὀρθὰς ἔστω, κοινὴ δὲ αὐτῶν τομὴ ἔστω ἡ ΔΑ, καὶ εἰλήφθω ἐπὶ τοῦ ΓΔ ἐπιπέδου τυχὸν σημεῖον τὸ Ε· λέγω, ὅτι ἡ ἀπὸ τοῦ Ε ἐπὶ τὸ ΑΒ ἐπίπεδον κάθετος ἀγομένη ἐπὶ τῆς ΔΑ πεσεῖται.



μὴ γάρ, ἀλλ' εἰ δυνατόν, πιπτέτω ἐκτὸς ὡς ἡ ΕΖ, καὶ συμβαλλέτω τῷ ΑΒ ἐπιπέδῳ κατὰ τὸ Ζ σημεῖον, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΔΑ ἐν τῷ ΑΒ ἐπιπέδῳ κάθετος ἔστω ἡ ΖΗ, ἥτις καὶ τῷ ΓΔ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν, καὶ ἐπεζεύχθω ἡ ΕΗ. ἐπεὶ οὖν ἡ ΖΗ τῷ ΓΔ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν, ἅπτεται δὲ αὐτῆς ἡ ΕΗ οὖσα ἐν τῷ ΓΔ ἐπιπέδῳ, παράλληλος πρὸς τὴν ΠΟ (VI. 2) καὶ τὸ τρίγωνον ΛΜΞ εἶναι ἰσογώνιον πρὸς τὸ τρίγωνον ΠΞΟ (I. 29). Εἶναι ἄρα ΞΛ : ΛΜ = ΞΟ : ΟΠ, καὶ ἐναλλὰξ ΛΞ : ΞΟ = ΛΜ : ΟΠ. Εἶναι δὲ ΛΞ > ΞΟ· εἶναι ἄρα καὶ ΛΜ > ΟΠ (V. 14). Ἀλλὰ ΛΜ = ΑΓ· εἶναι ἄρα καὶ ΑΓ > ΟΠ. Ἐπειδὴ λοιπὸν δύο αἱ ΑΒ, ΒΓ εἶναι ἴσαι πρὸς δύο τὰς ΟΞ, ΞΠ ἀντιστοίχως, καὶ ἡ βάσις ΑΓ εἶναι μεγαλυτέρα τῆς βάσεως ΟΠ, ἡ γωνία ἄρα ΑΒΓ εἶναι μεγαλυτέρα τῆς γωνίας ΟΞΠ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ἐὰν λάβωμεν τὴν ΞΡ ἴσην πρὸς ἑκατέραν τῶν ΞΟ, ΞΠ καὶ φέρωμεν τὴν[1] ΟΡ, ὅτι καὶ ἡ γωνία ΗΘΚ εἶναι μεγαλυτέρα τῆς γωνίας ΟΞΡ. Ἂς κατασκευασθῇ λοιπὸν ἐπὶ τῆς εὐθείας ΛΞ καὶ τοῦ ἐπ' αὐτῆς σημείου τοῦ Ξ, ὡς κορυφῆς, γωνία ΛΞΣ = ΑΒΓ καὶ γωνία ΛΞΤ = ΗΘΚ, καὶ ἂς ληφθῇ ἑκατέρα τῶν ΞΣ, ΞΤ ἴση πρὸς τὴν ΟΞ, καὶ ἂς ἀχθῶσιν αἱ ΟΣ, ΟΤ, ΣΤ. Καὶ ἐπειδὴ δύο αἱ ΑΒ, ΒΓ εἶναι ἴσαι πρὸς δύο τὰς ΟΞ, ΞΣ, καὶ ἡ γωνία ΑΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΟΞΣ, ἡ βάσις ἄρα ἡ ΑΓ, τουτέστιν ἡ ΛΜ, εἶναι ἴση πρὸς τὴν βάσιν ΟΣ (I. 4). Διὰ τοὺς αὐτοὺς λόγους εἶναι καὶ ΛΝ = ΟΤ. Καὶ ἐπειδὴ δύο αἱ ΜΛ, ΛΝ, εἶναι ἴσαι πρὸς δύο τὰς ΣΟ, ΟΤ, καὶ ἡ γωνία ΜΛΝ εἶναι μεγαλυτέρα τῆς γωνίας ΣΟΤ, εἶναι ἄρα ἡ βάσις ΜΝ μεγαλυτέρα τῆς βάσεως ΣΤ (I. 24). Ἀλλὰ ΜΝ = ΔΖ· εἶναι ἄρα καὶ ΔΖ > ΣΤ. Ἐπειδὴ λοιπὸν δύο αἱ ΔΕ, ΕΖ εἶναι ἴσαι πρὸς δύο τὰς ΣΞ, ΞΤ, καὶ ἡ βάσις ΔΣ εἶναι μεγαλυτέρα τῆς βάσεως ΣΤ, εἶναι ἄρα ἡ γωνία ΔΕΖ μεγαλυτέρα τῆς γωνίας ΣΞΤ (I. 25). Εἶναι δὲ ἡ ΣΞΤ = ΑΒΓ + ΗΘΚ. Ἡ γωνία ἄρα ΔΕΖ > ΑΒΓ + ΗΘΚ. Ἀλλὰ καὶ μικροτέρα· ὅπερ ἀδύνατον.

[1. Σημ. Πρόκειται περὶ τῆς ΟΡ ἐντὸς τοῦ κύκλου.]

3.

Εἰς τὸ βιβλ. XI θεώρ. 38.

Ἐὰν ἐπίπεδον εἶναι κάθετον ἐπὶ ἐπίπεδον, καὶ ἀπό τινος σημείου ἑνὸς τῶν ἐπιπέδων ἀχθῇ κάθετος ἐπὶ τὸ ἄλλο ἐπίπεδον, ἡ ἀγομένη κάθετος θὰ πέσῃ ἐπὶ τῆς κοινῆς τομῆς τῶν ἐπιπέδων.

Διότι ἔστω τὸ ἐπίπεδον ΓΔ κάθετον ἐπὶ τὸ ἐπίπεδον ΑΒ, κοινὴ δὲ αὐτῶν τομὴ ἔστω ἡ ΔΑ, καὶ ἂς ληφθῇ ἐπὶ τοῦ ἐπιπέδου ΓΔ τυχὸν σημεῖον τὸ Ε· λέγω, ὅτι ἡ κάθετος ἡ ἀγομένη ἀπὸ τοῦ Ε ἐπὶ τὸ ἐπίπεδον ΑΒ θὰ πέσῃ ἐπὶ τῆς ΔΑ.

Διότι ἂς μὴ πέσῃ, καὶ εἰ δυνατόν, ἂς πέσῃ ἐκτὸς ὡς ἡ ΕΖ, καὶ ἂς συναντᾷ τὸ ἐπίπεδον ΑΒ κατὰ τὸ σημεῖον Ζ, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΔΑ ἐν τῷ ἐπιπέδῳ ΑΒ ἔστω κάθετος ἡ ΖΗ, ἡ ὁποία εἶναι κάθετος καὶ ἐπὶ τὸ ἐπίπεδον ΓΔ (XI. ὁρ. 4), καὶ ἂς ἐπιζευχθῇ ἡ ΕΗ. Ἐπειδὴ λοιπὸν ἡ ΖΗ εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον ΓΔ, ἅπτεται δὲ αὐτῆς ἡ ΕΗ κειμένη ἐν τῷ ἐπιπέδῳ ΓΔ, ἡ γωνία ἄρα ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΗΕ γωνία. ἀλλὰ καὶ ἡ ΕΖ τῷ ΑΒ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν· ἡ ἄρα ὑπὸ ΕΖΗ ὀρθή ἐστιν. τριγώνου δὴ τοῦ ΕΖΗ αἱ δύο γωνίαι ὀρθαῖς ἴσαι εἰσίν· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Ε ἐπὶ τὸ ΑΒ ἐπίπεδον κάθετος ἀγομένη ἐκτὸς πεσεῖται τῆς ΔΑ. ἐπὶ τὴν ΔΑ ἄρα πεσεῖται· ὅπερ ἔδει δεῖξαι.

4.

Εἰς βιβλ. XII θεώρ. 4.

Καὶ ἐπεὶ τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα ἴσα ἐστὶν ἀλλήλοις, ἀλλὰ μὴν καὶ τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι δύο πρίσματα ἴσα ἀλλήλοις ἐστίν, ἔστιν ἄρα ὡς τὸ πρίσμα, οὗ βάσις τὸ ΒΚΛΞ παραλληλόγραμμον, ἀπεναντίον δὲ ἡ ΜΟ εὐθεῖα, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΛΞΓ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΟΜΝ, οὕτως τὸ πρίσμα, οὗ βάσις τὸ ΠΕΡΦ, ἀπεναντίον δὲ ἡ ΣΤ, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΡΦΖ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΣΤΥ. συνθέντι ἐστὶν ἄρα ὡς τὰ ΚΒΞΛΜΟ, ΛΞΓΜΝΟ πρίσματα πρὸς τὸ ΛΞΓΜΝΟ πρίσμα, οὕτως τὰ ΠΕΦΡΣΤ, ΡΦΖΣΤΥ πρίσματα πρὸς τὸ ΡΦΖΣΤΥ πρίσμα. ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὰ ΚΒΞΛΜΟ, ΛΞΓΜΝΟ πρὸς τὰ ΠΕΦΡΣΤ, ΡΦΖΣΤΥ πρίσματα, οὕτως τὸ ΛΞΓΜΝΟ πρίσμα πρὸς τὸ ΡΦΖΣΤΥ πρίσμα. ὡς δὲ τὸ ΛΞΓΜΝΟ πρίσμα πρὸς τὸ ΡΦΖΣΤΥ πρίσμα, οὕτως ἐδείχθη ἡ ΛΞΓ βάσις πρὸς τὴν ΡΦΖ, καὶ ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν. καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον, οὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι δύο πρίσματα. ὁμοίως δὲ κἂν τὰς ὑπολειπομένας πυραμίδας διέλωμεν τὸν αὐτὸν τρόπον οἷον ὡς τὰς ΜΝΟΗ, ΣΤΥΘ, ἔσται ὡς ἡ ΜΝΟ βάσις πρὸς τὴν ΣΤΥ βάσιν, οὕτως τὰ ἐν τῇ ΜΝΟΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΣΤΥΘ πυραμίδι δύο πρίσματα. ἀλλ' ὡς ἡ ΜΝΟ βάσις πρὸς τὴν ΣΤΥ βάσιν, οὕτως ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν. καὶ ὡς ἄρα ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως καὶ τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι δύο πρίσματα, καὶ τὰ ἐν τῇ ΜΝΟΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΣΤΥΘ πυραμίδι δύο πρίσματα, καὶ τὰ τέσσαρα πρὸς τὰ τέσσαρα. τὰ αὐτὰ δὲ δειχθήσεται καὶ ἐπὶ τῶν γενομένων πρισμάτων ἐκ τῆς διαιρέσεως τῶν ΑΚΛΟ καὶ ΔΠΡΣ πυραμίδων καὶ πάντων ἁπλῶς τῶν ἰσοπληθῶν· ὅπερ ἔδει δεῖξαι.

5.

Εἰς βιβλ. XII θεώρ. 17.

Δεικτέον δὴ καὶ ἑτέρως προχειρότερον, ὅτι μείζων ἐστὶν ἡ ΑΨ τῆς ΑΗ. ἤχθω ἀπὸ τοῦ Η τῇ ΑΗ πρὸς ὀρθὰς ἡ ΗΑ', καὶ ἐπεζεύχθω ἡ ΑΑ'. τέμνοντες δὴ τὴν ΕΒ περιφέρειαν δίχα καὶ τὴν ἡμίσειαν αὐτῆς δίχα καὶ τοῦτο ἀεὶ ποιοῦντες καταλείψομέν τινα περιφέρειαν, ἥ ἐστιν ἐλάσσων τῆς ὑποτεινομένης

ΖΗΕ εἶναι ὀρθή. Ἀλλὰ καὶ ἡ ΕΖ εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον ΑΒ· ἄρα ἡ ΕΖΗ εἶναι ὀρθή. Εἶναι λοιπὸν τοῦ τριγώνου ΕΖΗ αἱ δύο γωνίαι ἴσαι πρὸς ὀρθάς· ὅπερ ἀδύνατον (Ι.17). Δὲν θὰ πέσῃ ἄρα ἡ ἀπὸ τοῦ Ε ἐπὶ τὸ ἐπίπεδον ΑΒ ἀγομένη κάθετος ἐκτὸς τῆς ΔΛ. Θὰ πέσῃ ἄρα ἐπὶ τὴν ΔΛ· ὅπερ ἔδει δεῖξαι.

4.

Εἰς τὸ βιβλ. XII θεώρ. 4.

Καὶ ἐπειδὴ τὰ ἐν τῇ πυραμίδι ΑΒΓΗ δύο πρίσματα εἶναι ἴσα πρὸς ἄλληλα, ἀλλ' ὅμως καὶ τὰ ἐν τῇ πυραμίδι ΔΕΖΘ δύο πρίσματα εἶναι ἴσα πρὸς ἄλληλα, εἶναι ἄρα ὡς τὸ πρίσμα, τοῦ ὁποίου βάσις εἶναι τὸ παραλληλόγραμμον ΒΚΛΞ, ἀπέναντι δὲ ἡ εὐθεῖα ΜΟ, πρὸς τὸ πρίσμα, τοῦ ὁποίου βάσις μὲν εἶναι τὸ τρίγωνον ΛΞΔ, ἀπέναντι δὲ τὸ ΟΜΝ, οὕτως τὸ πρίσμα, τοῦ ὁποίου βάσις εἶναι τὸ ΠΕΡΦ, ἀπέναντι δὲ ἡ ΣΤ, πρὸς τὸ πρίσμα, τοῦ ὁποίου βάσις μὲν εἶναι τὸ τρίγωνον ΡΦΖ, ἀπέναντι δὲ τὸ ΣΤΥ. Διὰ συνθέσεως ἄρα εἶναι ΚΒΞΛΜΟ + ΛΞΓΜΝΟ : ΛΞΓΜΝΟ = ΠΕΦΡΣΤ + ΡΦΖΣΤΥ : ΡΦΖΣΤΥ. Ἐναλλὰξ ἄρα εἶναι ΚΒΞΛΜΟ + ΛΞΓΜΝΟ : ΛΞΓΜΝΟ + ΡΦΖΣΤΥ = ΛΞΓΜΝΟ : ΡΦΖΣΤΥ. Ὡς δὲ τὸ πρίσμα ΛΞΓΜΝΟ πρὸς τὸ πρίσμα ΡΦΖΣΤΥ, οὕτως ἐδείχθη ἡ βάσις ΛΞΓ πρὸς τὴν ΡΦΖ, καὶ ἡ βάσις ΑΒΓ πρὸς τὴν βάσιν ΔΕΖ. Καὶ ὡς ἄρα τὸ τρίγωνον ΑΒΓ πρὸς τὸ τρίγωνον ΔΕΖ, οὕτως τὰ ἐν τῇ πυραμίδι ΑΒΓΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ πυραμίδι ΔΕΖΘ δύο πρίσματα. Ὁμοίως δὲ καὶ ἐὰν διαιρέσωμεν τὰς ὑπολειπομένας πυραμίδας κατὰ τὸν αὐτὸν τρόπον, οἷον ὡς τὰς ΜΝΟΗ, ΣΤΥΘ, θὰ εἶναι ὡς ἡ βάσις ΜΝΟ πρὸς τὴν βάσιν ΣΤΥ, οὕτως τὰ ἐν τῇ πυραμίδι ΜΝΟΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ πυραμίδι ΣΤΥΘ δύο πρίσματα. Ἀλλ' ὡς ἡ βάσις ΜΝΟ πρὸς τὴν βάσιν ΣΤΥ, οὕτως ἡ βάσις ΑΒΓ πρὸς τὴν βάσιν ΔΕΖ. Καὶ ὡς ἄρα ἡ βάσις ΑΒΓ πρὸς τὴν βάσιν ΔΕΖ, οὕτως καὶ τὰ ἐν τῇ πυραμίδι ΑΒΓΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ πυραμίδι ΔΕΖΘ δύο πρίσματα, καὶ τὰ ἐν τῇ ΜΝΟΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ πυραμίδι ΣΤΥΘ δύο πρίσματα, καὶ τὰ τέσσαρα πρὸς τὰ τέσσαρα. Τὰ αὐτὰ δὲ θὰ ἀποδειχθῶσι καὶ ἐπὶ τῶν προκυπτόντων πρισμάτων ἐκ τῆς διαιρέσεως τῶν πυραμίδων ΑΚΛΟ καὶ ΔΠΡΣ καὶ ἁπλῶς ὅλων τῶν ἰσοπληθῶν· ὅπερ ἔδει δεῖξαι.

5.

Εἰς τὸ βιβλ. XII θεώρ. 17.

Ὅμως δύναται νὰ ἀποδειχθῇ καὶ ἄλλως προχειρότερον, ὅτι ΑΨ > ΑΗ. Ἂς ἀχθῇ ἀπὸ τοῦ Η κάθετος ἐπὶ τὴν ΑΗ ἡ ΗΛ', καὶ ἂς ἀχθῇ ἡ ΑΛ'. Τέμνοντες λοιπὸν τὸ τόξον ΕΒ δίχα καὶ τὸ ἥμισυ αὐτοῦ δίχα καὶ πράττοντες τοῦτο πάντοτε θὰ καταλείψωμεν τόξον τι, τὸ ὁποῖον θὰ εἶναι μικρότερον τοῦ τόξου τοῦ

τοῦ ΒΓΔΕ κύκλου περιφερείας ὑπὸ τῆς ἴσης τῇ ΗΑ'. λελείφθω καὶ ἔστω ἡ ΚΒ περιφέρεια. ἐλάσσων ἄρα καὶ ἡ ΚΒ εὐθεῖα τῆς ΗΑ'. καὶ ἐπεὶ ἐν κύκλῳ ἐστὶ τὸ ΒΚΣΟ τετράπλευρον, καί εἰσιν ἴσαι αἱ ΟΒ, ΒΚ, ΚΣ, καὶ ἐλάττων ἡ ΟΣ, ἀμβλεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΨΚ γωνία. μείζων ἄρα ἡ ΚΒ τῆς ΒΨ. ἀλλὰ τῆς ΚΒ μείζων ἐστὶν ἡ ΗΑ'· πολλῷ ἄρα ἡ ΗΑ' μείζων ἐστὶ τῆς ΒΨ· μεῖζον ἄρα καὶ τὸ ἀπὸ τῆς ΗΑ' τοῦ ἀπὸ τῆς ΒΨ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΑ' τῇ ΑΒ, ἴσον καὶ τὸ ἀπὸ τῆς ΑΑ' τῷ ἀπὸ τῆς ΑΒ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΑ' ἴσα τὰ ἀπὸ τῶν ΑΗ, ΗΑ', τῷ δὲ ἀπὸ τῆς ΑΒ ἴσα τα ἀπὸ τῶν ΒΨ, ΨΑ· τὰ ἄρα ἀπὸ τῶν ΑΗ, ΗΑ' ἴσα τοῖς ἀπὸ τῶν ΒΨ, ΨΑ, ὧν τὸ ἀπὸ τῆς ΒΨ ἔλαττόν ἐστι τοῦ ἀπὸ τῆς ΗΑ'· λοιπὸν ἄρα τὸ ἀπὸ ΨΑ μεῖζόν ἐστι τοῦ ἀπὸ ΑΗ· μείζων ἄρα ἡ ΑΨ τῆς ΑΗ.

6.

Εἰς βιβλ. XIII θεώρ. 6.

